3 1761 08310835 7

TRINITY U
LIBR Y.
S.N. S.H. No.

TRINITY UNIVERSITY
LIBRARY,
S.N. 4 S.H. 49 No. 8

Digitized by the Internet Archive
in 2010 with funding from
University of Toronto

http://www.archive.org/details/odysseacuminterp03home

HOMERI ODYSSEA.

CUM

INTERPRETATIONIS EUSTATHII ET RELIQUORUM GRAMMATICORUM DELECTU, SUISQUE COMMENTARIIS

EDIDIT

DETL. CAR. GUIL. BAUMGARTEN-CRUSIUS,

SCHOLAE DRESDENSIS AD AEDEM CRUCIS CONRECTOR,
SOC. LAT. IEN. SODALIS HONORARIUS.

VOL. III. PARS I.

RHAPSOD. XVII — XX. CONTINENS.

LIPSIAE
SUMPTIBUS C. H. F. HARTMANNI.
MDCCCXXIV.

LIBRARY
DEC 2 1972
UNIVERSITY OF TORONTO

PA
4021
A2
1822
V. 3

ΤΗΣ ΤΟΥ ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ ΡΑΨΩΙΔΙΑ Η ΓΡΑΜΜΑ Ρ.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ρ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Εἰς τὴν πόλιν ἐλθὼν Τηλέμαχος διηγεῖται τῇ μητρὶ Πηνελόπῃ τῆς ἀποδημίας τὰ κεφάλαια. ὕστερον δὲ Ὀδυσσεὺς ἀχθεὶς ὑπὸ τοῦ Εὐμαίου εἰς Ἰθάκην ἀπὸ τῶν ἀγρῶν, εἰς τὸ συμπόσιον τῶν μνηστήρων εἰςέρχεται. ὁ δὲ ποιητὴς ἀπαγγέλλει, πῶς ὁ κύων ἀναγνωρίζει τὸν δεσπότην, καὶ ὡς Εὔμαιος μὲν εἰς τοὺς ἀγροὺς ὑποστρέφει. Ὀδυσσεὺς δὲ ἐν αὐτοῖς μένει. Eust. Vulg. Pal.

ΑΛΛΗ ΥΠΟΘΕΣΙΣ.

Ὀδυσσέως ἄφιξις εἰς τὴν πόλιν. τὰ δὲ κατὰ μέρος ἐστὶ τοιαῦτα. Εὐμαίῳ προστάσσει Τηλέμαχος, ἵνα μεθ' ἑαυτοῦ ἀγάγῃ τὸν Ὀδυσσέα εἰς τὴν πόλιν. ἐκείνου τοῦτο ποιοῦντος, Μελάνθιος ὁ αἰπόλος συντυχὼν αὐτῷ κατὰ τὴν ὁδὸν ὑβρίζει τὸν Ὀδυσσέα λακτίσας. ὁ δὲ ὀλιγωρῶς ἤνεγκε τὴν ὕβριν. ἐπεὶ δὲ εἰς τὰ βασίλεια κατήντησε, καὶ ὡς ξένος θεωρεῖται. συνευωχούμενος δὲ Τηλέμαχος αὐτῷ παρέσχε τὰ χρήσιμα. προστάξαντος δὲ τοῦ λοιποῦ προςῄτει. καὶ ὑβρίζεται ὑπὸ Ἀντινόου. μαθοῦσα δὲ ἡ Πηνελόπη τὴν ὕβριν μεταπέμπεται αὐτόν. ὁ δὲ οὐ παραγίνεται κατὰ τὸ αὐτό, ὑπέσχετο δὲ τοῦτο ποιῆσαι νύκτωρ (scr. *νυκτὸς*) *ἐπειγομένης. καὶ Εὔμαιος εἰς τοὺς ἀγροὺς πορεύεται. καὶ ἐν τούτοις λήγει ἡ ῥαψῳδία.* Ambr. Q.

Ἐπιγραφαί.

Ἐπάνοδος Τηλεμάχου εἰς Ἰθάκην.

Ἄλλως.

Ῥῶ, βάλες, αἰπόλε τε, μνήστηρ τε, κυὼν ὃν ἀνέγνω.

Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
δὴ τότ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο·
εἵλετο δ' ἄλκιμον ἔγχος, ὅ οἱ παλάμηφιν ἀρήρει,
ἄστυδε ἱέμενος, καὶ ἑὸν προσέειπε συβώτην·
Ἄττ', ἤτοι μὲν ἐγὼν εἶμ' ἐς πόλιν, ὄφρα με μήτηρ
ὄψεται· οὐ γάρ μιν πρόσθεν παύσεσθαι ὀΐω
κλαυθμοῦ τε στυγεροῖο, γόοιό τε δακρυόεντος,
πρίν γ' αὐτόν με ἴδηται· ἀτὰρ σοίγ' ὧδ' ἐπιτέλλω.
τὸν ξεῖνον δύστηνον ἄγ' ἐς πόλιν, ὄφρ' ἂν ἐκεῖθι
δαῖτα πτωχεύῃ· δώσει δέ οἱ, ὅς κ' ἐθέλῃσιν,
πύρνον καὶ κοτύλην· ἐμὲ δ' οὔπως ἔστιν ἅπαντας
ἀνθρώπους ἀνέχεσθαι, ἔχοντά περ ἄλγεα θυμῷ.

Ὅτι πολλὰ μὲν ἡ ῥαψῳδία λαλεῖ, ἐπιγράφεται δὲ ὅμως ἐκ τοῦ κατ' ἀρχὴν εὐθὺς πράγματος, ἐπάνοδος δηλαδὴ Τηλεμάχου εἰς Ἰθάκην. Eust.

V. 4. παλάμηφιν] ταῖς χερσίν. Vulg.

V. 6. ἄττα] v. ad π, 31. Ἀλλ' ἤτοι μὲν ἐγών. Vind. 133.

V. 7. παύσεσθαι] Eust. παύσασθαι.

V. 10. τὸν ξεῖνον δύστηνον] Τό, τὸν ξεῖνον δύστηνον, παρατεθειμένον ἀσυνήθως ἔχει τὸ ἄρθρον. τὸ γὰρ σύνηθες, τὸν δύστηνον ξεῖνον. Eust. Πρὸς τὴν τοῦ ἄρθρου μετάθεσιν ὅμοιόν ἐστι τῷ, οὔτε τὰ τείχεα καλά (Il. φ, 517.) Ambr. Q.

V. 11. πτωχεύῃ] τουτέστι, ζητῇ πτωχικῶς. Eust. δαῖτα πτωχεύει (ed. ant.) τὰ πρὸς τροφὴν ἐπαιτεῖ. Vulg.

V. 12. πύρνον καὶ κοτύλην] v. ad ο, 312.

V. 13. ἀνέχεσθαι] ὑποδέχεσθαι. Vulg. Τό, ἅπαντας ἀνθρώπους ἀνέχεσθαι, εἴρηται μὲν ἀληθῶς. οὐ γὰρ ἄν τις δύνηται δεόντως ξενίζειν ἅπαντας, ὡς ἐκεῖνοι ζητοῦσιν. ἔχει δὲ τὸ ἀνέχεσθαι ἢ ἀντὶ τοῦ τιμᾶν, ἢ ἀντὶ τοῦ ἀνέχειν ἤτοι ἀναβαστάζειν, ὡς ἐκ μεταφορᾶς τινος ὑπερείσματος. Eust. v. ad η, 32.

ὁ ξεῖνος δ' εἴπερ μάλα μηνίει, ἄλγιον αὐτῷ
ἔσσεται· ἦ γάρ ἐμοὶ φίλ' ἀληθέα μυθήσασθαι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ φίλος, οὐδέ τοι αὐτὸς ἐρύκεσθαι μενεαίνω·
πτωχῷ βέλτερόν ἐστι κατὰ πτόλιν, ἠὲ κατ' ἀγρούς,
δαῖτα πτωχεύειν· δώσει δέ μοι, ὅς κ' ἐθέλησιν.
οὐ γὰρ ἐπὶ σταθμοῖσι μένειν ἔτι τηλίκος εἰμί,
ὥςτ' ἐπιτειλαμένῳ σημάντορι πάντα πιθέσθαι·
ἀλλ' ἔρχευ· ἐμὲ δ' ἄξει ἀνὴρ ὅδε, τὸν σὺ κελεύεις,
αὐτίκ', ἐπεί κε πυρὸς θερέω, ἀλέη τε γένηται.
αἰνῶς γὰρ τάδε εἵματ' ἔχω κακά· μή με δαμάσσῃ
στίβη ὑπηοίη· ἕκαθεν δέ τε ἄστυ φάτ' εἶναι.

V. 14. μηνίει] ὀργισθῇ. Vulg.

V. 15. φίλ' ἀληθέα μυθ.] Τό, φίλ' ἀληθέα μυθήσασθαι, ἢ Ἀττικῶς ἀντὶ τοῦ φίλον ἐστὶ τἀληθῆ εἰπεῖν, ἢ φίλα τὰ ἀληθῆ ὥςτε εἰπεῖν αὐτά. Eust.

V. 17. ἐρύκεσθαι] κατέχεσθαι. Vulg.

V. 18. βέλτερον] Eust. in comment. Textus: βέλτιον.

V. 20. τηλίκος εἰμί] τῆς δεούσης ἡλικίας. Vulg. (Mer. Casaub. corr. τῆςδε οὔσης ἡλικ., imo cum Eust. τοιαύτης ἡλικίας scribendum.) Ἤγουν, οὐκ εἰμὶ τοιαύτης ἡλικίας, ὥςτε εἰς πᾶν ἔργον πείθεσθαι τῷ κελεύοντί μοι κατ' ἀγρούς, ὡς οἷα δηλαδὴ γέρων ὢν καὶ μὴ ἐξισχύων πονεῖν. Eust.

V. 21. σημάντορι] τῷ ἐπιτάσσοντι, ἢ ἐπιστάτῃ. Vulg. Σημάντορα συνήθως λέγει τὸν ἐπιτάσσοντα. Eust. cf. τ, 314. τῷ ὁπωςοῦν ἐπιτάσσοντι. καὶ ἐν τῷ, σημάντορος οὐ παρεόντος, νομέως (Il. ο, 325.). Ambr. B. Q.

V. 23. πυρὸς θερέω] πυρὶ θερμανθῶ. Vulg. διὰ πυρὸς θερμανθῶ. Eust.

ἀλέη] ἡ ἐκ τοῦ ἡλίου δηλονότι. Eust. ἡ θερμασία τοῦ ἡλίου. σημαίνει δὲ καὶ τὴν ἀποφυγήν. Vulg. θερμασία, κυρίως ἡ τοῦ ἡλίου. Ambr. Q.

V. 25. στίβη ὑπηοίη (ed. ant. ὑπ' ἑοίη)] ὁ παγετὸς ὁ

Ὣς φάτο· Τηλέμαχος δὲ διὰ σταθμοῖο βεβήκει,
κραιπνὰ ποσὶ προβιβάς· κακὰ δὲ μνηστῆρσι φύτευεν.
αὐτὰρ ἐπεί ῥ' ἵκανε δόμους εὐναιετάοντας,
ἔγχος μὲν στῆσε πρὸς κίονα μακρὸν ἐρείσας,
αὐτὸς δ' εἴσω ἴεν, καὶ ὑπέρβη λάϊνον οὐδόν.
Τὸν δὲ πολὺ πρώτη εἶδε τροφὸς Εὐρύκλεια,
κώεα καστορνῦσα θρόνοις ἔνι δαιδαλέοισιν.

ὀρθρινός. Vulg. ἡ ἑωθινὴ πάχνη. Eust. v. ad ε, 467. Ἡ Κυκλική (v. ad π, 195.), ἐπηοίη. Harl. ὑπ' ἠοῖ. Vind. 133. Δῆλον δὲ καὶ ἐντεῦθεν, ὡς ψυχεινὸς ὁ τῆς ἐπανόδου τῷ Ὀδυσσεῖ καιρός. Eust.

V. 26. *βεβήκει*] ἐπορεύετο. Vulg. *διὰ σταθμοῖο*] Γρ. διὲκ μεγάροιο. Harl.

V. 27. *κακὰ — φύτευεν*] Ὅτι κἀνταῦθα κακὰ φυτεύειν, ὡς καὶ ἀλλαχοῦ (β, 165. ε, 340.), τὸ βουλεύεσθαι κατά τινων, ᾧ σύμφωνον καὶ τὸ ὑπορύττειν κακά. τῆς δὲ αὐτῆς ἐννοίας καθ' ἕτερον λόγον καὶ τὸ ῥάπτειν κακά (π, 379. 422.). Eust.

V. 29. *ἔγχος μέν ῥ' ἔστησε φέρων πρὸς κίονα μακρήν*] Γρ. ἔγχος μὲν στῆσεν πρὸς κίονα μακρὸν ἐρείσας. Harl. atque ita Vind. 133. et textus Eustathii. Ἐν τούτοις δὲ κεῖται καὶ ὁ κίων ἀρσενικῶς ἐν τῷ, ἔγχος μὲν στῆσαι (scr. στῆσεν) πρὸς κίονα μακρὸν ἐρείσας, κοινότερον. ἄλλως μέντοι θηλυκῶς προήχθη ἐν τῷ, ἔγχος ἔστησε φέρων πρὸς κίονα μακρήν (α, 127.). Eust.

V. 30. *αὐτὸς δ' εἴσω ἴεν*] Ἐνήλλακται ἡ τάξις. τὸ γὰρ ἑξῆς, αὐτὸς ὑπέρβη λάϊνον οὐδόν, καὶ εἴσω ἴεν. Vulg.

V. 32. *κώεα*] προβάτων δοράς. Vulg. Ὅρα ὡς εὐτελῶς κώεα ἐν τοῖς ῥηθεῖσι θρόνοις τίθενται. Eust.

καστορνῦσα] καταστρωννύουσα. Vulg. καταστρώννυσα. οὐκ οἶμαι τοῖς τῶν μνηστήρων θρόνοις Εὐρύκλεια, ἀλλ' ἐνδοτέρω μετὰ τὸν ἀνδρῶνα. Ambr. Q. Τὸ στορνῦσα καθ' ὁμοιότητα παράγεται τοῦ ὄρνυσθαι καὶ τῶν ὁμοίων. ὡς γὰρ ὄρω ὄρνω ὀρνύω ὄρνυμι, οὕτω στορῶ στόρνω στορνύω στόρνυμι, ἐξ οὗ ὁ στορνύς, οὗ θηλυκὸν ἡ στορνῦσα. δῆλον δ' ὅτι ταυτόν ἐστι στο-

δακρύσασα δ' ἔπειτ' ἰθὺς κίεν· ἀμφὶ δ' ἄρ' ἄλλαι
δμωαὶ Ὀδυσσῆος ταλασίφρονος ἠγερέθοντο,
καὶ κύνεον ἀγαπαζόμεναι κεφαλήν τε καὶ ὤμους.
Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσέῃ Ἀφροδίτῃ·
ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε δακρύσασα·
κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά,
καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
Ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος. οὔ σ' ἔτ' ἔγωγε
ὄψεσθαι ἐφάμην, ἐπεὶ ᾤχεο νηῒ Πύλονδε
λάθρῃ, ἐμεῦ ἀέκητι, φίλου μετὰ πατρὸς ἀκουήν.

ρέσαι καὶ στόρνυσθαι, παρὰ δὲ τοῖς ὕστερον καὶ στρῶσαι, συγκοπὲν ἐκ τοῦ στορῶ, καὶ μεταπεσὸν ἐκ πρώτης συζυγίας τῶν περισπωμένων εἰς τρίτην. ὅθεν καὶ τὸ στρῶμα, καὶ τὸ τῆς νηὸς κατάστρωμα. Eust.

V. 35. κύνεον] ἐφίλουν. ἀγαπαζόμεναι] περιπτυσσόμεναι. Vulg. Ἔστι δουλικὸν τὸ φίλημα τοῦτο. Πηνελόπη δὲ ἔκυσέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά. καὶ Εὔμαιος δὲ πρὸ ταύτης ὁμοίως (π, 15.), ὡς οἷά τις ἀδελφός, καθὰ δηλοῖ τὸ ἄττα προσφώνημα, ᾧ δεξιοῦται αὐτὸν ὁ Τηλέμαχος. στόμα μέντοι οὐδεὶς ἐφίλει. Eust.

V. 37. χρυσῇ] καλῇ, χρυσοφόρῳ. Vulg.

V. 38. ἀμφὶ δὲ — πήχεε] Τό, ἀμφὶ παιδὶ βάλε πήχεε, ἀντὶ τοῦ, ἀμφέβαλε τὸν υἱὸν τοῖς πήχεσι. καλῶς δὲ τὸ πήχεε. βραχίονες γὰρ οὐκ ἔχουσι περιπλέκεσθαι. Eust. Ἰστέον δὲ καὶ ὅτι ἐν τῷ, ἀμφὶ παιδὶ φίλω βάλε πήχεε, δύναται τὸ φίλω καὶ τῷ παιδὶ προσκεῖσθαι, καὶ δυϊκῶς λέγεσθαι πρὸς τὸ πήχεε, καθότι καὶ φίλαι που χεῖρες καὶ φίλη χεὶρ λέγεται. Id.

V. 39. κύσσε] Ἰστέον ὅτι τοῦ κυνεῖν, ὅ ἐστι φιλεῖν, πρωτότυπόν ἐστι τὸ κύειν. διὸ ἀμφοῖν ἐνταῦθα χρῆται ὁ ποιητής, ὡς προέκκειται. ἐκ τούτων δὲ κατά τινα σχέσιν καὶ κυνεῖν τὸ προσκυνεῖν, καὶ κύειν τὸ γεννᾶν. Eust. cf. ad π, 15.

V. 43. ἐμεῦ ἀέκητι] v. ε, 177. ζ, 240. et 287.

ἀλλ' ἄγε μοι κατάλεξον, ὅπως ἤντησας ὀπωπῆς.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
μῆτερ ἐμή, μή μοι γόον ὄρνυθι, μηδέ μοι ἦτορ
ἐν στήθεσσιν ὄρινε, φυγόντι περ αἰπὺν ὄλεθρον·
ἀλλ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα,
[εἰς ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξίν,]
εὔχεο πᾶσι θεοῖσι τεληέσσας ἑκατόμβας
ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσῃ.
αὐτὰρ ἐγὼν ἀγορὴν ἐςελεύσομαι, ὄφρα καλέσσω
ξεῖνον, ὅτις μοι κεῖθεν ἅμ' ἕσπετο δεῦρο κιόντι.
τὸν μὲν ἐγὼ προὔπεμψα σὺν ἀντιθέοις ἑτάροισιν·
Πείραιον δέ μιν ἠνώγεα προτὶ οἶκον ἄγοντα
ἐνδυκέως φιλέειν καὶ τιέμεν, εἰςόκεν ἔλθω.
Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος.

V. 44. ὅπως ἤντησας ὀπωπῆς] Ὅτι περίφρασις τοῦ, τί εἶδες, τό, ὅπως ἤντησας ὀπωπῆς. ἔστι δὲ ἀντῆσαι μὲν τὸ τυχεῖν, ὀπωπὴ δὲ ἡ θέα, ὡς καὶ ἀλλαχοῦ. Eust. cf. ad γ, 97.

V. 46. ὄρνυθι] ἔγειρε. Vulg. cf. κ, 457.

V. 47. ὄρινε] τάραττε. Id. cf. θ, 178. ξ, 361. ο, 486.

V. 49. εἰς ὑπερῷ' ἀναβᾶσα — γυναιξίν] Omittitur hic versus ab Eust. in comment., et a Vind. 133. post v. 51. ponitur. Sed cf. δ, 760.

V. 51. ἄντιτα] ἀντιτιμώρητα. Vulg. ἀντίτιτα. ἔστι δὲ συγκοπή. Ambr. Q. cf. Il. ω, 213.

V. 55. ἠνώγεα] Γρ. ἤνωγον. Harl.

V. 57. ἄπτερος] ἤτοι ἰσόπτερος, ταχύς. ἢ οὐκ ἀπέπτη ὁ λόγος, ἀλλ' ὑπέμεινεν (ed. ant. ἀπέμεινεν scr. ἐπέμεινεν), μὴ ἔχων πτερόν. λέγει δέ, ὅτι ταχέως ἤκουσεν. (Barnes. e Ms. Aloys. λέγει δέ, ὅτι προςήκατο τὸν λόγον, ταχέως ἤκουσεν. Ἡρωδιανὸς δέ, ἕτοιμος, λέγει.) Vulg. ταχὺς πρὸς τὸ πεισθῆναι καὶ ἰσόπτερος. Ambr. B. ἢ πάγιος καὶ ἀμετακίνητος, ἐκ τοῦ ᾱ στε-

ἡ δ' ὑδρηναμένη, καθαρὰ χροῒ εἵμαθ' ἑλοῦσα,
εὔχετο πᾶσι θεοῖσι τεληέσσας ἑκατόμβας
ῥέξειν, αἴ κέ ποθι Ζεὺς ἄντιτα ἔργα τελέσσῃ.
Τηλέμαχος δ' ἄρ' ἔπειτα διὲκ μεγάροιο βεβήκει,
ἔγχος ἔχων· ἅμα τῷγε κύνες πόδας ἀργοὶ ἕποντο.
θεσπεσίην δ' ἄρα τῷγε χάριν κατέχευεν Ἀθήνη·
τὸν δ' ἄρα πάντες λαοὶ ἐπερχόμενον θηεῦντο.
ἀμφὶ δέ μιν μνηστῆρες ἀγήνορες ἠγερέθοντο,
ἔσθλ' ἀγορεύοντες, κακὰ δὲ φρεσὶ βυσσοδόμευον,
αὐτὰρ ὁ τῶν μὲν ἔπειτα ἀλεύατο πουλὺν ὅμιλον,
ἀλλ', ἵνα Μέντωρ ἧστο καὶ Ἄντιφος ἠδ' Ἁλιθέρσης,
οἵτε οἱ ἐξ ἀρχῆς πατρώϊοι ἦσαν ἑταῖροι,
ἔνθα καθέζετ' ἰών· τοὶ δ' ἐξερέεινον ἕκαστα.

ρητικοῦ μορίου. ἢ μᾶλλον σύντομος καὶ ταχύς, ἐκ τοῦ ἐπιτατικοῦ. Id. Κεῖται τό, ἄπτερος ἔπλετο μῦθος, εἰς ἴσον τῷ, ταχέως προσήκατό φασι τὸν λόγον. ἄπτερος δὲ ὁ παράμονος, καὶ μὴ πτερόεις, κατὰ τὸ κοινὸν τοῦ λόγου ἐπίθετον. ἤγουν ὁ μὴ ἀποπτάς, ἀλλ' ἐπιμείνας τῇ γυναικί. τινὲς δὲ καὶ ἀντὶ τοῦ ταχὺς καὶ ἰσόπτερος νοοῦσι τὴν λέξιν, ἵνα λέγῃ, ὅτι ταχὺ ἐς ψυχὴν εἰςέδυ τῇ Πηνελόπῃ. Eust. Ἄπτερος, ὁ προςηνής, ἢ ταχύς. Apollon. (cit. n. l.) Ἄπτερος. αἰφνίδιος, παρὰ Ὁμήρῳ. ὁ προςηνής, ἢ ταχύς. Αἰσχύλος Ἀγαμέμνονι (v. 284.). αἰφνίδιον. Hesych. Ταχὺς πρὸς τὸ πεισθῆναι, καὶ ἰσόπτερος. — ἔνιοι δε, ο παραπτάς, ἀλλ' ἔμμονος. ἔνιοι δέ, ἄπτερον τὸ ἡδύ, ἄσμενον, ὀρθόν. Etym. M. Ἔνιοι, ἔμμονος. Harl.

V. 62—64. ἅμα τῷγε — θηεῦντο] v. β, 11—13.

V. 66. βυσσοδόμευον] ὅπερ δολίοις προςφωνεῖσθαι πρέπει ἀνδράσιν. (cf. θ, 273. τ, 516.) ἐν δὲ τῷ βυσσοδόμευον ἐξαλλαγὴν σχήματος ἔχει. ἦν γὰρ κοινότερον, βυσσοδομεύοντες εἰπεῖν πρὸς τὸ ἀγορεύοντες. Eust.

τοῖσι δὲ Πείραιος δουρικλυτὸς ἐγγύθεν ἦλθεν,
ξεῖνον ἄγων ἀγορήνδε διὰ πτόλιν· οὐδ' ἄρ' ἔτι δὴν
Τηλέμαχος ξείνοιο ἑκὰς τράπετ', ἀλλὰ παρέστη.
τὸν καὶ Πείραιος πρότερος πρὸς μῦθον ἔειπεν·
Τηλέμαχ', αἶψ' ὄτρυνον ἐμὸν ποτὶ δῶμα γυναῖκας,
ὥς τοι δῶρ' ἀποπέμψω, ἅ τοι Μενέλαος ἔδωκεν.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
Πείραι', οὐ γάρ τ' ἴδμεν, ὅπως ἔσται τάδε ἔργα.
εἴ κεν ἐμὲ μνηστῆρες ἀγήνορες ἐν μεγάροισιν
λάθρῃ κτείναντες, πατρώϊα πάντα δάσωνται,
αὐτὸν ἔχοντά σε βούλομ' ἐπαυρέμεν, ἤ τινα τῶνδε·
εἰ δέ κ' ἐγὼ τούτοισι φόνον καὶ Κῆρα φυτεύσω,
δὴ τότε μοι χαίροντι φέρειν πρὸς δώματα χαίρων.

V. 71. τοῖσι δὲ Πείραιος] Vind. 133. τοῖς δ' ἐπὶ Πείραιος.

V. 73. τράπετο] ἐτράπη. Vulg.

V. 75. ὄτρυνον] ἔπειξον. Id. (Ed. ant. Σπερχω (ex quo Buttm. colligit antiquam lectionem: αἶψα σπέρξον). σημαίνει τὸ κατεπείγομαι, σπεύδω, καὶ συστρέφω. ἴσως ἀπὸ τοῦ περιέχεσθαι. συμπεριέχω οὖν, καὶ συγκοπῇ σπέρχω. Sunt autem haec omnia petita ex Etymol. M. sub v. Σπεργω, cui substituendum Σπέρχω, vel ex nostro scholio patet.)

V. 81. ἐπαυρέμεν] ἐπεντρυφῆσαι. Vulg. ἤτοι ἐπαπολαύειν κληρομικῷ (scr. κληρονομικῷ) δικαίῳ. Eust. Ἐπαυρεῖν. ἀπόνασθαι, ἀπολαύειν, καὶ ἐπὶ τοῦ ἐπιτυχεῖν. (cit. Il. σ, 302.). Apollon.

V. 83. πρὸς δώματα χαίρων] Vind. 133. πρὸς δώματα πατρός.

Ὣς εἰπὼν, ξεῖνον ταλαπείριον ἦγεν ἐς οἶκον.
αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὐναιετάοντας,
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρό-
νους τε·
ἐς δ' ἀσαμίνθους βάντες ἐΰξέστας λούσαντο.
τοὺς δ' ἐπεὶ οὖν δμωαὶ λοῦσαν, καὶ χρῖσαν ἐλαίῳ,
ἀμφὶ δ' ἄρα χλαίνας οὔλας βάλον ἠδὲ χιτῶνας·
ἔκ ῥ' ἀσαμίνθου βάντες, ἐπὶ κλισμοῖσι κάθιζον.
χέρνιβα δ' ἀμφίπολος προχόῳ ἐπέχευε φέρουσα
καλῇ, χρυσείῃ, ὑπὲρ ἀργυρέοιο λέβητος,
νίψασθαι· παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν.
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
εἴδατα πόλλ' ἐπιθεῖσα, χαριζομένη παρεόντων.
μήτηρ δ' ἀντίον ἷζε παρὰ σταθμὸν μεγάροιο,
κλισμῷ κεκλιμένη, λέπτ' ἠλάκατα στρωφῶσα.
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
Τηλέμαχ', ἤτοι ἐγὼν ὑπερώϊον εἰςαναβᾶσα
λέξομαι εἰς εὐνήν, ἥ μοι στονόεσσα τέτυκται,

V. 84. ταλαπείριον] v. ad ζ, 193. η, 24. ξ, 511.

V. 85. sequ. αὐτὰρ ἐπεί ῥ. ἵκ.] cf. δ, 47. sequ. θ, 454. sequ.

V. 91. sequ. χέρνιβα δ' ἀμφιπ.] v. ad α, 136. sequ.

V. 95. παρεόντων] τῶν παραμενόντων καὶ ταχέως μὴ σηπομένων. Vulg. v. ad α, 140.

V. 97. κλισμῷ κεκλιμένη] ἐπὶ τὰ ἀριστερὰ μέρη κεκλιμένη. Ambr. B. Q.

V. 101. ὑπερώϊον] ἀνώγειον, οἴκημα. Vulg.

V. 102. λέξομαι] κατακοιμηθήσομαι. στονόεσσα] στεναγμῶν αἰτία. Id.

αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχεθ' ἅμ' Ἀτρείδῃσιν ἐς Ἴλιον· οὐ δέ μοι ἔτλης,
πρὶν ἐλθεῖν μνηστῆρας ἀγήνορας ἐς τόδε δῶμα,
νόστον σοῦ πατρὸς σάφα εἰπέμεν, εἴ που ἄκουσας.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
τοιγὰρ ἐγώ τοι, μῆτερ, ἀληθείην καταλέξω.
ᾠχόμεθ' ἔς τε Πύλον καὶ Νέστορα, ποιμένα λαῶν·
δεξάμενος δέ με κεῖνος ἐν ὑψηλοῖσι δόμοισιν,
ἐνδυκέως ἐφίλει, ὡςεί τε πατὴρ ἑὸν υἷα,
ἐλθόντα χρόνιον νέον ἄλλοθεν· ὥς ἐμὲ κεῖνος
ἐνδυκέως ἐκόμιζε, σὺν υἱάσι κυδαλίμοισιν.
αὐτὰρ Ὀδυσσῆος ταλασίφρονος οὔποτ' ἔφασκεν,
ζωοῦ, οὐδὲ θανόντος, ἐπιχθονίων τευ ἀκοῦσαι·
ἀλλά μ' ἐς Ἀτρείδην, δουρικλειτὸν Μενέλαον,
ἵπποισι προὔπεμψε καὶ ἅρμασι κολλητοῖσιν.
ἔνθ' ἴδον Ἀργείην Ἑλένην, ἧς εἵνεκα πολλὰ
Ἀργεῖοι Τρῶές τε θεῶν ἰότητι μόγησαν.
εἴρετο δ' αὐτίκ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος,

V. 103. ἀεὶ δάκρ.] Τοῦ, ἀεὶ δάκρυσι πεφυρμένη, ἑρμηνεία τό, ἐξ οὗ Ὀδυσσεὺς ᾤχετο. οὐ γὰρ διὰ βίου ἔκλαιεν ἡ Πηνελόπη, ἀλλ' ἐξ οὗ ἐστερήθη τοῦ ἀνδρός. Eust.

V. 109. ἔς τε Πύλον] Γρ. ἐς Πύλον. Harl.

V. 111. ἑὸν υἷα] Οὕτως Ἀρίσταρχος. ὁ δὲ Ζηνόδοτος, ἐνδυκέως ἐφίλει ὡςεί τε πατὴρ ἑὸν παῖδα. Schol. Harl. et margo Vind. 133., in cujus textu est: ἑὸν υἱόν.

V. 113. ἐκόμιζε] ἐπεμελεῖτο (ed. ant. ἐπιμελ.). Vulg. Τὸ ἐφίλει καὶ ἐκόμιζε ταυτά εἰσιν, ὡς δηλοῖ τό, ἐνδυκέως ἐκόμιζε, καὶ τό, ἐνδυκέως ἐφίλει, τουτέστιν ἐφιλοφρονεῖτο. Eust.

V. 118. 119. πολλοί] Cod. Vind. 133. Marg. Γρ. πολλά. Mox: μόγησαν cod. Marg. Γρ. δάμησαν.

ὅττευ χρηΐζων ἱκόμην Λακεδαίμονα δῖαν·
αὐτὰρ ἐγὼ τῷ πᾶσαν ἀληθείην κατέλεξα·
καὶ τότε δή μ' ἐπέεσσιν ἀμειβόμενος προσέειπεν·
"Ω πόποι! ἦ μάλα δὴ κρατερόφρονος ἀνδρὸς ἐν εὐνῇ
ἤθελον εὐνηθῆναι, ἀνάλκιδες αὐτοὶ ἐόντες.
ὡς δ' ὁπότ' ἐν ξυλόχῳ ἔλαφος κρατεροῖο λέοντος
νεβροὺς κοιμήσασα νεηγενέας γαλαθηνούς,
κνημοὺς ἐξερέησι καὶ ἄγκεα ποιήεντα
βοσκομένη, ὁ δ' ἔπειτα ἑὴν εἰσήλυθεν εὐνήν,
ἀμφοτέροισι δὲ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν·
ὣς Ὀδυσεὺς κείνοισιν ἀεικέα πότμον ἐφήσει.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον!
τοῖος ἐών, οἷός ποτ' ἐϋκτιμένῃ ἐνὶ Λέσβῳ
ἐξ ἔριδος Φιλομηλείδῃ ἐπάλαισεν ἀναστάς,
κὰδ δ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί,
τοῖος ἐὼν μνηστῆρσιν ὁμιλήσειεν Ὀδυσσεύς·
πάντες κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.
ταῦτα δ', ἅ μ' εἰρωτᾷς καὶ λίσσεαι, οὐκ ἂν ἔγωγε

V. 121. ὅττευ] τινός (scr. τίνος). Vulg. Al. ὅττεο.

V. 124—141. ὦ πόποι] v. γ, 333—350.

V. 130. ἐφήσει] Γρ. ἐφῆκεν. Harl.

V. 134. Φιλομηλείδῃ] Ὁ Φιλομηλείδης ὡς Φιλομήλου υἱός. ὁ γὰρ Πάτροκλος οὐ δύναται δηλοῦσθαι ὡς Φιλομήλας υἱός, ὅτι τε τὰ ἀπὸ μητέρων οὐ σχηματίζει ὁ ποιητής, καὶ ὅτι τὸ ἐπιφερόμενον οὐκ οἰκεῖον ἦν ἐπὶ Πατρόκλου, καδδ' ἔβαλε κρατερῶς, κεχάροντο δὲ πάντες Ἀχαιοί. καὶ ἐν Ἰλιάδι δὲ λέγει (ρ, 670.), νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο μνησάσθω. Vulg. Ambr. Q. v. ad γ, 343.

ἄλλα παρὲξ εἴποιμι παρακλιδόν, οὐδ᾽ ἀπατήσω·
ἀλλὰ τὰ μέν μοι ἔειπε γέρων ἅλιος νημερτής,
τῶν οὐδέν τοι ἐγὼ κρύψω ἔπος, οὐδ᾽ ἐπικεύσω.
φῆ μιν ὅγ᾽ ἐν νήσῳ ἰδέειν κρατέρ᾽ ἄλγε᾽ ἔχοντα,
Νύμφης ἐν μεγάροισι Καλυψοῦς, ἥ μιν ἀνάγκῃ
ἴσχει· ὁ δ᾽ οὐ δύναται ἣν πατρίδα γαῖαν ἱκέσθαι.
οὐ γάρ οἱ πάρα νῆες ἐπήρετμοι καὶ ἑταῖροι,
οἵ κέν μιν πέμποιεν ἐπ᾽ εὐρέα νῶτα θαλάσσης.
  Ὣς ἔφατ᾽ Ἀτρείδης, δουρικλειτὸς Μενέλαος.
ταῦτα τελευτήσας, νεόμην· ἔδοσαν δέ μοι οὖρον
ἀθάνατοι, τοί μ᾽ ὦκα φίλην ἐς πατρίδ᾽ ἔπεμψαν.
  Ὣς φάτο· τῇ δ᾽ ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν.
τοῖσι δὲ καὶ μετέειπε Θεοκλύμενος θεοειδής·
  Ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
ἤτοι ὅγ᾽ οὐ σάφα οἶδεν· ἐμεῖο δὲ σύνθεο μῦθον·
ἀτρεκέως γάρ σοι μαντεύσομαι, οὐδ᾽ ἐπικεύσω.
ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
ἱστίη τ᾽ Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,

V. 139. ἀλλὰ παρὲξ] v. ad γ, 348. παρακλιδόν] v. ad δ, 348. τ, 556.

V. 142. φῆ μιν ὅγ᾽ ἐν νήσῳ] cf. γ, 556—560.

V. 147. ὣς ἔφατ᾽ Ἀτρ.] Ἀθετοῦνται ιστ΄ στίχοι. Harl. (Porson. τέ, nempe a v. 147—161. Cod. Ambr. ad v. 150. Ἀθετοῦνται ιβ΄ στίχοι, a v. 150—161. Buttm. ostendit, notam pertinere ad v. 150., ibique legendum: ιστ΄ στίχοι, ut deleantur v. 150—165.)

V. 155. ἴστω νῦν Ζεύς] v. ξ, 158. sequ.

V. 156. ἱστίη] Ἱστίην καὶ νῦν τὴν ἐσχάραν λέγει, τὴν καὶ ἑστίαν λεγομένην. τοῦτο μὲν ἐκ τοῦ ἑστάναι, ἐκεῖνο δὲ ἐκ τοῦ ἵστασθαι. αἰτία γὰρ αὕτη τοῦ τὸν οἶκον συνεστάναι καὶ ἵστασθαι διὰ τὰς ἐν αὐτῇ ὁσημέραι θυσίας. ὅθεν καὶ Ζεὺς ἐφέστιος, καὶ ἑστιοῦχος, καὶ Ἑστία θεὰ παρ᾽ Ἀττικοῖς, καὶ ὅλος δὲ οἶκος

ὡς ἦτοι Ὀδυσεὺς ἤδη ἐν πατρίδι γαίῃ,
ἥμενος ἢ ἕρπων, τάδε πευθόμενος κακὰ ἔργα,
ἐστίν, ἀτὰρ μνηστῆρσι κακὸν πάντεσσι φυτεύει·
οἷον ἐγὼν οἰωνὸν ἐϋσσέλμου ἐπὶ νηὸς
ἥμενος ἐφρασάμην, καὶ Τηλεμάχῳ ἐγεγώνευν.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
τῷ κε τάχα γνοίης φιλότητά τε, πολλά τε δῶρα,
ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον. —
μνηστῆρες δὲ πάροιθεν Ὀδυσσῆος μεγάροιο
δίσκοισιν τέρποντο καὶ αἰγανέῃσιν ἱέντες,
ἐν τυκτῷ δαπέδῳ, ὅθι περ πάρος ὕβριν ἔχεσκον.
ἀλλ' ὅτε δὴ δείπνηστος ἔην, καὶ ἐπήλυθε μῆλα

ἀπ' αὐτῆς ἑστία, ὡς καιρίου μέρους, καθὰ καὶ βωμός, ὁ ναός, ἀπὸ τοῦ ἐν αὐτῷ βωμοῦ. Eust.

V. 158. ἕρπων] κατ' ὀλίγον προσερχόμενος. Vulg. τουτέστι, κρύφα καὶ οὐ κατ' ὀρθὸν βαδίζων. Eust.

V. 160. οἷον ἐγών] Ἐν τοῖς χαριεστέροις οὗτοι μόνοι οἱ ιβ' (jure Buttm. legendum censet οἱ β', np. v. 160. 161.) ἀθετοῦνται. ἐπεὶ καὶ (Vind. δὲ) πρὶν εἰσελθεῖν ἐν τῇ νηῒ τὸν οἰωνὸν εἶδε (Vind. ἔρδε), καὶ τὸ ἐγεγώνευν οὐκ ἀκαίρως (delet οὐκ Buttm.) ἐστίν. ἐν δὲ τοῖς κοινοτέροις (Vind. εἰκαιοτέροις) ἀπὸ τοῦ, ὣς ἔφατο (scr. ὣς φάτο. v. 150.), ἕως τοῦ, ἐξ ἐμεῦ (v. 165.). Ambr. Q. Vind. 133. v. ad v. 147.

V. 161. ἐφρασάμην] ἐθεασάμην, ἔγνων. ἐγεγώνευν (ed. ant. ἐγεγώνεον)] ἐσήμαινον, ἔλεγον. Vulg. Ὅτι ἐν τῷ, ἐφρασάμην καὶ Τηλεμάχῳ ἐγεγώνευν, ἀντὶ τοῦ ἐγεγώνεον, δηλοῦται περισπώμενον ῥῆμα εἶναι τὸ γεγωνῶ. ἐξ οὗ γεγωνώς μετοχή, συγκεκομμένη ἐκ τοῦ γεγωνηκώς, ὁμοία τῷ εἰδηκώς καὶ ἐν συγκοπῇ εἰδώς. Eust.

V. 167. sequ. μνηστῆρες δέ] v. ad δ, 625. sequ.

V. 170. δείπνηστος] Βαρυτόνως μὲν ἡ τοῦ δείπνου ὥρα,

πάντοθεν ἐξ ἀγρῶν, οἱ δ' ἤγαγον, οἳ τὸ πάρος περ,
καὶ τότε δή σφιν ἔειπε Μέδων· ὃς γάρ ῥα μάλιστα
ἥνδανε κηρύκων, καί σφιν παρεγίγνετο δαιτί·
  Κοῦροι, ἐπειδὴ πάντες ἐτέρφθητε φρέν' ἀέθλοις,
ἔρχεσθε πρὸς δώμαθ', ἵν' ἐντυνώμεθα δαῖτα·
οὐ μὲν γάρ τι χέρειον ἐν ὥρῃ δεῖπνον ἑλέσθαι.
  Ὣς ἔφαθ'· οἱ δ' ἀνστάντες ἔβαν, πείθοντό τε μύθῳ.
αὐτὰρ ἐπεί ῥ' ἵκοντο δόμους εὐναιετάοντας,
χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε·
οἱ δ' ἱέρευον ὄϊς μεγάλους καὶ πίονας αἶγας,
ἵρευον δὲ σύας σιάλους καὶ βοῦν ἀγελαίην,
δαῖτ' ἐντυνόμενοι. — Τοὶ δ' ἐξ ἀγροῖο πόλινδε

ὀξυτόνως δὲ τὸ δεῖπνον. Vulg. Ἔστι δειπνηστός ἢ δείπνηστος ὁ τοῦ δείπνου καιρός. ἄλλως δὲ σαφέστερον εἰπεῖν, δειπνητός ὀξυτόνως, αὐτό φασι τὸ δεῖπνον, βαρυτόνως δὲ ἡ ὥρα τοῦ δείπνου, ὃ δὴ καὶ ἐπὶ τοῦ ἀμητός καὶ ἄμητος παρατετήρηται. Eust. δειπνητὸς ἔην. Vind. 133. δειπνιστὸς ἔην. Etymol. M. sub v. Δειπνιστός, ubi additur: περισσὸν τὸ σ̄. διὰ τοῦ ἰῶτα γράφεται. ἀπὸ τοῦ δειπνίζω δειπνιστός. Ὦρος.

V. 175. ἐντυνώμεθα] εὐτρεπίσωμεν. Vulg. ὁπλίσωμεν. Eust.

V. 176. οὐ μὲν γάρ τι χέρειον] ἤτοι καλόν ἐστιν. ὡς τό, οὐχ ἥκιστα, ἀντὶ τοῦ μᾶλλον. Ambr. B. ἐν ὥρῃ] τουτέστι, κατὰ καιρόν. Eust.

V. 177. ποτὶ οἶκον ἕκαστος] Γρ. πείθοντό τε μύθῳ. Harl. Vind. 133.

V. 181. ἵρευον] Ὡς συγκοπτόμενον ψιλοῦται. Ambr. B. Ἀθετεῖ καὶ Ἀριστοφάνης. Harl.

ὠτρύνοντ' Ὀδυσεύς τ' ἰέναι καὶ δῖος ὑφορβός.
τοῖσι δὲ μύθων ἦρχε συβώτης, ὄρχαμος ἀνδρῶν·
Ξεῖν', ἐπεὶ ἂρ δὴ ἔπειτα πόλινδ' ἰέναι μενεαίνεις
σήμερον, ὡς ἐπέτελλεν ἄναξ ἐμός – ἦ σ' ἂν ἔγωγε
αὐτοῦ βουλοίμην σταθμῶν ῥυτῆρα λιπέσθαι·
ἀλλὰ τὸν αἰδέομαι καὶ δείδια, μή μοι ὀπίσσω
νεικείῃ· χαλεπαὶ δέ τ' ἀνάκτων εἰσὶν ὁμοκλαί –
ἀλλ' ἄγε νῦν ἴομεν· δὴ γὰρ μέμβλωκε μάλιστα
ἦμαρ· ἀτὰρ τάχα τοι ποτὶ ἕσπερα ῥίγιον ἔσται.
Τὸν δ' ἀπαμειβόμενος προςέφη πολύμητις Ὀδυσσεύς·

V. 183. ὠτρύνοντο] παρεσκευάζοντο. Vulg.

V. 185. πόλινδ' ἰέναι] Γρ. δ' ἴμεναι. Harl.

V. 187. αὐτοῦ] τουτέστιν, ἐνταῦθα. Eust. ῥυτῆρα (ed. ant. et Eust. ῥητῆρα) φύλακα. σταθμῶν δέ, τῶν ἐπαύλεων. Vulg.

V. 188. τόν] ἤγουν τὸν δεσπότην Τηλέμαχον. Eust.

V. 189. χαλεπαί] δύςκολοι. κακαὶ τῶν δεσποτῶν αἱ ἀπειλαί. ἀνάκτων] δεσποτῶν. ὁμοκλαί] ἀπειλαί. Vulg.

V. 190. μέμβλωκε μάλιστα ἦμαρ] τὸ πλεῖστον τῆς ἡμέρας παρελήλυθεν. Vulg. Μέμβλωκεν οὕτω τὸ ἦμαρ, εἰ ταχὺ ἑσπέρα ἔσται. εἰ δὲ τοῦτο, οὐκ ἄρα ἐνταῦθα δεῖπνος (scr. δεῖπνον) τὸ πρωϊνὸν ἔμβρωμα κατὰ κυριολεξίαν, ἀλλ' ἢ μόνον, καθ' ὃ πρὸ δείλης καὶ τοῦ προδόρπου ἦν. τὸ δὲ μέμβλωκεν ἀντὶ τοῦ μεμόληκε, παρῆλθεν — ὡς ἐκ τοῦ μολῶ μολήσω μεμόληκα. εἰ δὲ πρὸς τῇ ἑσπέρᾳ ῥίγιον ἔσται, χειμέριος ἄρα καὶ νῦν δηλοῦται ἡ ἐγγὺς χειμῶνος καιρός. Eust.

V. 191. ποτὶ ἕσπερα] πρὸς ἑσπέραν μᾶλλον χειμών ἐστι. ῥίγιον] χειμών, ψύχος. Vulg. Ὅτι τὸ ἕσπερα συγκέκοπται μὲν ἐκ τοῦ ἑσπέρια, δηλοῖ δὲ ἐλλειπτικῶς ἕσπερα μέρη ἢ καταστήματα ἢ τοιοῦτόν τι. Καὶ ὅτι τό, ῥίγιόν σοι ἔσται, ἀλλαχοῦ ἀντὶ τοῦ φοβηθήσει κεῖται καὶ φρίξεις, μεταφορικῶς ἐκεῖ λεχθέν (v. Il. α, 325. 563.). Eust.

γιγνώσκω, φρονέω· τάγε δὴ νοέοντι κελεύεις.
ἀλλ' ἴομεν· σὺ δ' ἔπειτα διαμπερὲς ἡγεμόνευε.
δὸς δέ μοι, εἴ ποθί τοι ῥόπαλον τετμημένον ἐστίν,
σκηρίπτεσθ', ἐπειὴ φατ' ἀρισφαλέ' ἔμμεναι οὐδόν.
Ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἀεικέα βάλλετο πήρην,
πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
Εὔμαιος δ' ἄρα οἱ σκῆπτρον θυμαρὲς ἔδωκεν.

V. 195. ῥόπαλον] Τὸ ῥόπαλον μετ' ὀλίγα (v. 199.) καὶ σκῆπτρον ἐρεῖ θυμῆρες τῷ Ὀδυσσεῖ, ὡς ἀπὸ τοῦ σκηρίπτω ἢ σκήπτω, ἐφ' οὗ ὁδεύει σκηριπτόμενος. ἀπὸ τοῦ ῥέπω δὲ γίνεται τὸ ῥόπαλον, ὡς οἷα ῥέπον εἰς μέρος καὶ μὴ ὀρθόν. Eust.

τετμημένον] κεκομμένον. Vulg.

V. 196. σκηρίπτεσθαι] ἐπερείδεσθαι. Vulg. Eust.

ἀρισφαλέα] τραχύν, σκληρόν, σφῆλαι πάνυ δυνάμενον, δύςβατον, ὀλισθηρόν, ὥςτε κινδυνεύειν καταπεσεῖν. οὐδὸν δὲ νῦν ἀντὶ τοῦ, τὴν ὁδόν. Vulg. (Barnes. τραχεῖαν, σκληράν, et sic p.) ἄγαν σφαλεράν, τραχεῖαν, σκληράν, σφῆλαι πάνυ δυναμένην, δύςβατον, ὀλισθηράν, ὥςτε κινδυνεύειν καταπεσεῖν. Ambr. B. Q. Τὸ οὐδόν, ἀντὶ τοῦ, τὴν ὁδόν. νῦν δὲ μόνως μετὰ τοῦ ῡ. B. Ὅρα τὸ οὐδόν ἀντὶ τοῦ ὁδόν ἐπενθέσει Αἰολικῇ τοῦ ῡ. ἅπαξ δέ φασιν ἐνταῦθα εἶπε τὴν λέξιν, καὶ δέδωκεν ἀφορμὴν ἐτυμολογίας τῷ οὐδῷ, καὶ ἐκεῖνος γὰρ ὁδὸς εἰς οἶκόν ἐστιν. Ἡρακλείδης δέ, ἐν οἷς περὶ δυςκλίτων ὀνομάτων γράφει, ἀρισφαλὲς ἔμμεναι οὖδας, φησὶ γράφεσθαι οὐκ ἄλλως ὑπό τινων. — Ἀρισφαλὴς δὲ ὁδός, ἡ τραχεῖα καὶ πάνυ σφάλλουσα, ὡς κινδυνεύειν πίπτειν τὸν ὁδεύοντα. Eust.

ἀρισφαλέα] μεγάλως σφαλερόν. Apollon. οὐδός] ἐπὶ μὲν τοῦ βαθμοῦ τῆς θύρας (cit. Od. α, 104. et ϑ, 80.). ἀπὸ τοῦ δι' αὐτὸν ὁδεύειν. ἐπὶ δὲ τῆς κοινῶς νοουμένης ὁδοῦ. ἐπειή φασ' ἀρισφαλέ' ἔμμεναι οὐδόν. Id.

V. 198. στρόφος - ἀορτήρ] v. ad ν, 438.

V. 199. θυμαρές] εὐάρεστον. Vulg. Eust. ad v. 195. θυμῆρες. Apollon. θυμαρέα (ex Il. τ, 336. Od. ψ, 232.). θυμάρεστον. καὶ θυμῆρες. τὸ ἀρέσκον τῇ ψυχῇ (ex h. l.).

τὼ βήτην· σταθμὸν δὲ κύνες καὶ βώτορες ἄνδρες
ῥύατ', ὄπισθε μένοντες· ὁ δ' ἐς πόλιν ἦγεν ἄνακτα,
πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι,
σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο.
Ἀλλ' ὅτε δὴ στείχοντες ὁδὸν κάτα παιπαλόεσσαν
ἄστεος ἐγγὺς ἔσαν, καὶ ἐπὶ κρήνην ἀφίκοντο
τυκτὴν, καλλίροον, ὅθεν ὑδρεύοντο πολῖται,
τὴν ποίησ' Ἴθακος καὶ Νήριτος ἠδὲ Πολύκτωρ·
ἀμφὶ δ' ἄρ' αἰγείρων ὑδατοτρεφέων ἦν ἄλσος,

V. 202. λευγαλέῳ] εὐτελεῖ. Vulg.

V. 203. σκηπτόμενον] ἐπερειδόμενον. Id. σκηπτόμενον, ὅ ἐστι σκηριπτόμενον, ὡς ἀνωτέρω ἐῤῥέθη (v. 196.), ἢ προφασιζόμενον καὶ φαινόμενον. οὐ γὰρ ἀληθῶς τοιοῦτος ἦν. Eust. ἕστο] ἐνεδέδυτο. Vulg. Ὅρα δὲ ὅτι ἐν τῷ, τὰ δὲ λυγρὰ εἵματα, περιττῶς κεῖται τὸ ἄρθρον. ἤρκει γὰρ εἰπεῖν, λυγρὰ δὲ εἵματα ἕστο. ἐνθυμητέον δ' ἐν τούτοις, καὶ ὡς τοιαύτη τις εἰδέχθεια καὶ κακοειμοσύνη καὶ ἐν Τροίᾳ τὸν Ὀδυσσέα ὤνησε δολιευσάμενον. Eust.

V. 206. τυκτήν] Ὅτι κρήνη τις ἦν ἐν Ἰθάκῃ τυκτή, τουτέστι χειροποίητος, καλλίροος, ὅθεν ὑδρεύοντο πολῖται. ἀξία δὲ λόγου αὕτη, τρεῖς ἔχουσα ἐπισκευαστάς. φησὶ γάρ· τὴν ποίησεν Ἴθακος καὶ Νήριτος ἠδὲ Πολύκτωρ. ὧν ἐξ Ἰθάκου μὲν ἡ Ἰθάκη, ἀπὸ δὲ Νηρίτου Νήριτον ὄρος ἐκεῖ, ἀπὸ δὲ Πολύκτορος τόπος αὐτόθι Πολυκτόριον. Πτερελάου δὲ παῖδες οὗτοι. Eust. Πτερελάου παῖδες Ἴθακος καὶ Νήριτος, ἀπὸ Διὸς ἔχοντες τὸ γένος, ᾤκουν τὴν Κεφαληνίαν. ἀρέσαν δὲ αὐτοῖς τοῦτο, καταλιπόντες τὰ σφέτερα ἤθη, παραγίνονται εἰς τὴν Ἰθάκην. καὶ τόπον ἰδόντες εὖ πεποιημένον εἰς συνοικισμόν, διὰ τὸ τῶν παρατεθειμένων ὑψηλότερον εἶναι, καὶ κατοικήσαντες δεῦρο, τὴν Ἰθάκην ἔκτισαν. καὶ ἐκ μὲν τοῦ Ἰθάκου ἡ νῆσος ἐπωνομάσθη Ἰθάκη, τὸ δὲ παρακείμενον ὄρος ἐκ τοῦ Νηρίτου Νήριτον. ἡ δὲ ἱστορία παρὰ Ἀκουσιλάῳ. Vulg. ad v. 207. (v. Sturz. Fr. Acusil. num. 22.).

V. 208. ὑδατοτροφέων] τῶν ὕδατι τρεφομένων. Vulg.

πάντοσε κυκλοτερές, κατὰ δὲ ψυχρὸν ῥέεν ὕδωρ
ὑψόθεν ἐκ πέτρης· βωμὸς δ' ἐφύπερθε τέτυκτο
Νυμφάων, ὅθι πάντες ἐπιῤῥέζεσκον ὁδῖται·
ἔνθά σφεας ἐκίχαν' υἱὸς Δολίοιο Μελανθεύς,
αἶγας ἄγων, αἳ πᾶσι μετέπρεπον αἰπολίοισιν,
δεῖπνον μνηστήρεσσι· δύω δ' ἅμ' ἕποντο νομῆες.
τοὺς δὲ ἰδὼν νείκεσσεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν,
ἔκπαγλον καὶ ἀεικές· ὄρινε δὲ κῆρ Ὀδυσῆος·

V. 209. πάντοσε κυκλοτερὲς] Σημείωσαι ἐνταῦθα εἰς τό, πάντοσε κυκλοτερές, ὅπως τίμιον ἐδόκει χρῆμα τοῖς παλαιοῖς ὁ κύκλος, διὰ τὸ κατὰ κόσμον σφαιροειδές. οὗ φαντασίαν ἐναργῆ φασι λαβόντες ἐκ τοῦ τῆς σελήνης καὶ τοῦ ἡλίου σχήματος, θέατρά τε κυκλοτερέσιν ἐδέμυνον σχήμασι, καὶ τὸν τῆς ἀγορᾶς δὲ τόπον κύκλῳ περιέγραφον κατὰ τό, κυκλόεντ' ἀγορᾶς θρόνον, καὶ βωμοὺς δὲ ἱεροὺς πάντοσε κυκλοτερεῖς ἀνίστων. Eust.

V. 210. βωμὸς — Νυμφάων] Φανεῖται δὲ μετ' ὀλίγα (v. 240.) καὶ Ὀδυσσεὺς καίων ἦν ὅτε καὶ αὐτὸς μηρία ἀρνῶν καὶ ἐρίφων ταῖς τοιαύταις Νύμφαις. αἴθριος δὲ ὡς εἰκὸς ὁ ὑπὲρ τῆς πέτρας οὗτος βωμός, ὁποῖοι καὶ ἕτεροι ἀλλαχοῦ. Ἰστέον δὲ ὅτι σύνηθες ἦν καὶ τοῖς μεθ' Ὅμηρον, βωμοὺς ἱδρύειν ταῖς Νύμφαις, καὶ μάλιστα ὡς εἰκὸς ταῖς Νήσοι. λέγεται οὖν Ἀμφικτύων βασιλεὺς Ἀθηναίων, βωμὸν ἀναστήσας Διονύσῳ, καὶ ἕτερον βωμὸν δείμασθαι ταῖς Νύμφαις ἐγγὺς αὐτοῦ, ὑπόμνημά φασι θέμενος τοῖς χρωμένοις κράσεως οἴνου πρὸς ὕδωρ, ἣν κατά τινας μὲν Μελάμπους πρῶτος ἐξεῦρε, καθ' ἑτέρους δὲ ὁ ῥηθεὶς Ἀμφικτύων· ὃς καί, ὀρθουμένων τῶν οὕτω πινόντων, πρότερον γάρ φασιν ὑπὸ ἀκράτου ἐκάμπτοντο, βωμὸν ὀρθοῦ Διονύσου ἤγειρεν ἐν τῷ τῶν Ὡρῶν ἱερῷ, αἳ δὴ καὶ τὸν τῆς ἀμπέλου καρπὸν ἐκτρέφουσι. λέγονται δέ φασι καὶ Μοῦσαι, Διονύσου τροφοί, Νύμφαι τινὲς οὖσαι καὶ αὐταί, ὡς καὶ παρὰ Λυκόφρονι εὕρηται. Eust.

V. 211. ὁδῖται] ὁδοιπόροι. Vulg.

V. 213. μετέπρεπον] ἐπίσημοι ἦσαν. Id.

V. 214. νομῆες] ποιμένες. Id.

V. 216. ἔκπαγλον καὶ ἀεικές] δεινῶς ὑβριστικόν. Id.

Νῦν μὲν δὴ μάλα πάγχυ κακὸς κακὸν ἡγηλάζει·
ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.
πῆ δὴ τόνδε μολοβρὸν ἄγεις, ἀμέγαρτε συβῶτα,

V. 217. μάλα πάγχυ] Τό, μάλα πάγχυ, Ἀττικόν ἐστι, ὡς καὶ τό, λίαν πάνυ, καὶ τό, τυχὸν ἴσως, καὶ παρ' Ἡσιόδῳ (εργ. v. 91.), νόσφιν ἄτερ κακῶν. Eust.

κακός] Τὸ κακός γενικῶς ἐνταῦθα κεῖται, δηλοῦν καὶ τὸν ἀγεννῆ, καὶ τὸν δειλόν, καὶ τὸν μὴ ἀρετῶντα, καὶ ὅλως τὸν οὐδὲν ὑγιὲς ἔχοντα. Id.

ἡγηλάζει] ἄγει. Vulg. Τὸ ἡγηλάζει δασυνόμενον μέν, καθά που καὶ πρὸ τούτων ἐγράφη (λ, 618.), τὸ προηγεῖσθαι δηλοῖ, ψιλούμενον δὲ ἀντὶ τοῦ ἄγει κεῖται, ἵνα λέγῃ, ὅτι κακὸς Εὔμαιος τὸν κακὸν ξένον ἄγει, ὅπερ ἔοικε πρὸς τό, τὸν ὁμοῖον ἄγει θεός, καὶ τό, τόνδε τὸν μολοβρὸν ἄγεις. Eust. ἡγηλάζει. Οὕτως Ἀρίσταρχος καὶ Ἀριστοφάνης, χωρὶς τοῦ σ (non, ut alii, ἡγηλάζεις). Harl.

V. 218. ὁμοῖον] Ὁ ὁμοῖος ἀναλόγως προπερισπᾶται ἐκ τοῦ ὁμός, κατὰ τὸ παντὸς παντοῖος, ἄλλος ἀλλοῖος, καὶ τὰ ὅμοια. τὸ μέντοι ὅμοιος ὕστερον οἱ Ἀττικοὶ παρώξυναν. Eust.

V. 219. μολοβρόν] τὸν ἐπαίτην, τὸν γαστρίμαργον. Vulg. (Barnes. e MS. Aloys. add. τὸν μολίσκοντα ἐπὶ τὴν βοράν, τὸν ἀκόρεστον τροφῆς.). Μολοβρός, ὁ ἀγύρτης καὶ μολῶν αὐτὸς εἰς βοράν, ὁποῖος καὶ ὁ γαστέρι μάργῃ διαπρέπων ἐν τοῖς ἑξῆς (σ, 2.). — Ἰστέον δὲ καὶ ὅτι μολοβρός παρά τισιν ὁ μονοβρός, ὅπερ ἐστὶ μονοφάγος, τροπῇ συνήθει τοῦ ν εἰς λ. Eust. Μολοβρόν. τὸν μολίσκοντα ἐπὶ τὴν βοράν, οἱονεὶ γαστρίμαργον. ἢ ἐπαίτην, η ἀλήτην, ἢ καὶ πτωχόν, ἢ τὸν μόλις προβαίνοντα, ἢ ἁρπακτικόν. Apollon.

ἀμέγαρτε] Ἀμέγαρτος συβώτης, ὁ εὐτελὴς καὶ ἄζηλος, ᾧ οὐκ ἄν τίς φασι φθονήσοι τοῦ συβωτεῖν. διὸ προϊὼν ἐρεῖ, (v. 375.) ὦ ῥίγνωτε συβῶτα, ἤγουν ὃν πάντες συβώτην οἴδασιν, ἢ οὗ τὸ σεμνὸν γνώρισμα τὸ συβώτην εἶναι. ἢ καὶ ἄλλως ἀμέγαρτος συβώτης ὁ ἀχρεῖος καὶ διὰ τὴν ἀτεχνίαν ἀφθόνητος. Eust. Ἀμέγαρτε. ᾧ οὐκ ἄν τις μεγήρειεν, ὅ ἐστι φθονήσειεν, ζηλώσειεν. οἷον ἀμέγαρτε, ἀφθόνητε. καί, πόνον ἀμέγαρτον ὄφελλεν (Il. β, 420.), οἷον ἔργον ἀφθόνητον, ὃ οὐκ ἄν τις ζηλώσειεν διὰ χαλε-

πτωχὸν ἀνιηρόν, δαιτῶν ἀπολυμαντῆρα;
ὃς πολλῇς φλιῇσι παραστὰς θλίψεται ὤμους,
αἰτίζων ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας·

πότητα. Apollon. Οὐδενὸς λόγου ἄξιε. Ambr. Q. cf. ἀμέγαρτον ἀϋτμήν. Od. λ, 399.

V. 220. πτωχόν] ἐπαίτην. Vulg. ἀνιηρόν] Τὸ ἀνιηρόν ἐπίτασις κακίας, εἴπερ πτωχὸς ὢν μὴ ἐλεεῖται, ἀλλὰ καὶ ἀνιᾷ. Eust. cf. v. 377.

δαιτῶν ἀπολυμαντῆρα] λυμεῶνα τῶν εὐωχιῶν, ἢ τὸν τὰ καθάρματα προςφερόμενον (Barnes. ἀποφερόμενον) τῶν εὐωχιῶν. Vulg. Ambr. Δαιτῶν ἀπολυμαντήρ, ὁ τὰς δαῖτας διὰ λαιμαργίαν λυμαινόμενος, ἢ τὰ τῶν δαιτῶν λύματα ὅ ἐστι καθάρματα οἷον ψιχία καὶ εἴ τι τοιοῦτον ἀποφερόμενος, ὁποῖος καὶ ὁ ἀκόλους αἰτίζων, ὡς μετ' ὀλίγα ῥηθήσεται. καὶ ἄλλως δὲ εἰπεῖν, δαιτῶν ἀπολυμαντήρ, ὁ τὰ λύματα τῶν δαιτῶν διὰ σπόγγου αἴρων, ἢ δίκην σπόγγου. Eust. Ἀπολυμαντῆρα] τὰ δεῖπνα λυμαινόμενον. Apollon.

V. 221. πολλῇσι] πολλαῖς. φλιῇσι] ταῖς παραστάσεσι (scr. παραστάσι) τῆς θύρας. Vulg. Φλίψεται] Αἰολικῶς. ἔνιοι, θλίψεται, θλιβήσεται (Ed. ant. Θλίψεται. Αἰολικῶς. θλιβήσεται), ὃς οὐκ ἐκβήσεται τῶν φλιῶν, οὐδὲ εἴξει. εἰώθασι δὲ οἱ πτωχοὶ προςκλίνεσθαι ταῖς θύραις, ἢ προστρίβεσθαι. Id. Ambr. Q. Τό, φλιῇσι παραστὰς φλίψεται ὤμους ἢ θλίψεται, διχῶς γὰρ ἡ γραφή, περίφρασίς ἐστι τοῦ θλιβήσεται, ἐπείπερ οἱ πτωχοὶ προστριβόμενοι φλιαῖς καὶ προςκλινόμενοι ἢ καὶ ἐπ' αὐτῶν βιαίως ἑλκόμενοι θλίβονται τοὺς ὤμους. ὁποῖόν τι δηλοῖ καὶ τὸ θύρας ἐκτρίβειν. ἴσως δὲ καὶ παρετυμολογεῖ τὴν φλιάν, εἰπών, φλιαῖς φλίψεται. ἡ δὲ λέξις Αἰολική, ὡς τὸ φηρσί, καὶ τὸ φλᾶν. αὐτὸ μέντοι καὶ Ἀττικόν ἐστι. Eust. Φλίψεται. ἀποθλιβήσεται. Apollon. Hesych. — Harl. φλίψεται, et ex emend. θλίψεται. Sch. διὰ τοῦ θ, ὡς καὶ Ζηνόδοτος. Vind. 133. θλίψεται. Marg. Γρ. θλίψεται ἦτορ.

V. 222. αἰτίζων] αἰτῶν. ἀκόλους] ψωμούς, οὓς οὐκ ἄν τις κωλύσῃ (scr. κολούσῃ cum Ambr. B. Q.) διὰ τὴν βραχύτητα (Pal. σμικρότητα). Vulg. Ambr. Ἄκολοι, οἱ σμικρότατοι καὶ ψιχιώδεις ψωμοί, εἶτουν πύρνα. ταυτὸν γὰρ πύρνον εἰπεῖν καὶ ψωμόν, κατὰ τὸν παραφράσαντα, οὓς οὐκ ἄν τις ἔχοι κολούειν ἤτοι βολοβοῦν, σμικροτάτους ὄντας. παλαιὸς δέ τις καὶ οὕτω φράζει.

τόν κ' εἴ μοι δοίης σταθμῶν ῥυτῆρα λιπέσθαι,
σηκοκόρον τ' ἔμεναι, θαλλόν τ' ἐρίφοισι φορῆναι·

ἄκολος, μικρὸς ψωμός, μηκέτι κολούεσθαι δυνάμενος καὶ εἰς μικρὰ τέμνεσθαι. Eust. et ultima Etymol. M. Ἀκόλους. ψωμούς. Apollon. ψωμούς. παρ' ὃ ἡ τροφὴ ἀχόλους ποιεῖ καὶ ἡμέρους τοὺς φαγόντας. Hesych.

ἄορας] Οἱ μὲν χωρὶς τοῦ σ τὰ ξίφη, παρὰ τὸ ἄορ. οἱ δὲ μετὰ τοῦ σ τρίποδας (del. τρίποδας, ex sequ. huc trajectum) ἄορας. οἱ μὲν τὰς ἀπὸ τῶν ἀγώνων λαμβανομένας ἆθλα γυναῖκας. λέγει γάρ που (Il. χ, 164.), ἢ τρίπους, ἢ γυνή (ἢ ἄορας. del.). οἱ δὲ τοὺς τρίποδας τοὺς ὦτα ἔχοντας, ἐξ ὧν αἴρεσθαι δύνανται. Vulg. Ἄορας τὰς γυναῖκας λέγει, παρὰ τὸ ἀείρω τὸ συζευγνύω. γενική, ἄορος, καὶ πληθυντικὴ αἰτιατική, ἄορας. μετατεθεῖσα δὲ ἡ ἄορ (scr. ἆορ) ἐποίησε τὸ ὄαρ ὄαρος, ὅθεν ὀαρίζειν καὶ ὀαριστής. ἕτεροι δὲ ἄορα γράφουσι χωρὶς τοῦ σ, ἤγουν ξίφη. ὡς ἂν λέγῃ κατὰ μὲν τὴν πρώτην γραφήν, ὅτι αἰτῶν οὐ μεγάλα τινά, οἷον γυναῖκας, δμωάς, ἢ λέβητας, ὁποῖα τοῖς μεγάλοις (scr. ων) ἀξίοις δίδονται, ἀλλὰ ἀκόλους τοὺς ῥηθέντας. κατὰ δὲ τὴν δευτέραν γραφήν, αἰτῶν οὐ ξίφη καὶ τάδε τινὰ τιμῆς ἄξια, ψωμοὺς δὲ βραχεῖς τινας. Eust. Id. ad ω, 278. Ὁ περὶ γυναικῶν ἐνταῦθα λόγος χρήσιμος ἐν τοῖς πρὸ τούτων εἰς τό, οὐκ ἄορας οὐδὲ λέβητας; ἔνθα ἐφαίνετο καὶ ὅτι ἄορας τὰς γυναῖκας ἐκεῖ ὁ ποιητὴς λέγει, καὶ ὅτι ἐδίδοντό ποτε καὶ γυναῖκες τοῖς ἐπιξενουμένοις. Ἄορας. γυναῖκας. Apollon. ξίφη, ἀρσενικῶς. Hesych.

V. 223. δοίης] παράσχοις. Vulg. ῥυτῆρα] v. supra v. 187. ῥυτῆρα λιπέσθαι ἢ γενέσθαι. Eust. γενέσθαι. Vind. 133.

V. 224. σηκοκόρον] ἐπιμελητὴν ἐπαύλεως, ἢ τὸν σαίροντα τοὺς σηκούς. σηκοὶ δὲ λέγονται αἱ μάνδραι, καὶ οἱ τόποι, ἔνθα συγκλείονται αἱ αἶγες καὶ τὰ πρόβατα. Vulg. Σηκοκόρος ὡς νεωκόρος. σηκὸς δὲ ἡ μάνδρα τὸ παλαιόν, παρὰ τὸ στήκω στηκός καὶ σηκός. ὅθεν καὶ σταθμοί, αἱ τῶν ζώων ἐπαύλεις. οἱ δὲ ὕστερον καὶ ἐπὶ ναοῦ ἔθεντο τὴν λέξιν, μὴ ἀπαξιώσαντες τοὔνομα, διὰ τὸ ἐν βωμῷ τοιαῦτα τὰ ζῶα ἐπὶ θυσίᾳ ἵστασθαι. Eust. Σηκοκόρος. ὁ τὴν ἐπιμέλειαν τῶν σηκῶν ποιούμενας κ. τ. λ. Hesych.

θαλλόν] πᾶν τὸ ἐκ γῆς φυέν, ἢ τὴν φυλλάδα, πᾶς γὰρ κλάδος δένδρου θαλλὸς προσαγορεύεται, ὑπὸ τῶν Ἀττικῶν δὲ μόνος ὁ τῆς ἐλαίας. Vulg. Θαλλός, ἢ πᾶν φασι τὸ ἐκ γῆς φυόμενον, ἢ φυλλάς, ἢ κλάδος δένδρου. Ἀττικοὶ δὲ ἐπὶ μόνης ἐλαίας

καί κεν ὀρὸν πίνων μεγάλην ἐπιγουνίδα θεῖτο.
ἀλλ᾽ ἐπεὶ οὖν δὴ ἔργα κάκ᾽ ἔμμαθεν, οὐκ ἐθελήσει
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσων κατὰ δῆμον
βούλεται αἰτίζων βόσκειν ἣν γαστέρ᾽ ἄναλτον.

τὴν λέξιν ἰδιάζουσιν. Eust. Θάλος (scr. Θαλλός). πᾶν τὸ χλωρόν. Apollon., cit. n. l., sed corrupte: σηκοφόρον τ᾽ ἔμεναι κ. τ. λ.

φορῆναι] φέρειν, κομίζειν. Vulg. Τοῦ φορῆναι, ὅ ἐστι φορεῖν ἤτοι φέρειν, φοραίνω τὸ θέμα ἢ φόρημι, ὁμοίως τῷ κίχημι κιχῆναι, περὶ οὗ πρὸ ὀλίγων εἴρηται (v. ad π, 357. et 379.). Eust.

V. 225. ὀρόν] Ἀντὶ τοῦ, ὀῤῥόν, (Ed. ant. Θορον. ὀρόν, ἀντὶ ὀῤῥόν,) τὴν ὑδατώδη καὶ ἐφθαρμένην ὑποστάθμην τοῦ γάλακτος. ἢ τὸ ἄπηκτον γάλα, τὸ ὑπολειπόμενον ὑδατῶδες. Vulg. Ὀρὸς καὶ νῦν τὸ ὑπολειπόμενον ὑδατῶδες ἐν τῇ πήξει τοῦ γάλακτος, καὶ ἄλλως δὲ εἰπεῖν κατὰ τοὺς παλαιούς, ὑδατώδης καὶ ἐφθαρμένη ὑποστάθμη γάλακτος. καὶ ἄλλως δὲ ἀγροτικὸν τὸ πόμα, ὡς ὁ Κύκλωψ ἐδήλωσεν (v. ad ι, 222.). Eust.

ἐπιγουνίδα] τὴν τοῦ σώματος εὐεξίαν. ἀπὸ μέρους τοῦ κατὰ τὸ γόνυ δέρματος τὸ πᾶν ἐσήμαινεν. ἢ τὸ ὑπεράνω τοῦ γόνατος. Vulg. Ἐπιγουνίς, ὁ ἀνωτέρω τοῦ γόνατος τόπος, ὃν καὶ μύλην φασί τινες. χρῆσις δὲ ταύτης καὶ ἐν τῷ, οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει (σ, 74.), τουτέστιν εὐσαρκίαν, εὐεξίαν ὡς ἐκ μέρους τὸ πᾶν δηλοῦσθαι. Eust.

V. 227. ἔργον ἐποίχεσθαι] Ὅρα ὅτι ἔργον ἐποίχεσθαι λέγει ἁπλῶς, τὸ ἀγαθὸν δηλαδή, ὡς τό γε μὴ τοιοῦτον οὐκ ἂν δίχα προσθήκης ἔργον λέγοιτ᾽ ἄν, ἀλλὰ δηλονότι κακὸν ἔργον. διὸ καὶ παρ᾽ Ἡσιόδῳ τό, ἔργον δ᾽ οὐδὲν ὄνειδος (εργ. v. 309.), ἐπ᾽ ἀγαθοῦ νοητέον. Eust. cf. α, 325.

πτώσσων] πτωχεύων. Vulg. Τὸ πτώσσων ἑρμηνεύων εὐθὺς αἰτίζων ἔφη. ἔστι δὲ πτώσσειν τό, ὡς πρὸ ὀλίγων ἔφη, πτωχεύειν. Eust.

V. 228. βόσκειν] τρέφειν. Vulg. Τὸ βώσκειν (scr. βόσκειν) ὡς ἐπὶ ἀλόγου ζώου ἔφη, σκώπτων καὶ οὕτως. Eust.

ἄναλτον] ἀπλήρωτον. Vulg. Apollon. ἀκόρεστον, παρὰ τὸ μηδέποτε ἅλις ἔχειν. Ambr. B. Q. Γαστὴρ ἄναλτος, ἡ ἀπλήρω-

ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
αἴ κ' ἔλθῃ πρὸς δώματ' Ὀδυσσῆος θείοιο, 230
πολλά οἱ ἀμφὶ κάρη σφέλα ἀνδρῶν ἐκ παλαμάων

τος καὶ μηδέποτε ἅλις ἔχουσα. ἢ ἀεὶ ἐν ταπεινώσει οὖσα καὶ μὴ ἀλδαινομένη, ὅ ἐστιν αὐξομένη ἐν τῷ κορέννυσθαι. Eust. Ὁ Ἡρωδιανὸς γράφει, τὸν τὴν γαστέρα ἀναύξητον, ἄναλσόν (ἄναλδον Ambr. B.) τινα οὖσαν, τὴν ἀεὶ ξηρὰν καὶ ταπεινήν. Vind. 133. Ambr. B, Q.

V. 231. ἀμφὶ κάρη] Γρ. ἀμφικαρῆ. Harl. Τινὲς μὲν, ἀμφοτέρωθεν οἱονεὶ κεφαλὰς ἔχοντα. (Ambr. B. Q. Ὁ μὲν Ἀσκαλωνίτης, ἀμφικαρῆ σφέλα, τὰ μικρὰ ὑποπόδια διὰ τὰς βάσεις.) ἄμεινον δέ, κατὰ παράθεσιν ἀναγινώσκειν, ἀμφὶ κάρη, περὶ τὴν κεφαλήν. (Ambr. Ὁ δὲ Ἡρωδιανός, ἀμφὶ κάρη, ὡς εἰ ἔλεγε, πεμπόμενα ἐπὶ τὸ κάρη, καὶ κατερχόμενα εἰς τὰς πλευράς, συντρίψουσιν αἱ πλευραί. v. prox. Eust.) σφέλα] τὰ ὑποπόδια. ἢ τὰ ἐντινάγματα, τὰ δυνάμενα σφῆλαι, ὅ ἐστι κινῆσαι. Vulg.

σφέλα] τὰ ἀμφοτέρωθεν ἐξοχὰς καὶ ἐπαναστάσεις ἔχοντα. ἢ ἴσως παρὰ τὸ ἀπὸ σφηνῶν συμπεπῆχθαι. σφῆνες δὲ τὰ μικρὰ ξύλα, σφέλλα (scr. σφέλα) δὲ τὰ μικρὰ ὑποπόδια. Id. Σφέλα ἢ βελῶν ἐντινάγματα δυνάμενα σφῆλαι, ὅ ἐστιν ἐμποδίσαι καὶ μετακινῆσαι· ἢ τὰ ἁπλῶς ὑποπόδια, παρὰ τὸ ἐσφηνῶσθαι, ὥς φασιν οἱ παλαιοί· καὶ τοῦτο οὕτω νοοῦντες φασὶ τό, πολλά οἱ ἀμφὶ κάρη σφέλα ἀνδρῶν ἐκ παλαμάων πλευραὶ ἀποτρίψουσι βαλλόμενοι (scr. νοιο), δηλοῦν, ὅτι πολλὰ σφέλα κατὰ σκοπὸν μὲν ἀμφὶ τὸ τοῦ Ὀδυσσέως κάρη πεμπόμενα, τῇ δὲ τοῦ Ὀδυσσέως παρεκκλίσει ἐνσκήπτοντα ταῖς αὐτοῦ πλευραῖς, ἀποτρίψουσιν αἱ οὕτω πληττόμεναι πλευραί. ἀστείως δὲ ἔφρασεν, ὡς τὰ σφέλα αἱ πλευραὶ ἀποτρίψουσι, καὶ οὐχὶ αὐτὰ τὰς πλευράς, διὰ τὸ δῆθεν στερεωτέρας εἶναι τὰς πλευράς. ὡς εἴ τίς φασιν εἴπῃ, πολλὰς μάστιγας ὁ νῶτος κατέτριψεν. Ἔτι δὲ καὶ ἄλλως ἑρμηνεύουσιν, ὅτι πολλὰ σφέλα, τουτέστιν ὑποπόδια ἢ καὶ ἁπλῶς βέλη τὰ δι' ὀστῶν ἢ ξύλων ἢ τοιούτων τινῶν, ἀμφὶ κάρη αἰρόμενα, τὸ τῶν βαλλόντων δηλαδή, ἀποτρίψουσιν αἱ τοῦ ξένου πλευραί, ὡς τῶν βαλλόντων ὑπὲρ κεφαλῆς αἴρειν εἰωθότων τὰς χεῖρας, διὰ τὸ τῆς βολῆς ὑψόθεν γενναιότερον, ὅτε πέμπειν εἰς βολὴν αὐτὰ μέλλοιεν. Ἕτεροι δὲ ἀμφικαρῆ γράφουσιν ἐν ἑνὶ μέρει λόγου καὶ περισπωμένως, ἵνα ᾖ σφέλα τουτέστιν ὑποπόδια ἀμφικαρῆ τὰ ἀμφικέφαλα, ὡς οἷον κεφαλὰς ἀμφοτέρωθεν ἔχοντα τὰς ἐν αὐτοῖς ἐξοχὰς καὶ λαβάς. οἱ δὲ αὐτοὶ γράφουσι καί, πλευρὰς ἀποτρίψουσι,

πλευραὶ ἀποτρίψουσι δόμον κάτα βαλλομένοιο.
"Ως φάτο· καὶ παριὼν λὰξ ἔνθορεν ἀφραδίῃσιν
ἰσχίῳ· οὐδέ μιν ἐκτὸς ἀταρπιτοῦ ἐστυφέλιξεν,
ἀλλ' ἔμεν' ἀσφαλέως· ὁ δὲ μερμήριξεν Ὀδυσσεύς,
ἠὲ μεταΐξας ῥοπάλῳ ἐκ θυμὸν ἕλοιτο,
ἢ πρὸς γῆν ἐλάσειε κάρη, ἀμφουδὶς ἀείρας.

σαφέστερον μὲν οὕτω ποιοῦντες κατὰ πᾶσαν σύνταξιν, πλὴν ταπεινότερον καὶ μὴ ἐμφαντικῶς, ἵνα νοῇ ἡ τοιαύτη γραφή, ὅτι πολλὰ σφέλα ἀμφικαρῆ τρίψουσι τὰς τοῦ πτωχοῦ πλευράς. Eust.

παλαμάων] τῶν χειρῶν. Vulg.

V. 232. πλευραὶ ἀποτρίψουσι] v. Eust. ad v. 231.

βαλλομένοιο] Τὸ βαλλομένοιο ἀντὶ δοτικῆς κεῖται. ὀρθότερον βαλλομένῳ εἶναι πρὸς τό, πολλά οἱ σφέλα πλευρὰς ἀποτρίψουσι. πέφρασται δὲ οὕτως διά τε τὴν τῆς γενικῆς καὶ δοτικῆς συγγένειαν, καὶ διότι, ὡς καὶ ἐν ἄλλοις φαίνεται, οὐκ οἶδε σολοικισμὸν ποιεῖν γενική. Eust. cf. ad ζ, 157. et ι, 257.

V. 233. λὰξ ἔθορεν — ἰσχίῳ] Ἀντὶ τοῦ, τῷ λήγοντι τοῦ ποδὸς μέρει τῷ πρὸς τοῖς δακτύλοις ἔκρουσε τὸ ἰσχίον πρὸς τῷ γλουτῷ. — τὸ δὲ τοιοῦτον καὶ ῥαθαπυγίζειν λέγεται παρὰ τῷ κωμικῷ (Aristoph. Equ. 796. (806.)). ἔστι γάρ φασι ῥαθαπυγίζειν τὸ πλατεῖ ποδὶ εἰς τὴν ἰσχία (scr. τὸ ἰσχίον v. τὰ ἰσχία) ῥαπίζειν. Eust.

V. 234. ἐστυφέλιξεν] v. ad π, 108.

V. 237. ἀμφ' οὖδας] περὶ τὸ ἔδαφος. Vulg. (Ed. ant. ἀμφ' ουδης.) Τὸ ἀμφουδίς οὐδὲν διαφέρει τοῦ ἀμφ' οὖδας, πλὴν ὡς αὐτὸ ἐπίῤῥημά ἐστιν ἐκεῖθεν παραχθέν. λέγει δέ, ἀμφουδὶς ἐρεῖσαι, τὸ πρὸς τῇ γῇ ῥίψαι, καὶ ἔστι ταυτὸν τῷ πρὸς γῆν ἐλάσαι. εἰ δὲ γράφεται, ἀείρας, εἴη ἂν ὁ νοῦς τοιοῦτος, ὡς ἐβουλεύσατο Ὀδυσσεύς, ἢ ἀνέλοι τὸν κακόν, ἢ ἀείρας ἀμφουδὶς τουτέστιν ἐκ γῆς πρὸς γῆν αὖθις ἐλάσειε τὴν ἐκείνου κεφαλήν, ἢ καὶ ἄλλως, ἀείρας βάλῃ (scr. οι) τὴν κεφαλὴν πρὸς γῆν ἀμφουδίς, κατὰ μίαν ἀμφοῖν τῶν λέξεων ἐκ παραλλήλου ἔννοιαν. Eust. Ἀμφοῦδας (scr. Ἀμφ' οὖδας). περὶ τὸ οὖδας, τὸ ἔδαφος. Apollon. Ἀμφοῦδις. παρὰ τὸ ἔδαφος. ἔστι ῥῆμα οὐδίζω, οὗ μέλλων οὐδίσω. ἀποβολῇ οὖν οὖδις, καὶ συνθέσει ἀμφοῦδις. παρὰ τὸ οὖδας, τὸ ἔδαφος. Etym. M. ἀμφ' οὐδίς. Text. Harl.

ἀλλ' ἐπετόλμησε, φρεσὶ δ' ἔσχετο· τὸν δὲ συβώτης
νείκεσ' ἐσάντα ἰδών· μέγα δ' εὔξατο, χεῖρας ἀνασχών·
Νύμφαι κρηναῖαι, κοῦραι Διός, εἴποτ' Ὀδυσσεὺς
ὔμμ' ἐπὶ μηρί' ἔκηε, καλύψας πίονι δημῷ,
ἀρνῶν ἠδ' ἐρίφων, τόδε μοι κρηήνατ' ἐέλδωρ,
ὡς ἔλθοι μὲν κεῖνος ἀνήρ, ἀγάγοι δέ ἑ δαίμων·
τῷ κέ τοι ἀγλαΐας γε διασκεδάσειεν ἁπάσας,
τὰς νῦν ὑβρίζων φορέεις, ἀλαλήμενος αἰεὶ
ἄστυ κάτ'· αὐτὰρ μῆλα κακοὶ φθείρουσι νομῆες.
Τὸν δ' αὖτε προσέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
ὢ πόποι, οἷον ἔειπε κύων, ὀλοφώϊα εἰδώς!
τόν ποτ' ἐγὼν ἐπὶ νηὸς ἐϋσσέλμοιο μελαίνης

Schol. Τὸ δὲ ἀμφουδίς ὀξύνεται, ὡς λικριφίς. v. interpr. ad Hesych. v. Ἀμφοῦδις. p. 310.

ἐρείσας] πλησιάσαι ποιήσας. Vulg. Al. ἀείρας. v. Eust. modo cit.

V. 238. ἐπετόλμησεν] ὑπέμεινεν. Vulg. Τοῦ ἐπετόλμησεν ἑρμηνεία τό, φρεσὶ δ' ἔσχετο, καὶ ἔστι ταυτὸν τῷ, ἔτλη καὶ ἔμεινεν. Eust. cf. α, 353.

V. 240. Νύμφαι κρηναῖαι] Ταύταις προσεύχεται, ἤτοι καθ' ὃ ἄγροικός ἐστιν, ἢ ὅτι τότε τὴν κρήνην προήει. Vulg.

V. 242. ἀρνῶν ἠδ' ἐρίφων] Τοιαῦτα γὰρ Νύμφαις ἐθύοντο, ὡς θαλεραῖς νεαρά. Eust.

V. 244. τῷ κέ τοι] τουτέστιν, οὕτως ἂν σοι. Eust.

ἀγλαΐας] τοὺς καλλωπισμούς. Vulg. Ἀγλαΐας φέρειν καὶ θέλειν ἀστικὸν εἶναι ἀεί, conjungit Eust.

διασκεδάσειεν] διασκορπίσει. Vulg.

V. 247. αἰπόλος] αἰγονόμος. Id.

V. 248. κύων] ἀναιδής. Id. ὀλοφώϊα] v. ad δ, 410.

ἄξω τῆλ' Ἰθάκης, ἵνα μοι βίοτον πολὺν ἄλφοι.
αἲ γὰρ Τηλέμαχον βάλοι ἀργυρότοξος Ἀπόλλων
σήμερον ἐν μεγάροις, ἢ ὑπὸ μνηστῆρσι δαμείη,
ὡς Ὀδυσῆΐ γε τηλοῦ ἀπώλετο νόστιμον ἦμαρ.
Ὣς εἰπὼν, τοὺς μὲν λίπεν αὐτοῦ, ἦκα κιόντας,
αὐτὰρ ὁ βῆ· μάλα δ' ὦκα δόμους ἵκανεν ἄνακτος.
αὐτίκα δ' εἴσω ἴεν, μετὰ δὲ μνηστῆρσι κάθιζεν,
ἀντίον Εὐρυμάχου· τὸν γὰρ φιλέεσκε μάλιστα.
τῷ πάρα μὲν κρειῶν μοῖραν θέσαν, οἳ πονέοντο·
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα
ἔδμεναι. ἀγχίμολον δ' Ὀδυσεὺς καὶ δῖος ὑφορβὸς
στήτην ἐρχομένω· περὶ δέ σφεας ἤλυθ' ἰωὴ
φόρμιγγος γλαφυρῆς· ἀνὰ γάρ σφισι βάλλετ' ἀείδειν
Φήμιος· αὐτὰρ ὁ χειρὸς ἑλὼν προσέειπε συβώτην·
Εὔμαι', ἦ μάλα δὴ τάδε δώματα κάλ' Ὀδυσῆος,
ῥεῖα δ' ἀρίγνωτ' ἐστὶ καὶ ἐν πολλοῖσιν ἰδέσθαι.

V. 250. *ἄλφοι*] cf. ο, 453. et υ, 383.

V. 251. *αἲ γὰρ — Ἀπόλλων*] Ἡ τοῦ Ἀπόλλωνος βολὴ κατὰ τοῦ Τηλεμάχου αἰφνίδιον δηλοῖ θάνατον, ὡς δῆλον καὶ ἐκ τοῦ σήμερον. Eust.

V. 254. *ἦκα*] πραέως, ἡσύχως. Apollon. cf. Il. γ, 155. ἦκα πρὸς ἀλλήλους — ἀγόρευον. — *κιόντας*] πορευομένους. Vulg.

V. 256. *κάθιζεν*] (Ed. ant. κάθισεν) ἐκαθέζετο. Vulg.

V. 257. *τὸν γὰρ φιλέεσκε μάλιστα*] Ἐπεὶ τῇ ἀδελφῇ αὐτοῦ ἐμίγνυτο Μελανθοῖ. Ambr. Q.

V. 261. *περὶ δέ σφεας ἤλυθ' ἰ. φ.*] τουτέστιν, ἠκούσθη ἡ φόρμιγξ. τοῦτο γὰρ δηλοῖ τὸ περιελθεῖν αὐτοὺς τῆς φόρμιγγος βοήν. Eust.

V. 265. *ἀρίγνωτ' ἐστί*] v. ζ, 108. et 300.

ἐξ ἑτέρων ἕτερ᾽ ἐστίν· ἐπήσκηται δέ οἱ αὐλὴ
τοίχῳ καὶ θριγκοῖσι, θύραι δ᾽ εὐερκέες εἰσὶν
δικλίδες· οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο.
γιγνώσκω δ᾽, ὅτι πολλοὶ ἐν αὐτῷ δαῖτα τίθενται

V. 266. ἐξ ἑτέρων ἕτερ᾽ ἐστίν] Διὰ τούτων βούλεται δηλοῦν, ὡς οὐ μονοστέγων τῶν βασιλείων ὄντων, ἀλλὰ πολυστέγων. Vulg. Κατ᾽ ἀκρίβειαν τὸ ἕτερα, διὰ τὸ δίστεγα εἶναι, ὡς μονοστέγων ὄντων τῶν ἰδιωτικῶν οἰκημάτων. Ambr. B. Q. Δηλονότι τρίστεγοί εἰσι. Val. Τουτέστιν, οὐ μονόστεγα, ἀλλ᾽ ὑπερῷα, ὁποῖοι καὶ οἱ πρὸ βραχέων ὑψηλοὶ δόμοι τοῦ Νέστορος (v. 110.). Eust.

ἐπήσκηται] μετ᾽ ἐπιμελείας διακεκόσμηται. Vulg.

V. 267. θριγκοῖσι] στεφάνοις, περιβόλοις. Id. τοῖς ἐπὶ τῶν τοιχίων ἀκανθώδεσι περιφράγμασιν εὖ ἠσφαλισμένοις. Ambr. B. Q. Ὁ τοῖχος καὶ ἕρκος λέγεται. Περὶ δὲ θριγκῶν προείρηται (v. ad η, 87.), οὓς ἐνταῦθα πληθύνει διὰ τὸ τοῦ τοίχου μέγεθος. Eust. — εὐερκέες] ἀσφαλεῖς. εἰ δέ, εὐεργέες, καλῶς εἰργασμέναι. Vulg. εὐεργέες ἢ εὐερκέες. Eust.

V. 268. δικλίδες] ὅ ἐστι δύο. Eust. cf. β, 345. ὑπεροπλίσσαιτο] (Ed. ant. ὑπεροπαισαιτο. recent. et Vind. ὑπεροπλίσαιτο)] ἤτοι ὑπερηφανήσειεν (Barn. pro ὑπερηφανήσει). ἢ εὐχερῶς ἐπιβουλεύσειεν (Barn. pro ἐπιβουλεύσει). Vulg. τουτέστιν, οὐδεὶς τὸν τοῖχον ὑπερηφανήσῃ, ὡς οἱ παλαιοί φασιν, ἢ δι᾽ ὑπεροπλίαν βλάψῃ. — Δύναται δὲ τὸ μὶν ἐνταῦθα καὶ ἐπὶ τοῦ οἴκου συνήθως νοηθῆναι, καὶ ἐπὶ τῶν θυρῶν δέ, εἰ καὶ μὴ πάνυ συνήθως. εἰσὶ γὰρ καὶ τοιαῦται πληθυντικαὶ χρήσεις, καὶ μάλιστα τῆς νὶν ἀντωνυμίας. Eust. Ὑπεροπλίσαιτο. ἡ λέξις ἐν τῇ P τῆς Ὀδυσσείας· οὐκ ἄν τις κ. τ. λ. Ὁ Ἀρίσταρχος ἀποδίδωσιν νικήσειεν. καὶ γὰρ οἱ νεώτεροι λέγονται ὁπλότεροι, ἀπὸ τοῦ νικητικοὶ εἶναι ἐν τοῖς ὅπλοις. βέλτιον δὲ ἡμῖν φαίνεται, ἐπεὶ θαυμάζων ὑπόκειται ὁ Ὀδυσσεὺς τὰ ἑαυτοῦ οἰκήματα λέγων, ἐξ ἑτέρων — ὑπεροπλίσσαιτο, (εἰς γὰρ τὸ ἑνικὸν μετείληφε) τὸ δῶμα οὕτως ἐξησκημένον ὑπερηφανήσειεν. ὑπέροπλοι γὰρ οἱ ὑπερήφανοι λέγονται, ἀπὸ τοῦ ὑπὲρ δύναμιν τὴν ἰδίαν ὅπλοις μείζοσι χρῆσθαι. Apollon.

V. 269. δαῖτα τίθενται] Γρ. πένονται. Harl. τίθενται. Vind. 133.

ἄνδρες· ἐπεὶ κνίσση μὲν ἀνήνοθεν, ἐν δέ τε φόρμιγξ
ἠπύει, ἣν ἄρα δαιτὶ θεοὶ ποίησαν ἑταίρην.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
ῥεῖ' ἔγνως· ἐπεὶ οὐδὲ τά τ' ἄλλα πέρ ἐσσ' ἀνοήμων.
ἀλλ' ἄγε δὴ φραζώμεθ', ὅπως ἔσται τάδε ἔργα.
ἠὲ σὺ πρῶτος ἔσελθε δόμους εὐναιετάοντας,
δύσεο δὲ μνηστῆρας, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ·
εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐγὼ δ' εἶμι προπάροιθεν·
μηδὲ σὺ δηθύνειν, μήτις σ' ἔκτοσθε νοήσας
ἢ βάλῃ, ἢ ἐλάσῃ· τάδε σε φράζεσθαι ἄνωγα.

V. 270. ἀνήνοθεν] ἀνέρχεται. Vulg. ἀνήνοθεν ἢ ἐνήνοθε, τουτέστιν ἀναβαίνει, ἀνέρχεται. Eust. (cf. ἐπενήνοθε. Il. β, 219. κ, 134.) Ἀρίσταρχος, ἐνήνοθεν. αἱ δὲ κοιναί, ἀνήνοθεν. Harl. Ἡ δὲ κνίσσα κοινότερον μὲν διὰ δύο σίγμα γράφεται. Ἡρωδιανὸς δὲ ἐθέλει ἀπὸ μέλλοντος αὐτὴν γενομένην τοῦ κνίζω κνίσω, δι' ἑνὸς δὲ γράφεσθαι σ̄, καὶ ἔκτασιν λαβεῖν τοῦ ῑ. δηλοῖ δέ φησιν ἡ κνῖσα τὴν κατ' ὀλίγον ἀπὸ τοῦ ὀπτωμένου ἀναφορὰν τῇ ὀσφρήσει προσίζουσαν. Eust.

φόρμιγξ] κιθάρα. Vulg.

V. 271. ἠπύει] ἐπηχεῖ. Id. ἣν — ἑταίρην] Ἐν δὲ ἑτέροις συνήορον λέγει αὐτὴν τῇ δαιτί (v. θ, 99.), ὅ ἐστι συνεζευγμένην. ἀλλαχοῦ δὲ τὴν μολπὴν καὶ τὴν φόρμιγγα δαιτὸς ἀναθήματά φησιν (α, 152. φ, 430.). Eust.

V. 273. ἀνοήμων] ἀνόητος. Vulg.

V. 276. δύσεο] εἴσελθε. Id. Δῦσαι (Porson. pro δῦσε) δέ] Γρ. δύσεο (Porson. pro δύσαιο), εἴσελθε. Harl.

ὑπολείψομαι] ἀπολειφθήσομαι. Vulg. v. ad η, 230.

V. 278. δηθύνειν] ὅ ἐστι, βράδυνε. Eust. cf. μ, 121.

V. 279. βάλῃ] τύψῃ, πλήξῃ. Vulg. ἐγγὺς τύψῃ. Eust.

Τὸν δ' ἠμείβετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς·
γιγνώσκω, φρονέω· τάγε δὴ νοέοντι κελεύεις.
ἀλλ' ἔρχευ προπάροιθεν, ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ.
οὐ γάρ τι πληγέων ἀδαήμων, οὐδὲ βολάων·
τολμήεις μοι θυμός, ἐπεὶ κακὰ πολλὰ πέπονθα
κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω.
γαστέρα δ' οὔπως ἔστιν ἀποκρύψαι μεμαυῖαν,
οὐλομένην, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσιν·
τῆς ἕνεκεν καὶ νῆες ἐΰζυγοι ὁπλίζονται
πόντον ἐπ' ἀτρύγετον, κακὰ δυςμενέεσσι φέρουσαι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον. —
ἂν δὲ κύων κεφαλήν τε καὶ οὔατα κείμενος ἔσχεν,
Ἄργος, Ὀδυσσῆος ταλασίφρονος, ὅν ῥά ποτ' αὐτὸς

V. 283. βολάων] βλημάτων. Vulg.

V. 284. τολμήεις] ὑπομενητικός. Id.

V. 286. γαστέρα — ἀποκρύψαι] τουτέστιν, οὐκ ἔστιν ἀνεξέλεγκτον σχεῖν. ἐκφαίνει γὰρ αὐτὴν οὐλομένην. Eust.

V. 287. οὐλομένην] Συνήθως κακίζει τὴν γαστέρα, ὡς καὶ ἐν τούτοις· ἀλλ' ἕνεκ' οὐλομένης γαστρός (Od. ο, 344.). ἀλλά με γαστὴρ ὀτρύνει κακοεργός (σ, 53.). οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι (η, 216.). Ambr. Q.

V. 288. ἐΰζυγοι] εὖ συνεζευγμέναι καὶ ἡρμοσμέναι (cf. ν, 116.) ὁπλίζονται] παρασκευάζονται. Vulg.

V. 291. ἂν δὲ — ἔσχεν] ἀνέτεινεν. Id. ἀνέσχεν, ἀνέγειρεν, ὤρθωσεν. Eust.

V. 292. Ἄργος] Καθά τι κύριον τὸ Ἄργος, ὁμωνύμως τῷ παλαιῷ ἥρωϊ, λεχθὲν παρὰ τὸ ἀργὸν ἐν διαφορᾷ τόνου διὰ τὴν διάφορον σημασίαν, ἵνα ἢ κατ' εὐφημισμὸν Ἄργος κληθείη ὁ ἄλλως ταχύς, ἢ διὰ χρῶμα λευκόν, ἐφ' ὧν τὸ ὀξύτονον ὁ ἀργός λαμβάνεται (β, 11. ρ, 62.). Eust. Ἐνόησεν Ὀδυσσέα ἐγγὺς ἐόντα

θρέψε μέν, οὐδ' ἀπόνητο· πάρος δ' εἰς Ἴλιον ἱρὴν
ᾤχετο. τὸν δὲ πάροιθεν ἀγίνεσκον νέοι ἄνδρες
αἶγας ἐπ' ἀγροτέρας ἠδὲ πρόκας ἠδὲ λαγωούς·
δὴ τότε κεῖτ' ἀπόθεστος, ἀποιχομένοιο ἄνακτος,
ἐν πολλῇ κόπρῳ, ἥ οἱ προπάροιθε θυράων,
ἡμιόνων τε βοῶν τε, ἅλις κέχυτ'· ὄφρ' ἂν ἄγοιεν
δμῶες Ὀδυσσῆος τέμενος μέγα κοπρίσσοντες·

οὐκ ἐκ τῆς θέας ὡς εἰκός, ἠλλοίωτο γὰρ τὴν μορφήν, ἀλλ' ὡς ἰχνευτὴς ὀξύτητι ὀσφρήσεως, ᾗ φασι καὶ ἐν νυκτὶ διακρίνει τὸ οἰκεῖον τοῦ ἀλλοτρίου. ἢ καὶ ἄλλως, ἐπεὶ ἀνθρώποις Ἀθηνᾶ τὸν Ὀδυσσέα ἐπέκρυψεν ἀλλοιώσασα, οὐ μὴν καὶ ἀλόγοις ζώοις. ἄγε γάρ φησιν ἄγνωστόν σε τεύξω πᾶσι βροτοῖς (*ν*, 397.) Eust. ad v. 301.

V. 293. *οὐδ' ἀπόνητο*] v. *λ*, 323. *π*, 120. *Τὸ ἀπόνητο ἀρχαῖόν ἐστιν Ἀττικόν, τὸ γὰρ ἀπώνατο ὕστερον.* Eust.

V. 294. *ἀγίνεσκον*] *ἀπῆγον.* Vulg. cf. ad *κ*, 104. *ξ*, 105.

V. 295. *αἶγας ἀγροτέρας*] *Αἶγας ἀγροτέρας πρὸς διαστολὴν τῶν ἡμέρων φησίν, ἵνα εἶεν, ὡς ἐκ τοῦ ἀγρός ὁ ἄγριος κατὰ τὸ Αἰτωλὸς Αἰτώλιος, οὕτω καὶ ἀγρότεραι ἀγριώτεραι. οὐκ ἄδηλον δέ, ὅτι καὶ ἐλάφους ἀγροτέρας οἶδεν ὁ ποιητής* (Il. *φ*, 486.), *καὶ ἡμιόνους δέ, ὡς ἡ Ἰλιὰς δηλοῖ* (*β*, 852.). *ἡ δὲ Ἀττικὴ ἱστορία καὶ Ἄρτεμιν ἀγροτέραν παραδίδωσιν.* Eust.

πρόκας] *Δορκάδων εἶδος, ἢ ἐλάφων, ἢ τὰ ἔκγονα τῶν ἐλάφων.* Vulg. *Πρόκες φασὶ δορκάδων εἶδος, ἢ ἐλάφων ἔκγονα νεογνά, παρὰ τὸ προκίειν, ἢ παρὰ τὸ προΐξεσθαι* (*ἀπὸ τοῦ προϊκνεῖσθαι.* Ambr. B.). *ὅθεν ἡ πρόξ. ταχεῖα γάρ.* Eust.

λαγωούς] *Οὐ γίνεσθαι δέ φασιν ἐν Ἰθάκῃ λαγωόν, διὸ καὶ τὴν ῥηθεῖσαν θήραν αἰγῶν καὶ προκῶν καὶ λαγωῶν κατὰ τὴν ἀντικρὺ ἤπειρον ἐθέλουσι γίνεσθαι οἱ παλαιοί.* Eust.

V. 296. *ἀπόθεστος*] *ἀνεπιμέλητος,* (*ἀτημέλητος, ἀπόθητος.* ed. rec.) Vulg. *Ἀπόθεστος, ὁ ἀφίλητος καὶ ἀτημέλητος, ἐκ τοῦ ποθῶ ποθέσω.* Eust. — *ἀποιχ. Ὀδυσῆος*] *Γρ. ἄνακτος.* Harl.

V. 298. *κέχυτο*] *χύδην ἔκειτο.* *ἄγοιεν*] *ἀπάγοιεν.* Vulg.

V. 299. *τέμενος*] *χωρίον.* Id. *Τέμενος ἀνθρώπινον συνήθως κἀνταῦθα. οὐ γὰρ δήπου θεῖον τὸ κοπρούμενον διὰ καρπο-*

ἔνθα κύων κεῖτ' Ἄργος, ἐνίπλειος κυνοραιστέων.
δὴ τότε γ', ὡς ἐνόησεν Ὀδυσσέα ἐγγὺς ἐόντα,
οὐρῇ μέν ῥ' ὅγ' ἔσηνε, καὶ οὔατα κάββαλεν ἄμφω·
ἆσσον δ' οὐκέτ' ἔπειτα δυνήσατο οἷο ἄνακτος
ἐλθέμεν· αὐτὰρ ὁ νόσφιν ἰδὼν ἀπομόρξατο δάκρυ,
ῥεῖα λαθὼν Εὔμαιον· ἄφαρ δ' ἐρεείνετο μύθῳ·
Εὔμαι', ἦ μάλα θαῦμα, κύων ὅδε κεῖτ' ἐνὶ κόπρῳ,
καλὸς μὲν δέμας ἐστίν, ἀτὰρ τόδε γ' οὐ σάφα οἶδα,
εἰ δὴ καὶ ταχὺς ἔσκε θέειν ἐπὶ εἴδεϊ τῷδε,

τρόφον πιότητα. Eust. Καταχρηστικῶς τέμενος τὸ χωρίον. Ambr. B. κοπρίσοντες (Barn. κοπρήσοντες) κοπρίσαι ὀφείλοντες. Vulg. κοπρήσσοντες] (scr. κοπρήσοντες cum Eust.) κοπρεύσοντες, κόπρον τῇ γῇ ἐπιβάλλοντες. Ambr. B. Κοπρῆσαι ὅ ἐστι κοπρεῦσαι ἤτοι κόπρον ἐπιβαλεῖν τοῖς τοῦ Ὀδυσσέως χωρίοις. Eust. κοπρίσσοντες. Vind. 133.

V. 300. ἐνίπλειος] πλήρης. κυνοραιστέων] Κυνοραϊσταί, δι' ἑνὸς ρ̄ κατά τε φυσιν καὶ διὰ μέτρον, οἱ τοὺς κύνας ῥαίοντες. ἐξ οὗ κατὰ διάλυσιν καὶ παραγωγὴν τὸ ῥαΐζειν γίνεται. ἀφ' οὗ καὶ θυμοραϊστής (Il. ν, 544. π, 414. 591. σ, 220.), ἀναλόγως τῷ κυνοραϊστής. λέγονται δὲ οὗτοι καὶ κρότωνες παρὰ τοῖς ὕστερον. ὅθεν καὶ παροιμία κατά τινας τό, ὑγιέστερος κρότωνος, περὶ ἧς ἀκριβέστερον ἐν τοῖς τοῦ περιηγητοῦ κεῖται (ad Dionys. περιηγ. v. 369.). Eust. Τῶν κροτόνων (Barn. κροτώνων). τινὲς δὲ λέγουσιν, ἄλλα ζῶα ἐγγίνεσθαι, ἃ λέγεσθαι (Barn. λέγεται) κυνοραϊσταί (scr. κυνοραϊστάς). κροτόνων. ῥαίουσι γὰρ τοὺς κύνας, πίνοντες τὸ αἷμα αὐτῶν. εἰσὶ δὲ ταῦτα τὰ καλούμενα τζιβίκια (Barn. τριβίκια). Vulg.

V. 302. ἔσηνε] ἐκολάκευσεν. Vulg. Τὸ σαίνειν κυρία λέξις ἐπὶ κυνῶν. Eust. κάββαλεν] κατέβαλεν, ἐπέκλινεν. Vulg.

V. 303. δυνήσατο] ἠδυνήθη. Vulg.

V. 305. ἐρεείνετο] ἐπηρώτησεν. Id. Τὸ ἐρεείνετο ἐνεργητικῶς τὰ πλείω ἐρέεινε λέγεται. Eust.

V. 306. θαῦμα] ἔκπληξις. Vulg.

V. 308. εἴδεϊ] τῇ μορφῇ. Id.

ἢ αὔτως, οἷοί τε τραπεζῆες κύνες ἀνδρῶν
γίγνοντ'· ἀγλαΐης δ' ἕνεκεν κομέουσιν ἄνακτες.
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
καὶ λίην ἀνδρός γε κύων ὅδε τῆλε θανόντος.
εἰ τοιόσδ' εἴη ἠμὲν δέμας, ἠδὲ καὶ ἔργα,
οἷόν μιν Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
αἶψά κε θηήσαιο, ἰδὼν ταχυτῆτα καὶ ἀλκήν.
οὐ μὲν γάρ τι φύγεσκε βαθείης βένθεσιν ὕλης
κνώδαλον, ὅ,ττι δίοιτο· καὶ ἴχνεσι γὰρ περιήδη·

V. 309. ἢ αὔτως] ἁπλῶς καὶ ὡς ἔτυχε. Ambr. B.

τραπεζῆες] οἱ περὶ τὰς τραπέζας ὄντες. Vulg. Τραπεζεὺς κύων καὶ νῦν ὁ μὴ ἐκ τοῦ ἀγρεύειν ζῶν, ἀλλ' ἐκ τῶν περὶ τράπεζαν. ἔθος δὲ τοῖς εὐπόροις καὶ τοιούτους τρέφειν, ἀγλαΐης φησὶν ἕνεκα, κατά τι καὶ αὐτὸ μεγαλοπρεπές. τοιοῦτοι δὲ ἴσως καὶ τῷ Τηλεμάχῳ ἦσαν ἀκολουθοῦντες ἐν τοῖς πρὸ τούτων. Eust. cf. Il. χ, 69.

V. 310. ἀγλαΐης] καλλονῆς. Vulg. κόσμου χάριν ἢ καλλωπισμοῦ. Ambr. B. Q. κομέουσιν] Τὸ κομέουσι καὶ ὅλως τὸ κομεῖν πολλαχοῦ φαίνεται ὅτι καὶ κομίζειν λέγεται, ὅθεν καὶ κομιδή, ἡ ἐπιμέλεια. Eust. (Id. ad μ, 547. κομόωσιν.) ἄνακτες] ἤγουν οἱ ἁπλῶς οἰκοδεσπόται. Id.

V. 316. βαθ. βένθεσιν ὕλης] Τό, βαθ. βένθεσιν ὕλης, δοκεῖ παρηνέχθαι ἀπὸ τοῦ, βαθείης βένθεσι λίμνης (cf. θαλάσσης βένθεα. α, 53. δ, 386. ἁλὸς βένθοσδε. θ, 51. βαθ. βένθεσι λίμνης. Il. ν, 32.), ὡς μὴ μόνον ἐπὶ ὕδατος τὸ βένθος λέγεσθαι καὶ τὸ βάθος, ἀλλ' ἰδοὺ καὶ ἐπὶ ξυλόχου καὶ πολλοῦ δάσους. ἔστι δὲ καὶ ἐπὶ στρατηγικῆς ἐκτάξεως βάθος. ὑπονοεῖται δὲ καὶ ἐπὶ μεγέθους πόλεως, ὡς δηλοῖ τό, κατέδυ Τρώων πόλιν εὐρυάγυιαν. ἐπὶ βάθους γὰρ τὸ καταδῦναι. Eust.

V. 317. κνώδαλον] Κυρίως μὲν τὸ θαλάσσιον θηρίον, τὸ κῆτος. νῦν δὲ θηρίον ὑπὸ κυνῶν ἁλισκόμενον. Vulg. Κνώδαλον νῦν τὸ χερσαῖον παρὰ τὸ ὑπὸ κονῶν ἁλίσκεσθαι. ὅτε δὲ καὶ ἐπὶ θαλασσίου θηρίου κνώσσοντος ἐν τῇ ἁλὶ λέγεται ἡ λέξις, κοινὸν τότε τὸ βένθεσιν. ἐν βένθεσι γὰρ τὰ κνώδαλα. Eust. Κνώδαλον. ὁ Ἀπίων, θηρίον θαλάσσιον, ἀπὸ τοῦ ἐν ἁλὶ κινεῖσθαι. κα-

νῦν δ' ἔχεται κακότητι· ἄναξ δέ οἱ ἄλλοθι πάτρης
ὤλετο· τὸν δὲ γυναῖκες ἀκηδέες οὐ κομέουσιν.
δμῶες δ', εὖτ' ἂν μηκέτ' ἐπικρατέωσιν ἄνακτες,
οὐκέτ' ἔπειτ' ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι.
ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
ἀνέρος, εὖτ' ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλησιν.
Ὣς εἰπὼν, εἰσῆλθε δόμους εὐναιετάοντας·
βῆ δ' ἰθὺς μεγάροιο μετὰ μνηστῆρας ἀγαυούς.
Ἄργον δ' αὖ κατὰ Μοῖρ' ἔλαβεν μέλανος θανάτοιο,

ταχρηστικῶς δὲ καὶ τὰ ἄλλα θηρία κνώδαλα. — Ὅμηρος δὲ ἅπαξ πᾶν θηρίον. κ. τ. λ. Apollon. δίοιτο] Τό, ὅ,τι ἴδοιτο, κρεῖττόν φασι γράφειν δίοιτο, ἵνα λέγῃ, ὡς οὐκ ἐξέφυγεν αὐτὸν θηρίον, ὅπερ ἂν δίοιτο, τουτέστι διώκοι. οὗ καὶ ἀπαρέμφατον ἐν τοῖς ἑξῆς τὸ δίεσθαι (v. 398.). τὸ γὰρ ἴδοιτο περιαιρεῖ κυνὸς τὴν ἰχνευτικήν φασιν αἴσθησιν. ὁ γὰρ τοιοῦτος ῥινηλατῶν ἐνεργεῖ. Eust. διώξειε. Ambr. B. ὅ,ττι δίοιτο. Harl. ex emend. cum glossa: διώξει. Δίεται. διώξει. Apollon. cf. Etymol. M. sub v. Δίεσθαι.

περιήδη] περισσῶς ᾔδη, τὴν ἄγραν αὐτοῦ δηλονότι. Ambr. B. περιήδει. Vind. 133. supra scripto η.

V. 318. ἔχεται] συνέχεται. κακότητι] βλάβῃ, νόσῳ. (cf. θ, 182. π, 364.) ἄλλοθι πάτρης] Ἀντὶ τοῦ, ἐπὶ ξένης. Vulg.

V. 319. ἀκηδέες] ἀμελεῖς. Id. αἱ ἀφρόντιδες ἢ καὶ δυσφρόντιδες, κατὰ τό, ἀκηδέα νύκτα φυλάξω (scr. δυσκηδέα. ε, 466.). Eust.

οὐ κομέουσιν] ἐπιμελείας οὐκ ἀξιοῦσιν. Vulg. cf. v. 310.

V. 322. ἀρετῆς] τῆς ἑκουσίου πρὸς τὰ ἔργα ὁρμῆς. Id. Ἀρετὴν λέγει ἄρτι τὴν εἰς τὰ ἔργα σπουδὴν μετὰ προαιρέσεως (Ambr. B. τὴν ἀγαθὴν ἐργασίαν τὴν μετὰ προαιρέσεως γινομένην). Eust. — ἀποαίνυται] ἀφαιρεῖται. Vulg.

V. 323. δούλιον ἦμαρ] ἡ δουλεία. Vulg. Δούλιον ἦμαρ ἡ δουλεία περιφραστικῶς. οὗ πρὸς ὁμοιότητα καὶ ἦμαρ ἐλεύθερον (Il. ζ, 455.), ὡς τό, ἐλεύθερον ἦμαρ ἀπούρας. περίφρασις (scr. περιφράσεις) δὲ ἄμφω, τὸ μὲν δουλείας, τὸ δὲ ἐλευθερίας. Eust.

αὐτίκ᾽ ἰδόντ᾽ Ὀδυσῆα ἐεικοστῷ ἐνιαυτῷ.
Τὸν δὲ πολὺ πρῶτος ἴδε Τηλέμαχος θεοειδής,
ἐρχόμενον κατὰ δῶμα, συβώτην· ὦκα δ᾽ ἔπειτα
νεῦσ᾽, ἐπὶ οἷ καλέσας· ὁ δὲ παπτήνας ἕλε δίφρον
κείμενον, ἔνθα δὲ δαιτρὸς ἐφίζεσκε, κρέα πολλὰ
δαιόμενος μνηστῆρσι, δόμον κάτα δαινυμένοισιν·
τὸν κατέθηκε φέρων πρὸς Τηλεμάχοιο τράπεζαν
ἀντίον· ἔνθα δ᾽ ἄρ᾽ αὐτὸς ἐφέζετο· τῷ δ᾽ ἄρα κῆρυξ
μοῖραν ἑλὼν ἐτίθει, κανέου δ᾽ ἐκ σῖτον ἀείρας.
Ἀγχίμολον δὲ μετ᾽ αὐτὸν ἐδύσετο δώματ᾽ Ὀδυσσεύς,
πτωχῷ λευγαλέῳ ἐναλίγκιος ἠδὲ γέροντι,
σκηπτόμενος· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο.
ἷζε δ᾽ ἐπὶ μελίνου οὐδοῦ ἔντοσθε θυράων,
κλινάμενος σταθμῷ κυπαρισσίνῳ, ὅν ποτε τέκτων
ξέσσεν ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνεν.

V. 327. ἐεικοστῷ ἐνιάυτῷ] Ὅτι καὶ εἰκοσιτέσσαρα ζῶσιν ἔτη κύνες, ἱστόρησαν οἱ μεθ᾽ Ὅμηρον. Eust. cf. Aristotel. Hist. Animal. 4, 40.

V. 330. ἐπὶ οἷ καλέσας] Τὸ ἑξῆς, ἐπένευσεν αὐτῷ ἐξ ὀνόματος καλέσας. Ambr. B. Ὅτι τό, νεῦσεν ἐπὶ οἷ καλέσας, ἀντὶ τοῦ, προσεκαλέσατο νεύματι. μετ᾽ ὀλίγα δὲ τό, ἐπὶ οἷ καλέσας προσέειπεν (v. 342.), ἑτεροῖόν ἐστιν. Eust. παπτήνας] v. λ, 608. μ, 223.

V. 335. ἐτίθει] Eust. προτίθει] παρετίθει. Vulg.

V. 336. ἐδύσετο] εἰσῆλθεν. Vulg.

V. 339. μελίνου] ἀπὸ μελίας ξύλου γενομένου. Id. Μελία, εἶδος δένδρου. ἐξ οὗ νῦν μὲν οὐδὸς μείλινος ἀπαθῶς, ἀλλαχοῦ δὲ κατὰ πάθος ἐπενθέσεως μείλινον δόρυ. Eust.

V. 340. κλινάμενος] προσανακλιθείς. κυπαρισσίνῳ] ἀπὸ κυπαρίσσου γενομένῳ. Vulg.

V. 341. ξέσσεν] εἰργάσατο. Id.

Τηλέμαχος δ' ἐπὶ οἷ καλέσας προςέειπε συβώτην,
ἄρτον τ' οὖλον ἑλὼν περικαλλέος ἐκ κανέοιο,
καὶ κρέας, ὥς οἱ χεῖρες ἐχάνδανον ἀμφιβαλόντι·
Δὸς τῷ ξείνῳ ταῦτα φέρων, αὐτόν τε κέλευε
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ παρεῖναι.
Ὣς φάτο· βῆ δὲ συφορβός, ἐπεὶ τὸν μῦθον ἄκουσεν·
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντ' ἀγόρευεν·
Τηλέμαχός τοι, ξεῖνε, διδοῖ τάδε, καί σε κελεύει
αἰτίζειν μάλα πάντας ἐποιχόμενον μνηστῆρας·
αἰδῶ δ' οὐκ ἀγαθήν φησ' ἔμμεναι ἀνδρὶ προΐκτῃ.

V. 342. ἐπὶ οἷ] πρὸς ἑαυτόν. Id.

V. 343. οὖλον] ὅλον, κατὰ ἔκλειψιν τοῦ ῦ. Id. Οὖλον ἄρτον λέγει τὸν ὅλον καὶ ἀκέραιον. Eust.

περικαλλέος] πάνυ καλοῦ. Vulg.

V. 344. ὥς οἱ χεῖρες] Νῦν τὸ ὡς ἀντὶ τοῦ, ὅσον αἱ χεῖρες αὐτοῦ περιεβάλλοντο, ἐχάνδανον. Ambr. B.

ἐχάνδανον] ἐχώρησαν. Vulg. ἀμφιβαλόντι] Ἀμφιβαλεῖν τὸ περιλαβεῖν ἤτοι περισχεῖν. Eust. Γρ. ἀμφιβαλόντε. Harl.

V. 347. ἀνδρὶ παρεῖναι] Εἰς τὸ παρεῖναι κεχρημένῳ ἀνδρὶ οὐκ ἔστιν ἐπωφελὴς ἡ αἰδώς. Ambr. B. Καὶ Ἡσίοδος (εργ. v. 315.)· αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει. Marg. Vind. 133.

V. 350. διδοῖ] δίδωσιν. Vulg.

V. 352. αἰδῶ δ' οὐκ ἀγαθήν] Γρ. αἰδὼς δ' οὐκ ἀγαθή. Vind. 133.

προΐκτῃ] μεταίτῃ, παρὰ τὸ ἱκετεύειν καὶ προςαιτεῖν. Vulg. (Barnes. ex Etym. M. add. Ἀρχίλοχος, Προτείνω χεῖρα, προΐσσομαι.) Προΐκτης ἀνήρ, ὁ προϊκετεύων ὑπὲρ τοῦ λαβεῖν, ἢ ὁ προῖκα ζητῶν λαμβάνει (scr. λαμβάνειν), παρὰ τὸ προΐκω προΐξω, ὅθεν συναιρεῖται ἡ προῖξ, τουτέστι τὸ δῶρον. οὕτω γὰρ οἱ πα-

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ζεῦ ἄνα, Τηλέμαχόν μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι,
καί οἱ πάντα γένοιθ', ὅσσα φρεσὶν ᾗσι μενοινᾷ.
Ἦ ῥα, καὶ ἀμφοτέρῃσιν ἐδέξατο, καὶ κατέθηκεν
αὖθι, ποδῶν προπάροιθεν, ἀεικελίης ἐπὶ πήρης.
ἤσθιε δ', ἕως ὅ,τ' ἀοιδὸς ἐνὶ μεγάροισιν ἄειδεν·
εὖθ' ὁ δεδειπνήκει, ὁ δ' ἐπαύετο θεῖος ἀοιδός·
μνηστῆρες δ' ὁμάδησαν ἀνὰ μέγαρ'. — αὐτὰρ Ἀθήνη,

λαιοὶ ἐχρῶντο, εἰ καὶ ὕστερον ἐπὶ γαμηλίου μερικεύεται δωρεᾶς. ἐκ δὲ τοῦ τοιούτου προΐκειν καὶ καταπροΐξεσθαι, τὸ δοῦναί τι δωρεάν. Eust. Προΐκτης. προσαίτης. ἀπὸ τοῦ προῖκα βούλεσθαι λαμβάνειν, τουτέστι δωρεάν. ἢ ἀπὸ τοῦ προϊκνεῖσθαι καὶ δέεσθαι, οἷον προαπαντᾶν. Apollon.

V. 354. ὄλβιον εἶναι] Ἀπὸ κοινοῦ, ποίησον. Vulg. Ὅτι Ἀττικὸν σχῆμα εὐχῆς τὸ, θεὲ ἄνα, τὸν δεῖνά μοι ἐν ἀνδράσιν ὄλβιον εἶναι. λείπει γὰρ κἀνταῦθα τὸ δός, ἢ ποίησον, ἢ εὔχομαι, ἢ τοιοῦτόν τι. Eust.

V. 357. ἀεικελίης] εὐτελοῦς. Vulg. Ἀεικελίαν πήραν λέγει τήν, ὡς προϊστορήθη, πυκνὰ ῥωγαλέην. (v. ν, 438. ρ, 198.) Eust.

ἐπὶ πήρης] ἐπάνω τῆς πήρης. ἁπλώσας γὰρ τὴν πήραν ἀντὶ τραπέζης, ἐπάνω ἔθηκεν. Vulg. Ambr. B. Q.

V. 358. ὡς ὅτε] μέχρις οὗ. Vulg. Τό, ὡς ὅτ' ἀοιδὸς ἄειδεν, ἀντὶ τοῦ, ἕως ὅτου. καὶ δοκεῖ τὸ ὧς τοῦτο πρωτότυπον εἶναι τοῦ ἕως, προλαβόντος Ἀττικῶς τὸ ε. τοιοῦτον δέ που καὶ ἐν Ἰλιάδι τὸ εἵως ἀντὶ τοῦ ὅπως. κἀκεῖνο γὰρ προτεθέντος μὲν τοῦ ε γέγονεν ἕως, εἶτα καὶ εἵως κατὰ διχρόνου ἐπένθεσιν.

V. 359. εὖθ' ὁ δεδειπνήκειν] Οὕτω, δεδειπνήκειν, ἀντὶ τοῦ, δεδειπνήκει. ὡς τό, ἤσκειν εἴρια καλά (Il. γ, 388.). Harl. Ambr. Q.

ἄγχι παρισταμένη, Λαερτιάδην Ὀδυσῆα
ὤτρυν', ὡς ἂν πύρνα κατὰ μνηστῆρας ἀγείροι,
γνοίη θ', οἵτινές εἰσιν ἐναίσιμοι, οἵ τ' ἀθέμιστοι·
ἀλλ' οὐδ' ὥς τιν' ἔμελλ' ἀπαλεξήσειν κακότητος.
βῆ δ' ἴμεν αἰτήσων ἐνδέξια φῶτα ἕκαστον,
πάντοσε χεῖρ' ὀρέγων, ὡς εἰ πτωχὸς πάλαι εἴη.
οἱ δ' ἐλεαίροντες δίδοσαν, καὶ ἐθάμβεον αὐτόν·
ἀλλήλους τ' εἴροντο, τίς εἴη, καὶ πόθεν ἔλθοι.
τοῖσι δὲ καὶ μετέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
τοῦδε περὶ ξείνου· ἦ γάρ μιν πρόσθεν ὄπωπα.
ἤτοι μέν οἱ δεῦρο συβώτης ἡγεμόνευεν·
αὐτὸν δ' οὐ σάφα οἶδα, πόθεν γένος εὔχεται εἶναι.

V. 362. *πύρνα*] πύρινα σιτία. Vulg. ψωμούς. Eust. Πύρνα ὅτι πύρινά ἐστι σιτία, τουτέστι κατὰ τοὺς παλαιοὺς σιτώδεις τροφαί, προδεδήλωται (v. ο, 312. ρ, 12.). Id.

ἀγείροι] συναθροίσοι. Vulg.

V. 363. *ἀθέμιστοι*] ἄδικοι. Id. Ἐναίσιμον τὸν δίκαιον λέγει καὶ κατὰ θέμιν ζῶντα. τοῖς δὲ τοιούτοις ἀντίκεινται οἱ ἀθέμιστοι. Eust.

V. 364. *ἀπαλεξήσειν*] ἀποκωλύσειν. *κακότητος*] τοῦ θανατικοῦ κινδύνου. Vulg. Τό, ἀπαλεξήσει (scr. σειν) κακότητος, ἐξεῦρε συντεθῆναι τὸν παρὰ τοῖς ὕστερον ἀλεξίκακον. Eust.

V. 365. *αἰτήσων*] ἐπαιτῆσαι ὀφείλων. *ἐνδέξια*] ἀπὸ τοῦ δεξιοῦ μέρους. Vulg. Τὸ ἐνδέξια ἢ ἀντὶ τοῦ, ἐκ τοῦ δεξιοῦ καθίσματος, ἐπὶ ἀγαθῷ συμβόλῳ, ἢ ἀντὶ τοῦ, ἐπιδεξίως, οὗ πρὸς σαφήνειαν ἐπῆκται καὶ τό, ὡς εἴτε πτωχὸς πάλαι εἴη. Eust.

V. 367. *ἐλεαίροντες*] ἐλεοῦντες. Vulg.

V. 371. *πρόσθεν*] Ἀντὶ τοῦ, πρὸ ὀλίγου καὶ ὡς εἰπεῖν ἐγγύς, κατὰ δύναμιν τῆς πρός προθέσεως. Eust.

Ὣς ἔφατ'· Ἀντίνοος δ' ἔπεσιν νείκεσσε συβώτην·
ὦ ἀρίγνωτε συβῶτα, τίη δὲ σὺ τόνδε πόλινδε
ἤγαγες; ἦ οὐχ ἅλις ἧμιν ἀλήμονές εἰσι καὶ ἄλλοι,
πτωχοὶ ἀνιηροί, δαιτῶν ἀπολυμαντῆρες;
ἦ ὄνοσαι, ὅτι τοι βίοτον κατέδουσιν ἄνακτος

V. 375. ὦ ἀρίγνωτε] (Ed. ant. αριγνωτε) ἐπίσημε, ἄγαν ἔκδηλε, ὅτι συβώτης ὑπάρχεις. Vulg. ὦ πᾶσι δῆλε συβῶτα ὤν, ἢ ἐπίσημε διὰ κακίαν ἢ πτωχείαν. Ambr. B. Q. Ὦ 'ρίγνωτε συβῶτα, τουτέστιν, ὡς καὶ προεῤῥέθη (v. ad v. 219.), ἄγαν γνώριμε ἐπὶ ἀχρείᾳ τέχνῃ. ὡς καὶ εἴ τις εἴπῃ πρός τινα, ὦ ἀρίγνωτε πτωχέ, ἤ τι τοιοῦτον. βούλεται γὰρ εἰπεῖν τὸν Εὔμαιον γνωστικὸν ἐπὶ εὐτελείᾳ καὶ οὐ δαμινότητι. (scr. θαμινότητι). καὶ ἄλλως δέ, καθὰ καὶ ὁ παρὰ Θεοκρίτῳ αἰπόλος γνωστὸς φαίνεται ἀφ' ὧν ἐκεῖνος λέγει αἰπολικῶν σημείων, οὕτω κἀνταῦθα συβώτης ἀρίγνωτος, ὁ τοιούτῳ ἐοικὼς καὶ ἐκ μόνης τυχὸν ὄψεως, καὶ μὴ ἀμφίβολος εἰς τὸ συβώτης εἶναι. ὅπερ ὁ Μελάνθιος μὴ ἔχων ἀγλαΐας φέρειν ὀνειδίζεται (v. 244.), ὡς μὴ αἰπόλῳ ἐοικώς. ἔστιν οὖν ἀστειότερον τὸ τοῦ Ἀντινόου, ὦ ἀρίγνωτε συβῶτα, ἤπερ τὸ τοῦ Μελάνθεως, ἀμέγαρτε συβῶτα (v. 219.). εἰ δέ τις ἀμέγαρτον ἐπιστατικῶς ἐκεῖ νοήσοι τὸν πολυφθόνητον, εἴη ἂν καὶ ἐκεῖνο ὅμοιον τούτῳ. Ἀττικὴ δὲ συναλοιφὴ τό, ὦ 'ρίγνωτε, ὁμοία τῷ, ὦ 'γαθέ. Eust. ὦ ρίγνωτε (scr. ὦ 'ρίγνωτε). Vind.

V. 376. ἧμιν] Τοῦ (scr. τὸ) ἧμιν συστέλλει μὲν τὴν λήγουσαν, περισπᾷ δὲ τὴν ἄρχουσαν λόγῳ ἐγκλιτικῷ, καθά που καὶ ἀλλαχοῦ ἐποίησε. (v. θ, 569. π, 362.). Eust.

ἀλήμονες] πλανῆται. Vulg. Ἀλήμονας τοὺς ἀλήτας λέγει. Eust.

V. 378. ὄνοσαι] Νῦν ἀντὶ τοῦ, ὠφελῇ. Vulg. ἐκφαυλίζεις, εὐκαταφρόνητον καὶ τὸ μηδὲν νομίζεις. Ambr. B. Τό, ἦ ὄνοσαι, ἀστείως ἔφη ἀντὶ τοῦ, ἦ μέμφῃ, ἡμῖν δηλαδὴ ἢ τοῖς ἀλήταις, ὡς μὴ βοροῖς οὖσι, μηδὲ δαπανᾶν εὖ δυναμένοις τὰ τοῦ οἴκου τῶν σῶν δεσποτῶν, καὶ διὰ τοῦτο καὶ ἑτέρους ἄγεις τοὺς ἀξιολογώτερον καταφαγομένους ἐκεῖνα. καὶ ἔστιν ἔννοια ὁμοία πρός τό, ἀλλ' οὐδ' ὥς σε ἔολπα ὀνόσεσθαι κακότητος, ὅπερ ἐν τῇ ε ῥαψῳδίᾳ (v. 379.) ὁ Ποσειδῶν πρὸς τὸν Ὀδυσσέα φησί. καὶ οὕτω μὲν καλῶς ἔχει τὸ ὄνοσαι. τὸ μέντοι εἰπεῖν τό, ἦ ὄνοσαι, ἀντὶ τοῦ, ὠφέλειαν ἔχεις ἐκκενουμένου τοῦ δεσποτικοῦ οἴκου,

ἐνθάδ' ἀγειρόμενοι, σὺ δὲ καί ποθι τόνδ' ἐκάλεσσας;
Τὸν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
Ἀντίνο', οὐ μὲν καλὰ, καὶ ἐσθλὸς ἐὼν, ἀγορεύεις·
τίς γὰρ δὴ ξεῖνον καλεῖ ἄλλοθεν αὐτὸς ἐπελθὼν
ἄλλον γ', εἰ μὴ τῶν, οἳ δημιοεργοὶ ἔασιν,
μάντιν, ἢ ἰητῆρα κακῶν, ἢ τέκτονα δούρων,
ἢ καὶ θέσπιν ἀοιδόν, ὅ κεν τέρπησιν ἀείδων;
οὗτοι γὰρ κλητοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν·
πτωχὸν δ' οὐκ ἄν τις καλέοι, τρύξοντά ἑ αὐτόν,

σαφέστερον μέν, οὐκ ἔχει δὲ καὶ ἐμμάρτυρον τὸ ὄνοσαι κείμενον ἐπὶ σημασίας τοιαύτης. ὄνησαι γὰρ μᾶλλον ὤφειλεν εἶναι, ὡς δηλοῖ τό, ὀνήμενος (β, 33.). καὶ τό, οὐδ' ἀπόνητο (λ, 323. π, 120.). Eust. cf. ad ε, 379. et ϑ, 239.

V. 379. πόθι] πόθεν (scr. ποθι] ποθέν). Vulg. Ἐγκλιτικὸν τὸ ποθι. Harl.

V. 383. δημιοεργοὶ] δημιουργοί, τεχνῖται. Vulg. Δημιουργοί, τουτέστι δημουργοὶ κατὰ κρᾶσιν, τεχνῖται δημοσίᾳ ἐργαζόμενοι. Mox: δημιουργοί, οἱ κατὰ τὸ δημόσιον χειροτέχναι. Eust. cf. ad ι, 135.

V. 384. κακῶν] τῶν νόσων. Vulg.

V. 385. θέσπιν] θεῖον, θαυμαστόν. Id. Ἀρσενικοῦ μὲν γένους τὸ θέσπις. σύγκειται δὲ ἐκ τούτων τὸ θεσπιῳδεῖν. Eust. ἐκ θεοῦ τὴν ὄπα ἔχοντα. τὸ δὲ τέρπησιν ἀντὶ τοῦ τέρπῃ, ὡς τό, νῦν δ' ἂν πολλὰ πάθῃσι (Il. χ, 505.). Ambr. B.

V. 386. κλητοὶ] κεκλημένοι. Vulg.

V. 387. τρύξοντα] καταπονήσοντα. Id. (Apollon., qui addit: καὶ ἐν τῷ βίῳ τρύχειν ἑαυτὸν λέγεται, οἷον καταπονεῖν.) Τοῦ τρύξοντα θέμα μὲν τὸ τρύχω. αὐτὸ δὲ παράγεται ἐκ τοῦ τρύω, τοῦτο δὲ ἐκ τοῦ τρῶ, τοῦ συγκοπέντος ἐκ τοῦ ῥῶ (scr. τρώω), ὃ δηλοῖ τὸ τρυπᾶν. Eust. Τρύχεται. κακοπαθεῖται, καταπονεῖται, ταλαιπωρεῖται, ἐκνενεύρισται. ἔστι ῥῆμα τρῶ, δη-

ἀλλ' αἰεὶ χαλεπὸς περὶ πάντων εἶς μνηστήρων
δμωσὶν Ὀδυσσῆος, πέρι δ' αὖτ' ἐμοί· αὐτὰρ ἔγωγε
οὐκ ἀλέγω, εἵως μοι ἐχέφρων Πηνελόπεια
ζώει ἐνὶ μεγάροις καὶ Τηλέμαχος θεοειδής.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
σίγα, μή μοι τοῦτον ἀμείβεο πόλλ' ἐπέεσσιν·
Ἀντίνοος δ' εἴωθε κακῶς ἐρεθιζέμεν αἰεὶ
μύθοισιν χαλεποῖσιν, ἐποτρύνει δὲ καὶ ἄλλους.
Ἦ ῥα, καὶ Ἀντίνοον ἔπεα πτερόεντα προσηύδα·
Ἀντίνο', ἦ μευ καλὰ πατὴρ ὣς κήδεαι υἷος,
ὃς τὸν ξεῖνον ἄνωγας ἀπὸ μεγάροιο δίεσθαι
μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειεν.

λοῖ τὸ βλάπτειν καὶ κακοῦν. οὗ παραγωγὸν τρώω καὶ τρύω, καὶ προςθέσει τοῦ χ τρύχω. Etymol. M.

V. 393. σίγα] Ἰστέον ὅτι τὸ σίγα γράφεται καὶ ἄττα. Eust. ἄττα] Γρ. σίγα. Harl. Vind. 56. In Vind. 133. voci σίγα manu prima supra scriptum ἄττα. — ἀμείβεο] ἐξ ἀμοιβῆς ἀποκρίνου. Vulg.

V. 394. εἴωθε] ἔθος ἔχει. ἐρεθιζέμεν] παροξύνειν. Vulg.

V. 397. Ἀντίνο'] Ὅτι Ἀντινόου δοκοῦντος ἐθέλειν διωχθῆναι τὸν πτωχὸν Ὀδυσσέα, ἵνα δῆθεν μὴ τρύχηται ὁ τοῦ Τηλεμάχου οἶκος, εἰρωνευόμενος ὁ Τηλέμαχος παντοῖος γίνεται. καὶ πρῶτα μὲν εἰςποιεῖται αὐτὸν ὡς εἰς πατέρα, οἷα τὴν μητέρα μνηστευόμενον, εἶτα μέμφεται ὡς οὐ καλῶς λέγοντα, καὶ ἐπιτρέπει ἐλεῆσαι τὸν ξένον, ἐλέγχων αὐτὸν ὡς φειδωλόν. Eust.

ἦ μευ — υἷος] ἤγουν, καλῶς μοῦ φροντίζεις, ὡς πατὴρ υἱοῦ. Id. υἷος] Γρ. υἱοῦ. Harl.

V. 398. δίεσθαι] ὅ ἐστι διώκειν. Eust. v. ad v. 317.

V. 399. μύθῳ ἀναγκαίῳ] ἤγουν ἀναγκαστικῷ. Eust. ἀναγκαστικῶς. Vulg.

δός οἱ ἑλών· οὔ τοι φθονέω· κέλομαι γὰρ ἔγωγε·
μήτ' οὖν μητέρ' ἐμὴν ἅζευ τόγε, μήτε τιν' ἄλλον
δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
ἀλλ' οὔ τοι τοιοῦτον ἐνὶ στήθεσσι νόημα·
αὐτὸς γὰρ φαγέμεν πολὺ βούλεαι, ἢ δόμεν ἄλλῳ.
Τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμειβόμενος προσέειπεν·
Τηλέμαχ' ὑψαγόρη, μένος ἄσχετε, ποῖον ἔειπες!
εἴ οἱ τόσσον ἅπαντες ὀρέξειαν μνηστῆρες,
καί κέν μιν τρεῖς μῆνας ἀπόπροθεν οἶκος ἐρύκοι.
Ὣς ἄρ' ἔφη· καὶ θρῆνυν ἑλὼν ὑπέφηνε τραπέζης
κείμενον, ᾧ ῥ' ἔπεχεν λιπαροὺς πόδας εἰλαπινάζων.

V. 401. ἅζευ] v. ι, 200. et 478.

V. 405. ἀπαμειβόμενος] Γρ. ἀπαμείβετο φώνησέν τε. Harl. Vind.

V. 407. 408. εἴ οἱ — ἐρύκοι] τουτέστιν, ἐὰν οἱ μνηστῆρες πάντες τοσοῦτον δοῖεν τῷ πτωχῷ, πολὺν ἂν καιρὸν διαγάγοι μὴ ἐλθὼν εἰς τὸν οἶκον. ὃ δηλοῖ φαινομένως μὲν πολλὴν ἐλεημοσύνην τοῦ πτωχοῦ ἐξ αὐτοῦ, ἀληθῶς δὲ πληγὴν μεγάλην καὶ τραῦμα δεινόν, δι' οὗ πολὺν χρόνον οὐκ ἂν ἰσχύσῃ ἐλθεῖν εἰς τὸν τοῦ Ὀδυσσέως οἶκον ὁ πληγεὶς πτωχός. ἵνα λέγῃ, ὅτι δώσω μέν, ἀλλὰ δεινὴν πληγήν. Eust. — ὀρέξειαν] δοῖεν. Vulg.

τρεῖς — ἐρύκοι] οὐκ ἂν ἐπὶ τρεῖς μῆνας προέλθοι αἰτήσων. Vulg. Τὸ δέ, τρεῖς μῆνας, ἁπλοϊκῶς παρεῤῥίφη, καὶ οὐ σπουδαίως ὥρισται. Eust.

V. 409. θρῆνυν] Ὅρα ὅτι ἀρσενικῶς εἶπε τὸν θρῆνυν, ὡς δηλοῖ τό, ᾧ ἐπέσχε πόδας, ἤγουν, ἐφ' ᾧ εἶχε τοὺς πόδας. Id.

ὑπέφηνεν] ἔξω εἵλκυσε, φανερὸν ἐποίησεν. Vulg. ἤγουν, ὑποκάτω ἔφηνεν ὑπεξαγαγὼν τῶν ποδῶν, ὡς ἂν ἔχοι ῥᾷον αὐτοῦ ἐπικύψας ἅψασθαι, ὅτε θελήσει κατὰ τοῦ Ὀδυσσέως βαλεῖν. Eust.

οἱ δ' ἄλλοι πάντες δίδοσαν, πλῆσαν δ' ἄρα πήρην
σίτου καὶ κρειῶν· τάχα δὴ καὶ ἔμελλεν Ὀδυσσεὺς,
αὖτις ἐπ' οὐδὸν ἰὼν, προικὸς γεύσεσθαι Ἀχαιῶν·
στῆ δὲ παρ' Ἀντίνοον, καί μιν πρὸς μῦθον ἔειπεν·
Δός, φίλος· οὐ μέν μοι δοκέεις ὁ κάκιστος Ἀχαιῶν
ἔμμεναι, ἀλλ' ὤριστος, ἐπεὶ βασιλῆϊ ἔοικας.
τῷ σε χρὴ δόμεναι καὶ λώϊον, ἤέ περ ἄλλοι,
σίτου· ἐγὼ δέ κέ σε κλείω κατ' ἀπείρονα γαῖαν.
καὶ γάρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
ὄλβιος ἀφνειόν, καὶ πολλάκι δόσκον ἀλήτῃ,
τοίῳ ὁποῖος ἔοι, καὶ ὅτευ κεχρημένος ἔλθοι·
ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλά,
οἷσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται.

V. 413. προικός] δωρεᾶς. Eust. τῆς δωρεὰν δόσεως. Vulg.

V. 414. στῆ δὲ παρ' Ἀντίνοον] Ἀντὶ τοῦ, παρ' Ἀντινόῳ, ὡς τό, στῆ παρὰ Πρίαμον (Il. ω, 169.). Ambr. B. Q.

V. 418. κλείω] δοξάσω, ὑμνήσω. Vulg. Τό, κλείω κατ' ἀπ. γαῖαν, χρόνον καὶ αὐτὸ ἀντὶ χρόνου λαμβάνει. ἀντὶ τοῦ δοξάσω γὰρ μέλλοντος εἴρηται. Eust. Ὑπισχνεῖται, τὸν Ἀντίνοον παρὰ πολλοῖς εὐκλεῶς φημίσαι. Id.

V. 420. ἀλήτῃ] πλανωμένῳ, πτωχῷ. Vulg.

V. 421. ὅτευ κεχρ. ἔλθοι] ἤγουν, καὶ οὗ ἂν χρήζοι. Eust.

V. 423. οἷσίν τ' εὖ ζώουσι] δι' ὧν καλῶς ζῶσιν. Vulg. Ὅρα τό, εὖ ζώουσιν. ἐξ οὗ ζωή πρὸ τούτων (ξ, 96. π, 429.) ἡ τοῦ ζῆν ἐλέχθη περιουσία. οἱ μέντοι μεθ' Ὅμηρον σοφοὶ ἐκ τούτου συνθέντες εὐζωΐαν τὴν εὐδαιμονίαν φασίν. Eust.

καλέονται] οἱ ἄνθρωποι δηλαδή. Id.

ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων – ἤθελε γάρ που –
ὅς μ' ἅμα ληϊστῆρσι πολυπλάγκτοισιν ἀνῆκεν
Αἴγυπτόνδ' ἰέναι, δολιχὴν ὁδόν, ὄφρ' ἀπολοίμην·
στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ νέας ἀμφιελίσσας.
ἔνθ' ἤτοι μὲν ἐγὼ κελόμην ἐρίηρας ἑταίρους
αὐτοῦ πὰρ νήεσσι μένειν, καὶ νῆας ἔρυσθαι·
ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι.
οἱ δ' ὕβρει εἴξαντες, ἐπισπόμενοι μένεϊ σφῷ,
αἶψα μάλ' Αἰγυπτίων ἀνδρῶν περικαλλέας ἀγροὺς
πόρθεον, ἐκ δὲ γυναῖκας ἄγον καὶ νήπια τέκνα,
αὐτούς τ' ἔκτεινον· τάχα δ' ἐς πόλιν ἵκετ' ἀϋτή.
οἱ δὲ βοῆς ἀΐοντες, ἅμ' ἠοῖ φαινομένηφιν
ἦλθον· πλῆτο δὲ πᾶν πεδίον πεζῶν τε καὶ ἵππων,
χαλκοῦ τε στεροπῆς· ἐν δὲ Ζεὺς τερπικέραυνος
φύζαν ἐμοῖς ἑτάροισι κακὴν βάλεν, οὐδέ τις ἔτλη
στῆναι ἐναντίβιον· περὶ γὰρ κακὰ πάντοθεν ἔστη.
ἔνθ' ἡμέων πολλοὺς μὲν ἀπέκτανον ὀξέϊ χαλκῷ,
τοὺς δ' ἄναγον ζωούς, σφίσιν ἐργάζεσθαι ἀνάγκῃ,
αὐτὰρ ἔμ' ἐς Κύπρον ξείνῳ δόσαν ἀντιάσαντι,
Δμήτορι Ἰασίδῃ, ὃς Κύπρου ἶφι ἄνασσεν·

V. 424. *ἀλάπαξε*] κατέφθειρε, πένητα ἐποίησεν. Vulg.

V. 425. *πολυπλάγκτοισι*] πολλὰ πλανωμένοις. Id. *Ληϊστῆρας* πολυπλάγκτους λέγει συνήθως τοὺς κατὰ θάλασσαν πειρατάς, ἐπεὶ μή ἐστιν αὐτοῖς εἷς σκοπὸς τοῦ πλοῦ. Eust.

V. 427. *Αἰγύπτῳ ποταμῷ*] Λέγει τὸν Νεῖλον Αἴγυπτον ποταμόν, ὡς καὶ πρὸ τούτων (v. ad δ, 477. 581. ξ, 257. 258.). Id.

V. 428. sequ. *ἔνθ' ἤτοι κ. τ. λ.*] v. ξ, 259. sequ.

V. 443. *Δμήτορι Ἰασίδῃ*] Καὶ ἐν Ἰλιάδι πολλοὶ (Barn. πόλεις) ὑπὸ βασιλέας ἦσαν (an: πολλοὶ Κύπρῳ βασιλεῖς ἦσαν). Vulg. Εἰ Κινύρας ἐν Ἰλιάδι (v. Eust. ad Il. λ, 20.) Κύπρου ἦν βασιλεύς, ἀλλ' ἐκείνου μηκέτ' ὄντος ὁ ῥηθεὶς Δμήτωρ βασιλεῦσαι δοκεῖ. Eust.

ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκω, πήματα πάσχων.
Τὸν δ' αὖτ' Ἀντίνοος ἀπαμείβετο, φώνησέν τε·
τίς δαίμων τόδε πῆμα προσήγαγε, δαιτὸς ἀνίην;
στῆθ' οὕτως ἐς μέσσον, ἐμῆς ἀπάνευθε τραπέζης,
μὴ τάχα πικρὴν Αἴγυπτον καὶ Κύπρον ἵκηαι·
ὥς τις θαρσαλέος καὶ ἀναιδής ἐσσι προΐκτης.
ἑξείης πάντεσσι παρίστασαι· οἱ δὲ διδοῦσιν
μαψιδίως· ἐπεὶ οὔτις ἐπίσχεσις οὐδ' ἐλεητὺς
ἀλλοτρίων χαρίσασθαι, ἐπεὶ πάρα πολλὰ ἑκάστῳ.
Τὸν δ' ἀναχωρήσας προσέφη πολύμητις Ὀδυσσεύς·
ὢ πόποι! οὐκ ἄρα σοίγ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν·

V. 444. τόδ' ἵκω] ἐνταῦθα παραγέγονα. Vulg. τόδε, ἤγουν ἐνταῦθα καὶ κατὰ τόδε τὸ δῶμα. Eust.

V. 448. μὴ τάχα πικρήν] Τό, μὴ τάχα πικρήν — ἵκηαι ἢ ἴδηαι, θυμικῶς ῥηθέν, οὐκ εὐδιανόητον μὲν ἁπλῶς οὕτως ἐστί. δηλοῖ δέ, ὡς ἐπὶ κακῷ τοῦ ξένου ἔσται τὸ περὶ Αἰγύπτου καὶ Κύπρου ἀφηγεῖσθαι, ὡς ἵκετο ἐκεῖ καὶ εἶδε τὰ ἐκεῖ. Eust. ἵκηαι] Γρ. ἴδηαι. Harl. Vind. 133. v. Eust.

V. 449. ὥς τις θαρσ.] Τό, ὥς τις θαρσαλέος ἐσσί, ἀντὶ τοῦ λίαν θαρσαλέος. γραφῆναι γὰρ αὐτὸ διὰ μικροῦ ο̄, (np. ὅστις) ἀσύνηθες τοῖς Ὁμηρικῶς λαμβάνουσιν ἐπὶ ἀορίστων τὸ ὅστις. Eust.

V. 450. ἑξείης] Τρεῖς νοθεύονται (Harl.), ἐφ' οἷς γὰρ Ἀντίνοος ὀνειδισθεὶς ὤργισται, εἰκὸς ἦν ἀσχεθῆναι (Buttm. em. ἀχθεσθῆναι) καὶ τοὺς λοιπούς. Vind. 133.

V. 451. ἐπίσχεσις] κώλυσις, πρόφασις. ἐλεητὺς] ἔλεος, οἶκτος. Vulg. ἤγουν, οὐδεμία φειδὼ δωρεῖσθαι τὰ ἀλλότρια. Eust.

V. 452. ἐπεὶ πάρα πολλὰ ἑκάστῳ] Τό, ἐπεὶ πάρα πολλὰ ἑκάστῳ, φθόνον ἔχει καὶ φειδωλίαν ὕπουλον, ὡς οἷα μεμφομένου τοῦ Ἀντινόου, εἰ πολλὰ ἑκάστῳ πάρεισιν. οἱονεὶ γάρ φησιν, ὡς εἴπερ ὀλίγα παρέκειντο, οὐκ ἂν διεδίδοντο. Eust.

οὐ σύγ' ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ οὐδ' ἅλα δοίης,
ὃς νῦν ἀλλοτρίοισι παρήμενος οὔτι μοι ἔτλης
σίτου ἀποπροελὼν δόμεναι· τὰ δὲ πολλὰ πάρεστιν.
Ὣς ἔφατ'· Ἀντίνοος δ' ἐχολώσατο κηρόθι μᾶλλον,
καί μιν ὑπόδρα ἰδὼν ἔπεα πτερόεντα προσηύδα·
Νῦν δή σ' οὐκέτι καλὰ δι' ἐκ μεγάροιό γ' ὀΐω
ἂψ ἀναχωρήσειν, ὅτε δὴ καὶ ὀνείδεα βάζεις.
Ὣς ἄρ' ἔφη· καὶ θρῆνυν ἑλὼν βάλε δεξιὸν ὦμον,

V. 455. ἐπιστάτῃ] Ἐπιστάτην τὸν ἐπαίτην λέγει νῦν παρὰ τὸ ἐφίστασθαι. οἱ δὲ παλαιοὶ τὴν λέξιν καὶ ἐπὶ παιδαγωγοῦ καὶ παιδοτρίβου οἴδασι τεθεῖσθαι. Id. Ἐπιστάτῃ. τῶν ἅπαξ εἰρημένων. λέγει δὲ τῷ ἐφισταμένῳ καὶ ἐπαιτοῦντι. Apollon. Ἐπιστάτῃ. μεταίτῃ. ἀπὸ τοῦ ἐφίστασθαι τῇ τραπέζῃ. Hesych.

οὐδ' ἅλα δοίης] Ὁ μὲν Ἀρίσταρχος δασέως ἀνέγνω, καὶ ἀπέδωκε τοὺς ἅλας. Καλλίστρατος δὲ ψιλῶς, οὐδ' ἄλλα (Ambr. οὐδ' ἅλα. imo οὔδαλα v. Eust.), ἐκδεχόμενος τὰ κόπρια, ἃ παρὰ τῷ οὐδῷ κεῖται. οὐδὸς δὲ ὁ βατήρ. Vulg. Τό, οὐδ' ἅλα δοίης, ἀντὶ τοῦ, οὐδὲ τὸ ἅλας τὸ ἐπὶ ξενίᾳ διδόμενον, ἵνα λέγῃ παροιμιωδῶς, ὅτι οὐδὲ τὸ εὐτελέστατον ἂν δοίης. — καὶ τοιοῦτον μὲν τό, οὐδ' ἅλα δοίης, ὡς γράφει Ἀρίσταρχος. Καλλίστρατος δὲ οὔδαλα ψιλῶς φασιν ἐκδέχεται καὶ προπαροξυτόνως, ἀντὶ τοῦ κόπρια, ἢ ἄλλως λύματα, παρὰ τὸν οὐδὸν ἤτοι τὸν βατῆρα κείμενα. πρόσκειται δὲ τὸ ψιλῶς ἐν τῷ λόγῳ τῶν παλαιῶν, διότι καὶ τὸ οὔδαλα ἐπνευμάτιζε τὸ φωνῆεν ἐν τῇ παραληγούσῃ διὰ ψιλῆς (sc. οὐδάλα), οὐ μὴν διὰ δασείας, ἥπερ ἐστὶν ἐν τῷ, οὐδ' ἅλα δοίης, διὰ τοὺς δασυνομένους ἅλας. Eust. cf. Theocrit. 27, 60.

V. 457. ἀποπροελών] Τὸ ἀποπροελὼν ταυτόν ἐστι τῷ ἀποπροταμών, ὃ ἀλλαχοῦ κεῖται (θ, 475.). Eust.

V. 460. καλά] ἤγουν καλῶς. Id.

πρυμνότατον κατὰ νῶτον· ὁ δ' ἐστάθη, ἠΰτε πέτρη,
ἔμπεδον· οὐδ' ἄρα μιν σφῆλεν βέλος Ἀντινόοιο·
ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
ἂψ δ' ὅγ' ἐπ' οὐδὸν ἰὼν κατ' ἄρ' ἕζετο, κὰδ δ' ἄρα πήρην
θῆκεν ἐϋπλείην· μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,
ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
οὐ μὰν οὔτ' ἄχος ἐστὶ μετὰ φρεσίν, οὔτε τι πένθος,
ὁππότ' ἀνὴρ περὶ οἷσι μαχειόμενος κτεάτεσσιν
βλήεται, ἢ περὶ βουσὶν, ἢ ἀργεννῇς ὀΐεσσιν·
αὐτὰρ ἔμ' Ἀντίνοος βάλε γαστέρος εἵνεκα λυγρῆς,
οὐλομένης, ἣ πολλὰ κάκ' ἀνθρώποισι δίδωσιν.

V. 463. πρυμνότατον] ἔσχατον. Vulg. ἔσχατον, πρὸς τῇ κεφαλῇ δηλαδή. Eust.

V. 464. σφῆλεν] ἔσφηλεν, ἔσεισεν. Vulg. Τὸ σφῆλεν ἔοικεν ἐτυμολογία εἶναι τοῦ προειρημένου σφέλαος (v. 231.). Eust.

βέλος] Βέλος τὸν ῥηθέντα θρῆνυν εἶπε. Eust.

V. 466. ἂψ δ' ὅγ' ἐπ' οὐδόν] Γρ. ἂψ δ' ἄρ' ἐπ' οὐδόν. Harl. et ita Vind. 133.

V. 467. ἐϋπλείην] πάνυ πεπληρωμένην. Vulg.

V. 471. μαχειόμενος] Τὸ μαχειόμενος ποιητικὴ λέξις, ὡς ἐκ τοῦ μαχῶ μαχείω. οὕτω δὲ καὶ τό, πήραν ἐϋπλείην, ἀντὶ τοῦ, εὖ πεπληρωμένην, καὶ τὸ βλήεται. καὶ οὐκ ἄν τις μὴ μετρικῶς γράφων αὐτοῖς χρήσηται. καινῶς δὲ καὶ νῦν ἡ περὶ πρόθεσις μετὰ δοτικῆς λέγεται ἐν τῷ, περὶ κτήμασι καὶ περὶ βουσίν. Eust.

V. 472. βλήεται] βληθείη. Vulg.

V. 474. οὐλομένης] cf. v. 287.

ἀλλ᾽ εἴ που πτωχῶν γε θεοὶ καὶ Ἐριννύες εἰσὶν,
Ἀντίνοον πρὸ γάμοιο τέλος θανάτοιο κιχείη.
Τὸν δ᾽ αὖτ᾽ Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
ἔσθι᾽ ἕκηλος, ξεῖνε, καθήμενος, ἢ ἄπιθ᾽ ἄλλῃ·
μή σε νέοι διὰ δώματ᾽ ἐρύσσωσ᾽, οἷ᾽ ἀγορεύεις,
ἢ ποδὸς, ἢ καὶ χειρὸς, ἀποδρύψωσι δὲ πάντα.
Ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα πάντες ὑπερφιάλως νεμέσησαν·
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
Ἀντίνο᾽, οὐ μὲν κάλ᾽ ἔβαλες δύστηνον ἀλήτην,
οὐλόμεν᾽· εἰ δή πού τις ἐπουράνιος θεός ἐστιν!
καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσιν,

V. 475. *ἀλλ᾽ εἴ που*] *Νοθεύονται στ᾽* (475—480). *πῶς ὁ Ἀντίνοος ἐκαρτέρησεν ἐπὶ ταῖς κατάραις, ὃς ἐπὶ τοῖς ἐλάσσοσιν οὕτως ἠγρίαινε* (Ambr. *ἠγρίανε*); *πῶς τε συναλγοῦσιν αὐτῷ οἱ λοιποί, εἰ τοιοῦτος ὢν οὕτω κατηρᾶτο πικρῶς;* Ambr. Q. Vind. 133.

V. 478. *ἔσθι᾽ ἕκηλος*] Vind. 133. *ἔσθ᾽ ἕκηλος.* Voci *ἔσθ᾽* supra scriptum: *ἀντὶ τοῦ ἔσθιε.*

V. 479. *ἐρύσωσιν*] *ἑλκύσωσιν.* Vulg.

V. 480. *ἀποδρύψωσιν*] *ἀποδείρωσιν.* Id. v. ad ε, 426. 435.

V. 481. *ὑπερφιάλως*] *Οὐ ψεκτὸν τὸ ὑπερφιάλως, ἀλλ᾽ ἀντὶ τοῦ μεγάλως κεῖται. οὕτω καὶ ἐν τοῖς ἑξῆς* (σ, 71.) *γυμνωθέντα τὸν Ὀδυσσέα θαυμάζουσιν ὑπερφιάλως ἤγουν ὑπερφυῶς.* Eust.

V. 484. *εἰ δή που — ἐστιν*] *Λείπει, τί ποιητέον εἰ θεός ἐστι.* Ambr. B. *Σημείωσαι ὅτι τό, εἰ δή πού τις θεός ἐστιν, ἐλλειπτικῶς ἔχει. λέγει γὰρ ἴσως τό, τί ἂν γένηται, ἢ τί ἂν ἐρεῖς. ἵνα λέγῃ, ὅτι οὐλόμενε τί γενήσεται, εἰ θεός ἐστιν ὁ ἐμπαροινούμενος.* Eust.

παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας,
ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες.
Ὣς ἄρ' ἔφαν μνηστῆρες· ὁ δ' οὐκ ἐμπάζετο μύθων.
Τηλέμαχος δ' ἐν μὲν κραδίῃ μέγα πένθος ἄεξεν
βλημένου· οὐδ' ἄρα δάκρυ χαμαὶ βάλεν ἐκ βλεφάροιϊν,
ἀλλ' ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
Τοῦ δ' ὡς οὖν ἤκουσε περίφρων Πηνελόπεια
βλημένου ἐν μεγάρῳ, μετ' ἄρα δμωῇσιν ἔειπεν·
Αἴθ' οὕτως αὐτόν σε βάλοι κλυτότοξος Ἀπόλλων!
τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔειπεν·
Εἰ γὰρ ἐπ' ἀρῇσιν τέλος ἡμετέρῃσι γένοιτο·
οὐκ ἄν τις τούτων γε ἐΰθρονον Ἠῶ ἵκοιτο.
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
μαῖ', ἐχθροὶ μὲν πάντες, ἐπεὶ κακὰ μηχανόωνται·
Ἀντίνοος δὲ μάλιστα μελαίνῃ Κηρὶ ἔοικεν.
ξεῖνός τις δύστηνος ἀλητεύει κατὰ δῶμα,
ἀνέρας αἰτίζων· ἀχρημοσύνη γὰρ ἀνώγει·

V. 486. τελέθοντες] γινόμενοι, φαινόμενοι. ἐπιστρωφῶσιν] ἐπέρχονται. Vulg.

V. 487. εὐνομίην] εὐνεμεσίαν (Barn. εὐνεμησίαν), καθ' ἣν εὖ νεμόμεθα καὶ διατελοῦμεν. Id.

V. 496. εἰ γὰρ ἐπ' ἀρῇσιν] Εἰ προβαίη ἐπὶ ταῖς ἡμετέραις εὐχαῖς τὰ πράγματα. τοῦτο γὰρ λείπει. Ambr. B. Q. ἐπ' ἀρῇσιν] ἐπὶ ταῖς εὐχαῖς. Vulg.

V. 501. ξεῖνός τις] Νοθεύει Ἀρίσταρχος δ' (v. 501—504.). πῶς γὰρ ταῦτα εἰδῇ; ἢ εἰ μήπως κατὰ τὸ σιωπώμενον. Vind. 133.
ἀλητεύει] Νῦν ἀντὶ τοῦ ἐπαιτεῖ. Vulg.

V. 502. ἀχρημοσύνη] ἀπορία, ἔνδεια. Id.

ἔνθ' ἄλλοι μὲν πάντες ἐνέπλησάν τ' ἔδοσάν τε·
οὗτος δὲ θρήνυι πρύμνον βάλε δεξιὸν ὦμον.
Ἡ μὲν ἄρ' ὣς ἀγόρευε μετὰ δμωῇσι γυναιξίν,
ἡμένη ἐν θαλάμῳ· ὁ δ' ἐδείπνεε δῖος Ὀδυσσεύς·
ἡ δ' ἐπὶ οἷ καλέσασα προςηύδα δῖον ὑφορβόν·
Ἔρχεο, δῖ' Εὔμαιε, κιὼν τὸν ξεῖνον ἄνωχθι
ἐλθέμεν, ὄφρα τί μιν προςπτύξομαι, ἠδ' ἐρέωμαι,
εἴ που Ὀδυσσῆος ταλασίφρονος ἠὲ πέπυσται,
ἢ ἴδεν ὀφθαλμοῖσι· πολυπλάγκτῳ γὰρ ἔοικεν.
Τὴν δ' ἀπαμειβόμενος προςέφης, Εὔμαιε συβῶτα·
εἰ γάρ τοι, βασίλεια, σιωπήσειαν Ἀχαιοί·
οἷ' ὅγε μυθεῖται, θέλγοιτό κέ τοι φίλον ἦτορ.
τρεῖς γὰρ δή μιν νύκτας ἔχον, τρία δ' ἤματ' ἔρυξα
ἐν κλισίῃ· πρῶτον γὰρ ἔμ' ἵκετο, νηὸς ἀποδράς·

V. 503. ἐνέπλησαν] ἐκόρεσαν. Id.

V. 507. ἐπὶ οἷ] πρὸς ἑαυτήν. Id. μετακαλεσαμένη αὐτὸν διά τινος. οὐ γὰρ οὕτως ἐγγὺς ἦν. Ambr. B. Q. cf. 330. et 342.

V. 509. προςπτύξομαι] Νῦν, προςδέξομαι. γράφεται καί, φθέγξομαι. Vulg. Ὅτι τό, προςπτύξομαι τὸν ξένον, ἀντὶ τοῦ, προςείπω. διὸ ἐπάγει πρὸς ἑρμηνείαν τό, ἠδ' ἐρέωμαι, πρὸς δεῖξιν τοῦ ταυτὰ ἐνταῦθα εἶναι τὸ προςπτύξομαι καὶ τὸ ἐρέωμαι. Eust.

V. 514. οἷ' ὅγε μυθεῖται] Θαυμαστικῶς διὰ μέσου ἀναπεφώνηται, οἷα ὅγε μυθεῖται. Ambr. Harl. οἷ' ὅγε] Γρ. ἢ ὅγε. Harl.

θέλγοιτο] εὐφραίνοιτο. Vulg. Σημείωσαι τό, θέλγοιτο ἦτορ, οὔτε ἀπάτην ἐνταῦθα δηλοῦν οὔτε ἄλλο τι κακόν, ἀλλ' ἡδονὴν ἀβλαβῆ, ὑπερβάλλουσαν μέντοι καὶ ἐκπληκτικὴν καὶ ὡς οἷον ἐκστατικήν τινα καὶ αὐτήν. Eust.

V. 516. ἔμ' ἵκετο] τουτέστιν, ἱκέτευσε. Eust.

ἀλλ' οὔπω κακότητα διήνυσεν ἣν ἀγορεύων.
ὡς δ' ὅτ' ἀοιδὸν ἀνὴρ ποτιδέρκεται, ὅςτε θεῶν ἒξ
ἀείδει δεδαὼς ἔπε' ἱμερόεντα βροτοῖσιν,
τοῦ δ' ἄμοτον μεμάασιν ἀκουέμεν, ὁππότ' ἀείδῃ·
ὣς ἐμὲ κεῖνος ἔθελγε παρήμενος ἐν μεγάροισιν.
φησὶ δ' Ὀδυσσῆος ξεῖνος πατρώϊος εἶναι,
Κρήτῃ ναιετάων, ὅθι Μίνωος γένος ἐστίν.
ἔνθεν δὴ νῦν δεῦρο τόδ' ἵκετο πήματα πάσχων,
προπροκυλινδόμενος· στεῦται δ' Ὀδυσῆος ἀκοῦσαι,
ἀγχοῦ Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ,
ζωοῦ· πολλὰ δ' ἄγει κειμήλια ὅνδε δόμονδε.
Τὸν δ' αὖτε προςέειπε περίφρων Πηνελόπεια·
ἔρχεο, δεῦρο κάλεσσον, ἵν' ἀντίον αὐτὸς ἐνίσπῃ.
οὗτοι δ' ἠὲ θύρῃσι καθήμενοι ἑψιαάσθων,

V. 518. *ποτιδέρκεται*] Τό, ποτιδέρκεται ἀοιδόν, συννοούμενον ἔχει καὶ τὸ ἀκούειν. οὐ γὰρ χρεία τοῦ ἀοιδοῦ ὡς μόνον προςδέρκεσθαι, ἀλλὰ μᾶλλον ἀκούειν, ἐπεὶ καὶ οὕτω θέλγει, ἀκουόμενος δηλαδή. Id.

θεῶν ἒξ] Τό, θεῶν ἒξ δεδαώς, θεομαθῆ καὶ θεόσοφον εἶναι δηλοῖ τὸν ἀοιδόν. κρουστικῶς δὲ ἐκπεφώνηται τό, θεῶν ἔξ, καθὰ καὶ τό, Ἀρτέμιδι ξύν, καὶ τό, Ἰλιόθι πρό. Id.

V. 523. *Μίνωος*] Περιᾴδεται ἐν ταῖς ἱστορίαις ὁ Μίνως ὡς καὶ εὐγενὴς καὶ λόγιος καὶ ἀνακαθαίρων τοὺς πειρατάς. ἕτεροι δὲ καὶ αὐτὸν λῃστρικὸν ἱστόρησαν. Id.

V. 524. *τόδ' ἵκετο*] ἐνταῦθα παρεγένετο. Vulg.

V. 525. *προπροκυλινδόμενος*] πλανώμενος. Id. (Ed. ant. προκυλ.) μετὰ κακοπαθείας ἀπὸ πόλεως εἰς πόλιν φερόμενος. Ambr. B. Q. ἱκετεύων, ἢ καὶ ἱκετευτικῶς ἀπὸ τόπου εἰς τόπον ἥκων. — αἱ δὲ δύο προθέσεις ἐν τῷ, προπροκυλινδόμενος, τὸ ἄγαν ὑποπτωτικὸν τοῦ ξένου δηλοῦσιν ἐν τῷ ἱκετεύειν. Eust.

στεῦται] Τὸ στεῦται καὶ νῦν ἀντὶ τοῦ διαβεβαιοῦται, ὑφίσταται. ἀλλαχοῦ μέντοι καὶ τὸ ὑπισχνεῖσθαι ἡ λέξις δηλοῖ. Eust.

V. 530. *ἑψιαάσθων*] Ἀντὶ τοῦ, παιζέτωσαν, διαλεγέσθω-

ἢ αὐτοῦ κατὰ δώματ᾽· ἐπεί σφισι θυμὸς ἐΰφρων.
αὐτῶν μὲν γὰρ κτήματ᾽ ἀκήρατα κεῖτ᾽ ἐνὶ οἴκῳ,
σῖτος καὶ μέθυ ἡδύ· τὰ μὲν οἰκῆες ἔδουσιν·
οἱ δ᾽ εἰς ἡμέτερον πωλεύμενοι ἤματα πάντα,
βοῦς ἱερεύοντες καὶ ὄϊς καὶ πίονας αἶγας,
εἰλαπινάζουσιν, πίνουσί τε αἴθοπα οἶνον,
μαψιδίως· τὰ δὲ πολλὰ κατάνεται. οὐ γὰρ ἔπ᾽ ἀνήρ,
οἷος Ὀδυσσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἴκου ἀμῦναι.
εἰ δ᾽ Ὀδυσεὺς ἔλθοι, καὶ ἵκοιτ᾽ ἐς πατρίδα γαῖαν,
αἶψά κε σὺν ᾧ παιδὶ βίας ἀποτίσεται ἀνδρῶν.
Ὣς φάτο· Τηλέμαχος δὲ μέγ᾽ ἔπταρεν· ἀμφὶ δὲ δῶμα

σαν. Vulg. παιζέτωσαν, ἀπὸ τοῦ ἕπω, ἕψω, ἑψιάω. Ambr. B. Q. Τῆς παλαιᾶς φασιν Ἀτθίδος, ἑψιάσθων εἰπεῖν δυικῶς ἀντὶ τοῦ ἑψιάσθωσαν. ποιητικὴ δὲ λέξις τὸ ἑψιᾶσθαι, ἤτοι λόγον παίζειν. καὶ δασύνεται, ὡς δῆλον ἐν τοῖς ἐφεξῆς ἐκ τοῦ, ἐφεψιόωνται γυναῖκες (scr. ἐφεψιόωνται ἅπαντες. Od. τ, 331. καὶ, ἐφεψιόωντο γυναῖκες. τ, 370.), καὶ τοῦ, ἀφεψιασάμην ἤτοι ἀφωμίλησα, ὡς ἐν ῥητορικῷ κεῖται λεξικῷ. — οἱ δὲ παλαιοὶ ἑρμηνεύοντες τὴν λέξιν φασὶν οὕτως· ἑψιᾶται, ἀντὶ τοῦ, γελᾷ, παίζει, διαλέγεται. καὶ ἑψία, παιδία, γέλως, χλεύη. καὶ ἑψίαι, ἑορταί. εἴτε δὲ ἀπὸ τοῦ ἕπεσθαι γίνεται εἴτε παρὰ τὸ ἕπω τὸ λέγω κατὰ πνευματισμὸν Ἀττικόν, οὐκ ἔστι βεβαίως ἀπισχυρίσασθαι. Eust.

V. 532. ἀκήρατα] ὑπὸ ἀλλοτρίων, ἃ δὴ οἰκεῖοι αὐτῶν ἔδουσι. Ambr. B. Ὅρα ὅτι ἀκήρατά φησι κτήματα οὐ τὰ ἀκέραια, ἔδονται γάρ, ἀλλὰ τὰ μὴ κειρόμενα πρὸς βίαν καὶ ληστρικῶς. Eust.

V. 533. οἰκῆες] Οἰκῆας κἀνταῦθα πάντας τοὺς ἐν οἴκῳ λέγει, ὁποίας ἂν καὶ εἶεν τύχης. οὐ γὰρ δή που τὰ τῶν μνηστήρων δοῦλοι μόνοι ἔδουσιν, ἀλλὰ πάντες οἱ αὐτοῖς οἰκειακοί. Eust.

V. 534. οἱ δ᾽ εἰς ἡμέτερον κ. τ. λ.] v. β, 55. sequ.

V. 541. μέγ᾽ ἔπταρεν] Ὄρνις γάρ ποτε ἦν τοῖς παλαιοῖς

σμερδαλέον κονάβησε· γέλασσε δὲ Πηνελόπεια·
αἶψα δ᾽ ἄρ᾽ Εὔμαιον ἔπεα πτερόεντα προςηύδα·
"Ἔρχεό μοι, τὸν ξεῖνον ἐναντίον ὧδε κάλεσσον.
οὐχ ὁράᾳς, ὅ μοι υἱὸς ἐπέπταρε πᾶσιν ἔπεσσιν;
τῷ κε καὶ οὐκ ἀτελὴς θάνατος μνηστῆρσι γένοιτο,
πᾶσι μάλ᾽, οὐδέ κέ τις θάνατον καὶ Κῆρας ἀλύξοι.
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
αἴ κ᾽ αὐτὸν γνώω νημερτέα πάντ᾽ ἐνέποντα,
ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά.
"Ὣς φάτο· βῆ δὲ συφορβός, ἐπεὶ τὸν μῦθον ἄκουσεν·
ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντα προςηύδα·
Ξεῖνε πάτερ, καλέει σε περίφρων Πηνελόπεια,
μήτηρ Τηλεμάχοιο· μεταλλῆσαί τί ἑ θυμὸς
ἀμφὶ πόσει κέλεται, καὶ κήδεά περ πεπαθυίῃ.

καὶ ὁ πταρμός, ἐπεὶ καὶ ἡ κεφαλὴ τιμία, ἐξ ἧς τὸ τοιοῦτον σύμβολον. διὸ καὶ προςεκυνεῖτο ὁ πταίρων. καὶ τὴν αἰτίαν λέγουσιν οἱ σοφοί, ἐν οἷς καὶ Ἀριστοτέλης (Problem. sect. 33.). Eust.

V. 542. κονάβησε] Γρ. κανάχησε. Harl. κανάχησεν ἢ κονάβησεν. Eust.

V. 545. οὐχ ὁράᾳς] Τό, οὐχ ὁράᾳς, ἢ ἀντὶ τοῦ, νοεῖς, ἐπεὶ νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει, ἢ καὶ ἀντὶ τοῦ, ἀκούεις, ὡς ἂν εἴη αἴσθησις ἀντὶ αἰσθήσεως. οὗ τὸ ἀνάπαλιν ὁ Ἶρος ἐρεῖ ἐν τῷ, οὐκ ἀΐεις ὅτι μοι ἐπιλλίζουσι μνηστῆρες (σ, 11. ubi: ὅτι δή μοι ἐπιλλίζουσιν ἅπαντες); ἔδει γὰρ ἐκεῖνον εἰπεῖν, ὁρᾷς. Eust.

V. 454. 455. μεταλλῆσαι — πεπαθυίῃ] Ὅτι καὶ ἐνταῦθα κεῖται σχῆμα καινὸν ἤτοι σολοικοφανὲς ἐν τῷ, μεταλλῆσαι τί ἑ θυμὸς κέλεται καὶ κήδεά περ πεπαθυίῃ. τὸ μὲν γὰρ ὀρθόν, ὅτι κέλεται αὐτὴν ὁ θυμὸς μεταλλῆσαί τι καὶ κήδεά περ παθοῦσαν. Ὁ δὲ συβώτης, ἢ ὡς δοῦλος βαρβαρίζων ἢ καὶ τὴν ἓ ἀντωνυμίαν ἀντὶ τῆς οἱ λαβών, ὡς εἴπερ εἶπεν, ὅτι ὁ θυμὸς αὐτῇ

εἰ δέ κέ σε γνοίη νημερτέα πάντ᾽ ἐνέποντα,
ἕσσει σε χλαῖνάν τε χιτῶνά τε, τῶν σὺ μάλιστα
χρηΐζεις· σῖτον δὲ καὶ αἰτίζων κατὰ δῆμον,
γαστέρα βοσκήσεις· δώσει δέ τοι, ὅς κ᾽ ἐθέλῃσιν.
Τὸν δ᾽ αὖτε προσέειπε πολύτλας δῖος Ὀδυσσεύς·
Εὔμαι᾽, αἶψά κ᾽ ἐγὼ νημερτέα πάντ᾽ ἐνέποιμι
κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ·
οἶδα γὰρ εὖ περὶ κείνου, ὁμὴν δ᾽ ἀνεδέγμεθ᾽ ὀϊζύν.
ἀλλὰ μνηστήρων χαλεπῶν ὑποδείδι᾽ ὅμιλον,
τῶν ὕβρις τε βίη τε σιδήρεον οὐρανὸν ἵκει.
καὶ γὰρ νῦν, ὅτε μ᾽ οὗτος ἀνὴρ κατὰ δῶμα κιόντα
οὔτι κακὸν ῥέξαντα βαλὼν ὀδύνῃσιν ἔδωκεν,
οὔτε τι Τηλέμαχος τόγ᾽ ἐπήρκεσεν, οὔτε τις ἄλλος.
τῷ νῦν Πηνελόπειαν ἐνὶ μεγάροισιν ἄνωχθι
μεῖναι, ἐπειγομένην περ, ἐς ἠέλιον καταδύντα·
καὶ τότε μ᾽ εἰρέσθω πόσιος πέρι νόστιμον ἦμαρ,
ἀσσοτέρω καθίσασα παραὶ πυρί· εἵματα γάρ τοι

βούλεται μεταλλῆσαι, ἐπάγει τὸ πεπαθυίῃ, ἀντικτωτικῶς, ὡς ἐὰν εἶπεν, αὐτῇ παθούσῃ. Eust. v. ad ι, 256. — πεπαθοίης] Ἀντὶ τοῦ, πέπονθας. Ambr. Q. (Buttm. inde auguratur variam lect. καὶ κήδε᾽ ἅπερ πεπαθοίης.)

V. 559. βοσκήσεις] θρέψεις. Ms. Barn.

V. 563. ὁμήν] τὴν αὐτήν. ἀνεδέγμεθα] ἀνεδεξάμεθα. Vulg.

V. 567. ὀδύνῃσιν ἔδωκεν] Ἀντὶ τοῦ ὠδύνησε. Eust.

V. 571. εἰρέσθω] ἐρωτησάτω. Vulg.

V. 572. ἀσσοτέρω] ἐγγυτέρω. Id.

λυγρ' ἔχω· οἶσθα καὶ αὐτός, ἐπεί σε πρῶθ' ἱκέτευσα.
Ὣς φάτο· βῆ δὲ συφορβός, ἐπεὶ τὸν μῦθον ἄκουσεν.
τὸν δ' ὑπὲρ οὐδοῦ βάντα προσηύδα Πηνελόπεια·
Οὐ σύγ' ἄγεις, Εὔμαιε; τί τοῦτ' ἐνόησεν ἀλήτης;
ἤ τινά που δείσας ἐξαίσιον, ἠὲ καὶ ἄλλως
αἰδεῖται κατὰ δῶμα; κακὸς δ' αἰδοῖος ἀλήτης.
Τὴν δ' ἀπαμειβόμενος προσέφης, Εὔμαιε συβῶτα·
μυθεῖται κατὰ μοῖραν, ἅπερ κ' οἴοιτο καὶ ἄλλος,
ὕβριν ἀλυσκάζων ἀνδρῶν ὑπερηνορεόντων.
ἀλλά σε μεῖναι ἄνωγεν ἐς ἠέλιον καταδύντα.
καὶ δέ σοι ὧδ' αὐτῇ πολὺ κάλλιον, ὦ βασίλεια,
οἴην πρὸς ξεῖνον φάσθαι ἔπος, ἠδ' ἐπακοῦσαι.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
οὐκ ἄφρων ὁ ξεῖνος ὀΐεται, ὅσπερ ἂν εἴη·

V. 575. βάντα] ἐπιβάντα, εἰσελθόντα. Id.

V. 577. ἐξαίσιον] μεγάλως. Id. Τὸ ἐξαίσιον δηλοῖ μὲν τὸ ἔξω τοῦ αἰσίου. ἔστι δὲ ἢ αἰτιατικῆς πτώσεως, ἵνα δηλοῖ, δείσας τινὰ ἄνδρα ἐξαίσιον, ἢ ἐπιῤῥηματικῶς ἐῤῥέθη ἀντὶ τοῦ, ἔξω τοῦ δέοντος. οὕτω καὶ ἐν Ἰλιάδι (ο, 598.) ἐξαίσιον Θέτιδος ἀρὰν λέγει τὴν ἄδικον. τινὲς δὲ τό, δείσας ἐξαίσιον, καὶ ἀντὶ τοῦ μέγα φοβηθείς, εἶπον. Eust.

V. 578. αἰδοῖος] Νῦν, ὁ αἰδούμενος. Vulg.

V. 580. οἴοιτο] νομίσοι, ὑπολάβοι. Vulg. v. Eust. ad v. 586.

V. 581. ἀλυσκάζων] Eust. ἀλυσκάζειν] ἐκφυγεῖν. Ms. Barn.

V. 586. ὀΐεται] Ὅρα τά, οὐκ ἄφρων ὀΐεται, ἀντὶ τοῦ, φαίνεται, νομίζεται. τὸ μέντοι, ἅπερ ἂν οἴοιτο καὶ ἄλλος, ἐνεργητικῶς κεῖται κατὰ κοινὴν συνήθειαν ἀντὶ τοῦ νομίζοι. Eust.

οὐ γάρ πού τινες ὧδε καταθνητῶν ἀνθρώπων
ἀνέρες ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται.
Ἡ μὲν ἄρ' ὡς ἀγόρευεν· ὁ δ' ᾤχετο δῖος ὑφορβὸς
μνηστήρων ἐς ὅμιλον, ἐπεὶ διεπέφραδε πάντα.
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα,
ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι·
Ὦ φίλ', ἐγὼ μὲν ἄπειμι, σύας καὶ κεῖνα φυλάξων,
σὸν καὶ ἐμὸν βίοτον· σοὶ δ' ἐνθάδε πάντα μελόντων.
αὐτὸν μέν σε πρῶτα σάω, καὶ φράζεο θυμῷ,
μή τι πάθῃς· πολλοὶ δὲ κακὰ φρονέουσιν Ἀχαιῶν·
τοὺς Ζεὺς ἐξολέσειε, πρὶν ἡμῖν πῆμα γενέσθαι.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
ἔσσεται οὕτως, ἄττα· σὺ δ' ἔρχεο δειελιήσας·

ὅσπερ] Schol. marg. Harl. ὥσπερ.

V. 592. ἄγχι σχών] ἐγγὺς προσενεγκών. Ms. Barn.

V. 593. κεῖνα] Ὅρα τὸ κεῖνα, τὰ πράγματα δηλαδή, οὗ ἑρμηνεία τό, σὸν καὶ ἐμὸν βίοτον. Eust.

V. 594. μελόντων] ἤτοι μελέτωσαν. Id.

V. 595. σάω] τουτέστι σῶζε. Id. v. ν, 230.

V. 596. Ἀχαιοί] Γρ. Ἀχαιῶν. Vind. 133. Ἀχαιῶν. Eust.

V. 599. δειελιήσας] Ὅτι τό, σὺ δ' ἔρχεο δειελιήσας, ἀντὶ τοῦ, ἕως δείλης διατρίψας ἐνταῦθα (Vulg. πρὸς τὴν δειλινὴν ὥραν παραγενόμενος, τουτέστι τὴν μεσημβρίαν ἢ τὴν ἑσπερινὴν διατρίψας.). διὸ περὶ δείελον ἦμαρ ὁ παραγγελθεὶς Εὔμαιος ἄπεισι (v. 605.). τὸ μέντοι εἰπεῖν, δειελιήσας ἀντὶ τοῦ, βρωματισάμενος τροφὴν δειλινήν, οὐκ ἀρέσκει τοῖς παλαιοῖς. τὸ πολὺ γὰρ τρεῖς ἦσαν τροφαί, ἄριστα δεῖπνα δόρπα τε, κατ' Αἰσχύλον (v. Athen. I, 10. (19.), Valckenar. ad Phoeniss. p. 204.), ὃν

ἠῶθεν δ' ἰέναι καὶ ἄγειν ἱερήϊα καλά·
αὐτὰρ ἐμοὶ τάδε πάντα καὶ ἀθανάτοισι μελήσει.
Ὣς φάθ'· ὁ δ' αὖτις ἄρ' ἕζετ' ἐϋξέστου ἐπὶ δίφρου·
πλησάμενος δ' ἄρα θυμὸν ἐδητύος ἠδὲ ποτῆτος,

καὶ αὐτὸν ψέγειν δοκεῖ ὁ αἰτιασάμενός τινας, οἳ δὶς ἑκάστης ἡμέρας ἐμπιπλάμενοι ζῶσι. καὶ ἄλλως δὲ δειελιήσας ἀντὶ τοῦ, πρὸς δειλινὴν ὥραν γενόμενος κατὰ τοὺς παλαιούς, ἤγουν βαθειᾶν μεσημβρίαν ἰδών. οἱ δὲ ἐπὶ τροφῆς δειλινῆς τὴν λέξιν νοοῦντες προφέρουσι Καλλιμάχου (Fragm. num. 190.) τό, δειελίην αἰτίζουσιν ἄγουσι δὲ χεῖρας ἀπ' ἔργου. (Schol. Vulg. δείελον αἰτίζουσιν. Buttm. veram lectionem censet: δειελίην αἰτοῦσιν,), τὴν πρὸς δείλην δηλαδὴ τροφὴν αἰτοῦντες. ἔνθα σκεπτέον, ὡς εἰ ψεκτέον τὸ ἄλλως εἰς κόρον γαστρίζεσθαι ἀριστῶντά τινα καὶ δορποῦντα καί που καὶ δειπνοῦντα; πῶς οὐ μάλιστα ψεκτέον τὸ καὶ δειλινὴν τροφὴν προσίεσθαι, τά τε ἄλλα, καὶ ὡς ἀεργίας αἴτιον; οὐκοῦν τὴν τοιαύτην τροφὴν ἀποῤῥιπτέον ἐκ τῆς καθ' Ὅμηρον ἱστορίας, ἵνα μὴ νοῆται ὁ ποιητὴς ἱστορῶν τροφὰς ἑκάστης ἡμέρας λαμβάνεσθαι τέσσαρας. οὕτω δὲ κατά τινας καὶ τὰς τοῦ Αἰσχύλου, εἰπόντος, ἄριστα δεῖπνα δόρπα θ' αἱρεῖσθαι. οὐδεὶς γάρ φασι δείξει, ὡς παρὰ τῷ ποιητῇ τρεῖς τροφαὶ λαμβάνονται. εἰ δὲ μέμνηται ἀρίστου καὶ δείπνου καὶ δόρπου, ἀλλ' αὐτὰ δύο εἰσίν, οἷα συνωνυμούντων τοῦ δείπνου καὶ τοῦ ἀρίστου, καὶ τοῦ αὐτοῦ ποτὲ μὲν ἀρίστου, ποτὲ δὲ δείπνου ὀνομαζομένου. δῆλον δ' ὡς οὐκ ἄν τινα θορυβήσῃ ὡς ἐπὶ τρισὶ τροφαῖς τὸ παρὰ Μενελάῳ συμπόσιον (δ, 67. et 218.), ἐν ᾧ ἰδιάζοντι κεῖται παρὰ τὰ κοινά. δειπνήσαντες γὰρ ὁμιλοῦσιν, εἶτ' ἀπονιψάμενοι πάλιν δειπνοῦσιν, ὡς παρετήρησαν οἱ παλαιοί. Eust. v. ad π, 2. Athen. l. c. coll. l. 5, 4. (20.)

V. 600. ἱερήϊα] v. ξ, 240.

V. 602. ἕζετ' ἐπὶ θρόνου ἔνθεν ἀνέστη] text. Γρ. ἕζετ' ἐϋξέστου ἐπὶ δίφρου. Harl. quae lectio etiam est in Vind. 133.

V. 603. πλησάμενος — ποτῆτος] Ambr. Q. addit versum: Αὐτὰρ ἐπεὶ δείπνησε καὶ ἤραρε θυμὸν ἐδωδῇ, cum nota: Περισσὸς ὁ εἷς ἐκ τῶν β'. Eust. priorem tantum agnoscit.

βῆ ῥ' ἴμεναι μεθ' ὕας· λίπε δ' ἕρκεά τε μέγαρόν τε,
πλεῖον δαιτυμόνων· οἱ δ' ὀρχηστυῖ καὶ ἀοιδῇ
τέρποντ'· ἤδη γὰρ καὶ ἐπήλυθε δείελον ἦμαρ.

V. 606. δείελον ἦμαρ] τὸ τῆς δειλινῆς ὥρας (διάστημα addit Ambr. Q.). Vulg. ἤγουν δείλη. ὡς γὰρ μέσον ἦμαρ ἡ μεσημβρία, οὕτω καὶ δείελον ἦμαρ ἡ δείλη. Eust.

ΤΗΣ ΤΟΥ ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ ΡΑΨΩΙΔΙΑ Η ΓΡΑΜΜΑ Σ.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Σ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ὀδυσσέως καὶ Ἴρου πυγμὴ γίνεται. φαίνεται δὲ καὶ Πηνελόπη τοῖς μνηστῆρσι, καὶ παρ' αὐτῶν δῶρα λαμβάνει. γίνεται δὲ καὶ τις κοινολογία ἐν τοῖς ἑξῆς Ὀδυσσέως πρὸς Εὐρύμαχον. Eust. Vulg.

Ἐ π ι γ ρ α φ α ί.

Ὀδυσσέως καὶ Ἴρου πυγμή.

Ἄ λ λ ω ς.

Σῖγμ' ἔριν Ἴρου, εὖχος Ὀδυσσεύς, δῶρά τ' ἀνάκτων.

Ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος, ὅς κατὰ ἄστυ
πτωχεύεσκ' Ἰθάκης, μετὰ δ' ἔπρεπε γαστέρι μάργη,

V. 1. *πτωχός*] *ἐπαίτης.* *πανδήμιος*] *ὁ κατὰ τὸν δῆμον ἐπαιτῶν, καὶ δι' ὅλης τῆς πόλεως ἐπιών.* Vulg. *ὁ δι' ὅλης τῆς πόλεως ἐπαιτῶν.* Ambr. B. Q.

V. 2. *γαστέρι μάργη*] *γαστριμαργία μαινομένη.* Vulg. *Ὅτι τό, μεταπρέπειν γαστέρι μάργη, ἀστείως ἐῤῥέθη ἀντὶ τοῦ, ἐκπρεπὴς ἦν ἐπὶ γαστριμαργίᾳ, εἴτουν ἀπληστίᾳ. τοῦτο γὰρ ἡ μάργη γαστήρ, διαλελυμένως ῥηθεῖσα ὁμοίως τῷ, πόλις ἄκρη, καὶ τοῖς ὁμοίοις. ὅθεν καὶ ἐπιφέρει διασαφητικῶς τό, ἀζηχὲς φαγέμεν.* Eust. *Οὐδεὶς οὔτε γραμματικῶν οὔτε ῥητόρων ἐμνημόνευσεν. Ἀριστοτέλης δὲ ἐν τῷ περὶ ζώων μέμνηται ζώου μάργου, λέγων ὅτι*

ἀζηχὲς φαγέμεν καὶ πιέμεν· οὐδέ οἱ ἦν ἴς,
οὐδὲ βίη· εἶδος δὲ μάλα μέγας ἦν ὁράασθαι.
Ἀρναῖος δ' ὄνομ' ἔσκε· τὸ γὰρ θέτο πότνια μήτηρ
ἐκ γενετῆς· Ἶρον δὲ νέοι κίκλησκον ἅπαντες,
οὕνεκ' ἀπαγγέλλεσκε κιών, ὅτε πού τις ἀνώγοι·
ὅς ῥ' ἐλθὼν Ὀδυσῆα διώκετο οἷο δόμοιο,
καί μιν νεικείων ἔπεα πτερόεντα προσηύδα·

γεννᾶται ἀπὸ σήψεως μεταξὺ γῆς καὶ ὕδατος (huc usque Vind. 133.), καὶ ἀφ' οὗ γεννηθῇ, οὐ παύεται γαιηφαγοῦν, ἕως οὗ ἐκτρυπήσῃ τὴν γῆν καὶ εἰς τὴν ἐπιφάνειαν ἔλθῃ. καὶ ἐλθὸν θνήσκει τρεῖς ἡμέρας. καὶ ἔρχεται νέφος μετὰ βροντῆς, καὶ βρέχει ἐπάνω αὐτοῦ, καὶ ἀναζῇ μηκέτι γαιηφαγοῦν. ἐκ τούτου οἶμαι τοὺς ἀρχαίους φιλοσόφους ὁρμηθέντας τοὺς πολυφάγους γαστριμάργους καλέσαι. Ambr. Q.

V. 3. ἀζηχές] διηνεκές, ἀδιάλειπτον. Vulg. πολλά. Ms. Barn. Ἀζηχὲς, τὸ ἀδιεχθὲς (scr. ἀδιεχὲς) εἴτουν συνεχές, ὡς ἀλλαχοῦ ἐγράφη (v. Il. δ, 435. ο, 658.). οἱ δὲ παλαιοὶ λέγουσι καὶ ὅτι ἀζηχές, δεινόν, μέγα, συνεχές, ἀδιάλειπτον, μεγαλόφωνον. εἴρηται δὲ παρ' αὐτοῖς τὸ μεγαλόφωνον διὰ τὸ πρὸ τούτων ῥηθέν, ἀζηχὲς μεμακυῖαι (Il. δ, 435.). Eust. Ἀζηχές. ἀδιεχές, ἀδιάλειπτον (cit. Il. δ, 435. et n. l.). Apollon.

V. 5. Ἀρναῖος] Ἀρναῖος ἢ ὁ εὐκταῖος μητρὶ τῇ καὶ θεμένῃ αὐτῷ τοὔνομα, ὡς ἀπὸ τοῦ ἀρά ἡ εὐχή, πλεονασμῷ τοῦ ν πρὸς διαστολὴν τοῦ ἐπιθετικοῦ ἀραίου. ἢ ὁ βοσκηματώδης καὶ προβατώδης κατὰ τὸ εὔηθες. ἢ παρὰ τὸ ἄρνυσθαι καὶ ἀντιλαμβάνειν καὶ ἐντεῦθεν ζῆν. Eust. cf. Etymol. M. ubi sequ. v. citatur: τὸ γὰρ θέτο οἵ ποτε μήτηρ.

V. 6. ἐκ γενετῆς] Ἐκ γενεῆς, διχῶς. Harl.

Ἶρον] Ἶρος κατὰ τὸν ποιητὴν παρὰ τὸ εἴρω τὸ λέγω καὶ ἀπαγγέλλω. ὅθεν καὶ ἡ Ἶρις καὶ ὁ Ἑρμῆς. Eust. παρὰ τὸ εἴρειν. Vulg.

V. 8. διώκετο] ἐδίωκεν. Vulg. Τό, διώκετο οἷο δόμοιο, ἀντὶ τοῦ, ἐδίωκεν ἐκ τοῦ ἰδίου οἴκου. ἐνεργητικὴν γὰρ σημασίαν ἔχει νῦν τὸ ἐδιώκετο. Eust.

Εἶκε, γέρον, προθύρου, μὴ δὴ τάχα καὶ ποδὸς ἕλκῃ·
οὐκ ἀΐεις, ὅτι δή μοι ἐπιλλίζουσιν ἅπαντες,
ἑλκέμεναι δὲ κέλονται; ἐγὼ δ᾽ αἰσχύνομαι ἔμπης.
ἀλλ᾽ ἄνα, μὴ τάχα νῶϊν ἔρις καὶ χερσὶ γένηται.
Τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προςέφη πολύμητις Ὀδυσσεύς·
δαιμόνι᾽, οὔτε τί σε ῥέζω κακόν, οὔτ᾽ ἀγορεύω,
οὔτε τινὰ φθονέω δόμεναι, καὶ πόλλ᾽ ἀνελόντα.
οὐδὸς δ᾽ ἀμφοτέρους ὅδε χείσεται· οὐδέ τί σε χρὴ

V. 10. εἶκε] ὑποχώρει (ed. ant. ὑπεχώρει). Vulg.

V. 11. ἐπιλλίζουσιν] τοῖς ὄμμασι διανεύουσι. Id. διανεύουσι τοῖς ὀφθαλμοῖς. ἶλλοι γὰρ οἱ ὀφθαλμοί, ἀπὸ τοῦ εἰλεῖσθαι, ὅθεν τὸ δενδίλλων (Il. ι, 180.). Ambr. B. Q. Ἐπιλλίζουσι. ἐπιλλίζειν ἐστὶν τὸ τοὺς ὀφθαλμοὺς ἐπικατακλᾶν. οὐχ ὁρᾷς (scr. ὁράᾳς), ὅτι δή μοι ἐπιλλίζουσιν ἅπαντες; Apollon. Ἐπιλλίζουσι. τὸ διανεύουσιν. οἷον, Οὐκ ἀΐεις, ὅτι δή μοι ἐπιλλίζουσιν Ἀχαιοί. ἀπὸ τοῦ τοὺς ὀφθαλμοὺς διανεύοντα εἱλεῖν. ἐξ οὗ καὶ ἰλλάδες, αἱ συνεστραμμένοι ἱμάντες. Etymol. M.

V. 13. ἄνα] τουτέστιν, ἀνάστηθι. Eust.

ἔρις — γένηται] Τό, ἔρις καὶ χερσὶ γένηται, δηλοῖ ὡς τὸ παρὸν ἔρις ἐστὶν ἐν λόγοις. διὸ καὶ ὁ ποιητὴς ἔφη (v. 9.), καί μιν νεικείων προςηύδα, ὡς ταυτὸν ὂν νεικεῖν καὶ ἐρίζειν. εἰ καὶ τὸ μέν ἐστιν ἐν τῷ προςαυδᾶν, τὸ δὲ ἕτερον ἐν χερσίν. Eust.

V. 14. τὸν δ᾽ ἀπαμειβόμενος προςέφη] Cod. Vind. 133. τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προςέφη.

V. 16. ἀνελόντα] Ἀντὶ τοῦ, ἀνελόμενον, λαβόντα. Vulg.

V. 17. χείσεται] χωρήσει. ὅθεν καὶ χειάς, τὰς καταδύσεις τῶν ὄφεων (Ambr. B. Q. ἔνθεν καὶ χειά, ἡ κατάδυσις τῶν ὄφεων) Vulg. Δημήτριος δέ φησιν, ὅτι ἀττικίζων ὁ ποιητὴς ἀντὶ τοῦ δέξεται, χείσεται, εἶπεν. Ambr. B. Q. Vind. 133. Ἰστέον ὅτι τὸ χείσεται δηλοῖ μὲν τὸ χωρήσει. γράφεται δὲ παρὰ τοῖς παλαιοῖς καινότερον διὰ διφθόγγου, ὡς ἀπὸ τοῦ χῶ χείω, ἐξ οὗ καὶ χειά, ἡ φωλεά. καὶ ἴσως μὲν μονήρης μέλλων τὸ τοιοῦτόν ἐστιν, ἴσως δὲ καὶ κατὰ τὸ κείσεται, ἵνα ᾖ, ὥςπερ κέω κῶ, οὕτως χέω

ἀλλοτρίων φθονέειν· δοκέεις δέ μοι εἶναι ἀλήτης,
ὥςπερ ἐγών· ὄλβον δὲ θεοὶ μέλλουσιν ὀπάζειν.
χερσὶ δὲ μήτι λίην προκαλίζεο, μή με χολώσῃς,
μή σε, γέρων περ ἐών, στῆθος καὶ χείλεα φύρσω
αἵματος· ἡσυχίη δ' ἂν ἐμοὶ καὶ μᾶλλον ἔτ' εἴη
αὔριον· οὐ μὲν γάρ τί σ' ὑποστρέψεσθαι ὀΐω
δεύτερον ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
Τὸν δὲ χολωσάμενος προςεφώνεεν Ἶρος ἀλή-
της·
ὢ πόποι! ὡς ὁ μολοβρὸς ἐπιτροχάδην ἀγορεύει,

χῶ τὸ χωρῶ, καὶ χέημι παραγωγὸν ὡς κέημι, ἐξ ὧν, ὥςπερ κείσεται, οὕτω καὶ χείσεται. ἐκ δὲ τοῦ χέω καὶ χειή, ἡ κρύψις τοῦ ὄφεως ἐν Ἰλιάδι (χ, 93.), κατὰ δέ τινας καὶ κισσύβιον, παρὰ τὸ χεῖσθαι, ὅ ἐστι χωρεῖν, τροπῇ τοῦ δασέος εἰς ψιλόν. ἐκ δὲ τοῦ ἑτέρου χέειν τοῦ κοινότερον λεγομένου οὐ μόνον χοεύς — ποτηρίου εἶδος, — ἀλλὰ καὶ χοῦς ὁ αὐτὸς χοεύς. Eust.

V. 18. ἀλλοτρίων φθονέειν] Οὕτως ἡ σύνταξις. οὐ χρή σε φθονεῖν μοι τῶν ἀλλοτρίων. μέλλουσι δὲ οἱ θεοὶ εὐδαιμονίαν ἡμῖν παρέχειν. ἄδηλον γὰρ τὸ τῆς τύχης ῥεῦμα. Ambr. B. Q.

V. 19. ὄλβον δὲ θεοὶ μέλλ. ὀπάζειν] Ἐοίκασι δὲ οἱ θεοὶ διανεμητικοὶ (ed. ant. δωτικοί, Ms. Barnes. δωρητικοὶ) εἶναι εὐδαιμονίας. ὥςτε οὐ φαίνονται ἡμῖν ἵλεω. ὀπάζειν] παρέχειν, δωρεῖσθαι. Vulg.

V. 20. προκαλίζεο] προκαλοῦ. χολώσῃς] ὀργισθῆναι ποιήσῃς. Id.

V. 21. φύρσω] μολυνῶ. Id. Τό, χείλεα φύρσω αἵματος, ἀντὶ τοῦ, δι' αἵματος, κατὰ προθέσεως ἔλλειψιν. τὸ μέντοι κοινόν, φύρσω αἵματι, μετὰ δοτικῆς. ἔστι δὲ φύρσαι τὸ μολῦναι καὶ συγχέαι. ὅθεν καὶ φύρδην συγκεῖσθαί τινα λέγονται. πρωτότυπον δὲ τὸ φυράσαι, ἀφ' οὗ καὶ φύραμα τὸ ζύμωμα. ἐκ δὲ τοῦ φυράσαι κατὰ συγκοπὴν τὸ φύρσαι, ἵνα τῷ λόγῳ τούτῳ εἴη τό, χείλεα φύρσαι αἵματος, ῥηθὲν πρὸς ὁμοιότητα τοῦ, ἄλφιτον φύρσαι ὕδατος. Eust.

V. 26. μολοβρός] v. ad ρ, 219.

ἐπιτροχάδην] ἐσπευσμένως. Vulg. Τὸ ἐπιτροχάδην παρατετηρημένως εἴρηται ἀντὶ τοῦ σπουδαίως καὶ κατ' ἐπιδρομήν.

γρηῒ καμινοῖ ἶσος· ὃν ἂν κακὰ μητισαίμην,
κόπτων ἀμφοτέρῃσι, χαμαὶ δέ κε πάντας ὀδόντας
γναθμῶν ἐξελάσαιμι, συὸς ὣς ληϊβοτείρης.
ζῶσαι νῦν, ἵνα πάντες ἐπιγνώωσι καὶ οἵδε
μαρναμένους· πῶς δ' ἂν σὺ νεωτέρῳ ἀνδρὶ μάχοιο;
Ὣς οἱ μὲν προπάροιθε θυράων ὑψηλάων
οὐδοῦ ἔπι ξεστοῦ πανθυμαδὸν ὀκριόωντο.

τοῦτο δὲ διὰ τὸ κομματικὸν τῶν ἐννοιῶν τοῦ κατὰ τὸν Ὀδυσσέα λόγου. Eust. — ἀγορεύει] διαλέγεται. Vulg.

V. 27. καμινοῖ] καμινευτρίᾳ, φρυγούσῃ κριθάς. ἔστι δὲ ἡ εὐθεῖα καμινώ. Vulg. Τό, γρηῒ καμινοῖ ἶσος, οἱ μὲν κατὰ τὸ πολύλαλόν φασιν, ὡς ἐν ῥητορικῷ δηλοῦται λεξικῷ. ἕτεροι δὲ τὸ μὲν γρηῒ διὰ τὸ ῥυσὸν τοῦ προσώπου εἶπον, τὸ δὲ καμινοῖ διὰ τὸ ἐπιφαινόμενον μέλαν ὡς οἷον ἔκ τινος ἀσβόλης. Ἀρίσταρχος δὲ καὶ Ἡρωδιανὸς καμινὼ φασι τὴν καμινεύτριαν, ἤτοι φρύττουσαν κριθὰς πρὸς εὐχερεστέραν ἀλευροποιΐαν. — Κομανὸς δὲ σύνθετον τὴν λέξιν τῆς καμινοῦς νοῶν, φησὶν οὕτω καλεῖσθαι διὰ τὸ καμεῖν τὰς ἶνας ὑπὸ γήρως. Eust. Καμινοῖ. καμινευτρίᾳ. τινές, κεκμηκυίᾳ, τὰς ἶνας ἀποβεβληκυίᾳ. γρηῒ καμινοῖ. Hesych.

V. 28. κόπτων] πλήσσων, τύπτων. Vulg. Ἐν τῷ, κόπτων ἤτοι πλήττων ἀμφοτέραις, λείπει τὸ χερσίν, ὡς καὶ ἐν τῷ, ἀμφοτέρῃσιν ἐδέξατο. Eust.

χαμαὶ δ' ἐκ πάντας] Σχεδὸν πᾶσαι, χαμαὶ δέ κε πάντας. Harl.

V. 29. ληϊβοτείρης] τῆς κατεσθιούσης τὸ λήϊον, ὅ ἐστι τὸ σιτοφόρον χωρίον. ἐὰν γὰρ εὑρεθῇ σῦς ἀλλότριον σπόριμον πεδίον βοσκομένη, ἐξοδοντίζεται. Vulg. Σῦς ληϊβότειρα, ἡ διαβοσκομένη ἀλλότριον λήϊον, ἣν ἐξωδόντιζον οἱ δεσπόται τοῦ χωρίου. ὁ νόμος δέ φασι παρὰ Κυπρίοις. — Τὸ δέ, ἐκ πάντας ὀδόντας, τὴν ῥηθεῖσαν ἐξοδόντισιν συντίθησι. Eust.

V. 30. ζῶσαι] Τὸ ζῶσαι ζώννυσθαι τοὺς πυγμάχους δηλοῖ, ὡς μετ' ὀλίγα φαίνεται σαφῶς ἐν τῷ, ζώσατο μὲν ῥάκεϊ (scr. ῥάκεσι) περὶ μήδεα Ὀδυσσεύς (v. 67.). καὶ τὸν Ἶρον δὲ δρηστῆρες ἄγουσι ζώσαντες ἀνάγκῃ (v. 76.). Eust.

ἐπιγνώωσι] Ἀντὶ τοῦ, θεάσωνται. Vulg.

V. 31. μαρναμένους] μαχομένους. Id.

V. 33. πανθυμαδόν] ἐκθύμως, πάσῃ τῇ ψυχῇ, ἄγαν ὀρ-

τοῖϊν δὲ ξυνέηχ' ἱερὸν μένος Ἀντινόοιο,
ἡδὺ δ' ἄρ' ἐκγελάσας μετεφώνει μνηστήρεσσιν·
Ὦ φίλοι, οὐ μέν πώ τι πάρος τοιοῦτον ἐτύχθη·
οἵην τερπωλὴν θεὸς ἤγαγεν ἐς τόδε δῶμα!
ὁ ξεῖνός τε καὶ Ἶρος ἐρίζετον ἀλλήλοιϊν
χερσὶ μαχήσασθαι· ἀλλὰ ξυνελάσσομεν ὦκα.

γίλως. ὀκριόωντο] ἐτραχύνοντο, διεφέροντο, διεπληκτίζοντο. Id. Μετὰ παντὸς θυμοῦ ἐτραχύνοντο, ἠγριαίνοντο. καὶ λίθον ὀκριόεντα (Il. δ, 518. ϑ, 527. μ, 380. π, 735. al.) φησὶ τὸν τραχὺν, καὶ οἷον ἄκρα ἔχοντα, καὶ ἀκριόεντα. Ambr. B. Q. Harl. Πανθυμαδὸν ὀκριᾶσθαι λέγει τὸ ὡς εἰκὸς ὁλοψύχως τραχύνεσθαι. Eust.

V. 34. τοῖϊν] τοῖσι δὲ ἢ τοῖϊν. Eust. Τὸ δὲ, τοῖσι ξυνέηκε, δηλοῖ, ὡς καὶ ἀλλαχοῦ φαίνεται, μὴ γενικῇ καὶ αἰτιατικῇ πτώσει ἀεὶ συντάσσεσθαι, τὸ ξυνιέναι. Id.

ἱερὸν μένος Ἀντ.] Ὅρα καὶ ὅτι χρηστολογεῖ κατὰ ἔθος οἰκεῖον ὁ ποιητὴς τὸν κάκιστον Ἀντίνοον ἐν τῷ, ἱερὸν μένος Ἀντινόοιο, ὡς καὶ μετ' ὀλίγα (v. 60.), ἱερὴ ἲς Τηλεμάχοιο, φησίν. εἰ γὰρ καὶ κακὸς ὁ Ἀντίνοος, ἀλλ' εἶχέ τινα ἐφ' οἷς ἐχρῆν αὐτὸν ἐπαινεῖσθαι. Eust.

V. 35. ἐκγελάσας] Τὸ ἐκγελάσας, ἀντὶ τοῦ λίαν γελάσας, κατ' ἐπίτασιν συνήθη τῆς ἐξ προθέσεως. ἢ οὐ μόνον κατὰ νοῦν γελάσας, ἀλλὰ καὶ ἐκφήνας τὸν γέλων. καὶ ἔστι τοῦτο ἑτεροῖον τοῦ παρ' Ἡσιόδῳ (εργ. v. 59.) ἐκγελάσαι τὸν Δία. τὸ μέντοι, γέλω ἔκθανον, μετ' ὀλίγα (v. 100.), ὑπερβολὴν δηλοῖ γέλωτος. ἠρεμαιότερον δὲ τό, ἴσαν εἴσω ἡδὺ γελόωντες (v. 111.). ὑφειμένον δὲ πάντῃ τό, ἀνίῄξαν (scr. ἀνήϊξαν) γελόωντες (v. 40.). Id. cf. π, 354.

V. 37. οἵην] ὁποίαν. τερπωλήν] τέρψιν. Vulg.

V. 38. ἐρίζετον] φιλονεικοῦσιν. ἀλλήλοιϊν] πρὸς ἀλλήλους. Id.

V. 39. ξυνελάσσομεν] συμβάλλομεν (ed. ant. rectius συμβάλωμεν). Vulg. Τὸ ξυνελάσομεν ἐκ μεταφορᾶς ἔοικε ῥηθῆναι ζώων, ἃ κατ' ἀλλήλων ὡς εἰς μάχην ἐρεθίζουσί τινες ἢ πληγαῖς ἢ ὠθισμοῖς. ἐπὶ τοιούτων γὰρ κυριολεκτεῖται τὸ ἐλάσαι. Eust.

Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀνήϊξαν γελόωντες,
ἀμφὶ δ' ἄρα πτωχοὺς κακοείμονας ἠγερέθοντο.
τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, ὄφρα τι εἴπω·
γαστέρες αἵδ' αἰγῶν κέατ' ἐν πυρί· τάςδ' ἐπὶ δόρπῳ
κατθέμεθα, κνίσσης τε καὶ αἵματος ἐμπλήσαντες·
ὁππότερος δέ κε νικήσῃ, κρείσσων τε γένηται,
τάων ἥν κ' ἐθέλῃσιν ἀναστὰς αὐτὸς ἑλέσθω·
αἰεὶ δ' αὖθ' ἡμῖν μεταδαίσεται, οὐδέ τιν' ἄλλον
πτωχὸν ἔσω μίσγεσθαι ἐάσομεν αἰτήσοντα.
Ὣς ἔφατ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
τοῖς δὲ δολοφρονέων μετέφη πολύμητις Ὀδυσσεύς·

V. 41. κακοείμονας] κακὰ ἱμάτια περιβεβλημένους. Vulg.

V. 43. ἀγήνορες] Νῦν, οἱ ἄγαν ἀνδρεῖοι. Id.

V. 44. γαστέρες] Τὰς γαστέρας φύσκας τινὲς τῶν παλαιῶν ἡρμήνευσαν. ἁπλοϊκὸν δὲ καὶ ἀγροτικὸν τὸ εἰς δόρπον τοιαύτας φυλάσσειν κνίσης πεπλησμένας καὶ αἵματος. Eust. Τὰς φυσικὰς (corr. φύσκας) λέγει. οἰκεῖον δὲ τὸ ἆθλον τοῖς διὰ γαστέρα δυςτυχοῦσιν (Ambr. ἁμιλλωμένοις). Vulg.

κέατ'] Τὸ κέαται ἤτοι κεῖνται δῆλον ὡς Ἰωνικόν ἐστι, καθὰ σὺν ἄλλοις καὶ τὸ δεδέαται παρ' Ἡροδότῳ ἀντὶ τοῦ δέδενται. Eust. κέαται πυρί. Harl. Sed Schol. addit ἐν.

ἐν πυρί] Ἐν πυρί, ἀντὶ τοῦ, παρὰ πυρί. οὕτως Ἀρίσταρχος. ὁ δὲ Ἀριστοφάνης, ἐν πυρί, ἐν τῷ καταφωτιζομένῳ τόπῳ, ὡς ἐν Ἰλιάδι (ι, 206.), αὐτὰρ ὅγε κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ. Ambr. B. Q.

V. 45. κατθέμεθα] κατεθέμεθα. Vulg.

V. 48. μεταδαίσεται] συνευωχηθήσεται. Id. ἤγουν, συνειλαπινάσει. Eust.

V. 50. ἥνδανε] ἤρεσκε. Vulg. v. ν, 16.

V. 51. δολοφρονέων] ἀπατῶν. Id.

Ὦ φίλοι, οὔπως ἔστι νεωτέρῳ ἀνδρὶ μάχεσθαι
ἄνδρα γέροντα, δύῃ ἀρημένον· ἀλλά με γαστὴρ
ὀτρύνει κακοεργός, ἵνα πληγῇσι δαμείω.
ἀλλ' ἄγε νῦν μοι πάντες ὀμόσσατε καρτερὸν ὅρκον,
μήτις ἐπ' Ἴρῳ ἦρα φέρων ἐμὲ χειρὶ βαρείῃ
πλήξῃ ἀτασθάλλων, τούτῳ δέ με ἶφι δαμάσσῃ.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀπώμνυον, ὡς ἐκέλευεν.
[αὐτὰρ ἐπεί ῥ' ὄμοσάν τε, τελεύτησάν τε τὸν ὅρκον,]
τοῖς δ' αὖτις μετέειφ' ἱερὴ ἲς Τηλεμάχοιο·
Ξεῖν', εἴ σ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ,
τοῦτον ἀλέξασθαι, τῶν δ' ἄλλων μήτιν' Ἀχαιῶν
δείδιθ'· ἐπεὶ πλεόνεσσι μαχήσεται, ὅς κέ σε θείνῃ.
ξεινοδόκος μὲν ἐγών· ἐπὶ δ' αἰνεῖτον βασιλῆες,

V. 53. δύῃ ἀρημένον] ἤγουν, βεβλαμμένον τῇ κακοπαθείᾳ. τοιοῦτον γὰρ ἡ δύη. Eust. v. ad ξ, 215. ζ, 2. ι, 403.

V. 56. ἦρα] τουτέστι, χάριν. Eust. Τὸ ἐντελές, ἐπίηρα. Ambr. B. v. ad γ, 164. et π, 375.

V. 57. ἀτασθάλλων] ἐνυβρίζων με ὑπερηφάνως, ἢ ἀδικῶν με. Ambr. B. Q.

δαμάσῃ] τύψῃ, δείρῃ. Vulg. (Ed. ant. δαμάσει. τύψει, δείρῃ).

V. 58. ἐπώμνυον] Ἐπώμνυον, οὐκ ἀπώμνυον. Ambr. B. Harl. ἀπώμνυον. Γρ. ἐπώμνυον. Vind. 133. ἀπώμνυον. Eust. v. κ, 345. et 381. μ, 303. ο, 436., et Eust. ad β, 377.

V. 63. θείνῃ] Γρ. δείρῃ. Vind. 56. v. ι, 459.

V. 64. ξεινοδόκος] ὁ τοὺς ξένους ὑποδεχόμενος. ἐπὶ δ' αἰνεῖτον] συγκατατίθενται. Vulg. Τό, ἐπὶ δ' αἰνεῖτον βασιλῆες, ἢ ἀντὶ τοῦ, ἐπαινοῦσι καὶ οἱ βασιλεῖς, ὁμοίως τῷ, οἱ δ'

Ἀντίνοός τε καὶ Εὐρύμαχος, πεπνυμένω ἄμφω.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον· αὐτὰρ Ὀδυσσεὺς
ζώσατο μὲν ῥάκεσιν περὶ μήδεα, φαῖνε δὲ μηροὺς
καλούς τε μεγάλους τε, φάνεν δέ οἱ εὐρέες ὦμοι,
στήθεά τε στιβαροί τε βραχίονες· αὐτὰρ Ἀθήνη
ἄγχι παρισταμένη μέλε' ἤλδανε ποιμένι λαῶν.
μνηστῆρες δ' ἄρα πάντες ὑπερφιάλως ἀγάσαντο·
ὧδε δέ τις εἴπεσκεν, ἰδὼν ἐς πλησίον ἄλλον·
Ἦ τάχα Ἶρος Ἄϊρος ἐπίσπαστον κακὸν ἕξει·

ἄρα πάντες ἐπήνεον, ὅπερ εὐθὺς ἐπάγεται. ἢ ἀντὶ τοῦ, ἐπὶ δέ, ἤγουν, σὺν ἐμοὶ συγκατατίθενται καὶ οἱ βασιλεῖς, ὁ Εὐρύμαχος δηλαδὴ καὶ ὁ Ἀντίνοος. Eust.

V. 67. ζώσατο] περιεζώσατο μὲν τοῖς ῥάκεσι τὰ αἰδοῖα, ἢ περὶ τὰ αἰδοῖα ἐζώσατο. Ambr. B. Q. Ἰστέον καὶ ὅτι τό, ζώσατο ῥάκεσιν, ἐμφαίνει μὴ ζώνῃ χρᾶσθαι τοὺς πυγμάχους, καὶ οὕτως ἀναστέλλειν τὸ ἱμάτιον, ἀλλ' ἀποδυσαμένους εἶτα ἱματίῳ ζώννυσθαι, ὡς ἐνταῦθα Ὀδυσσεὺς ἐζώσατο ῥάκεσιν. ὧν γυμνωθεὶς μήδεα μὲν καλύπτει, φαίνει δὲ μηροὺς καὶ ὤμους καὶ στήθεα καὶ βραχίονας. ὃ τὴν ῥηθεῖσαν γύμνωσιν φράζει. Eust. v. ad v. 30.

V. 70. ἤλδανεν] ηὔξανεν. Vulg. Ἀλδαίνειν τὸ αὔξειν, παρὰ τὸ ἄλλεσθαι, ἢ παρὰ τὸ ἀλθαίνειν, διὰ τὸ συγγενὲς τοῦ θ καὶ δ. πρωτότυπον δὲ τοῦ ἀλδαίνειν τὸ ἀλδῶ ἀλδήσω, ἐξ οὗ καὶ τὸ ἀλδήσκω, καὶ ποταμός που Ἄλδησκος, θρεμμάτων θεραπευτικός. Eust. Ψιλῶς ἀπὸ τοῦ ἀλδαίνω. καὶ Αἰολεῖς ἄλματα καλοῦσι τοὺς κλάδους, οἷον ἀλδήματα καὶ αὐξήματα. Ambr. B. Q. ἤτοι εὐτραφῆ καὶ λιπαρὰ ἐποίει, εὐρύνουσα τὰ μέλη. Porphyr. Quaest. Homer. 10.

V. 71. ἀγάσαντο] ἐθαύμασαν. Vulg.

V. 73. Ἶρος Ἄϊρος] Τό, Ἶρος Ἄϊρος, ταυτὸν τῷ, Ἶρος κακόϊρος, καθ' ὁμοιότητα τοῦ, Κακοΐλιον οὐκ ὀνομαστήν (τ, 260.), καὶ τοῦ, ὕπνος ἄϋπνος, παρὰ Σοφοκλεῖ (Philoct. 848.), καὶ τῶν ὁμοίων. ἢ καὶ ἄλλως Ἄϊρος, ὁ μηκέτι ἐσόμενος Ἶρος ἀλλὰ τεθνηξόμενος. Eust. Οὐκέτι ἐν ζῶσιν ἐσόμενος Ἶρος. Ambr. B.

ἐπίσπαστον] Ἐπίσπαστον κακόν, τὸ αὐθαίρετον, (Vulg.

οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει!
Ὣς ἄρ' ἔφαν· Ἴρῳ δὲ κακῶς ὠρίνετο θυμός.
ἀλλὰ καὶ ὧς δρηστῆρες ἄγον ζώσαντες ἀνάγκῃ,
δειδιότα· σάρκες δὲ περιτρομέοντο μέλεσσιν.
Ἀντίνοος δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Νῦν μὲν μήτ' εἴης, βουγάϊε, μήτε γένοιο,
εἰ δὴ τοῦτόν γε τρομέεις καὶ δείδιας αἰνῶς,

ἑκούσιον) καὶ ὅ τις καθ' ἑαυτοῦ ἐπισπᾶται, καθ' ὁμοιότητα ὥς φασι ζώων (Vulg. ἀπὸ τῶν ὀρνίθων) δελεαζομένων καὶ ἐπισπωμένων ἑαυτοῖς ὄλεθρον. ὃς δὴ καὶ οὐ μόνον κατὰ δέλεαρ γίνεται, ἀλλά ποτε καὶ διὰ θυμόν. οὕτω γὰρ καὶ σῦς καὶ ἄρκτος πίπτει καὶ λέων καὶ πάρδαλις, ἐξὸν ὂν διαφυγεῖν τὸ κακὸν, εἰ μὴ ἐπεσπῶντο αὐτό. Eust.

V. 74. ἐπιγουνίδα] v. ad ρ, 225. Τὸν ἐπάνω τοῦ γόνατος τόπον. ἀπὸ δὲ μέρους τὸ πᾶν σῶμά φησιν. εἰ γὰρ τὸ ὀστῶδες μέρος εὔσαρκον, πῶς οὐκ ἂν καὶ τὰ ἄλλα; Ambr. B. Q.

V. 75. κακῶς ὠρίνετο θυμός] Ἰστέον ὅτι τό, κακῶς ὠρίνετο θυμός, πρὸς διαστολὴν εἴρηται τοῦ ἄλλως ὀρίνεσθαι. ὀρίνεται γάρ τίς ποτε καὶ καλῶς, κατὰ τὸν εἰς πόλεμον ὀρινόμενον καὶ θαρσαλέως μαχόμενον. Eust.

V. 76. δρηστῆρες] Ἁπλῶς. οὐ γὰρ ἐπὶ τῶν μαγείρων. οὗτοι δῶμα καταδρηστῆρες (scr. δῶμα κάτα δρηστῆρες) ἔασιν. (v. κ, 349. π, 248. τ, 345.). Ambr. Q.

V. 79. νῦν μὲν μήτ' εἴης] Ἀντὶ τοῦ, ἀποθάνοις νῦν. μήτε γένοιο, ἀντὶ τοῦ, μηδὲ ἐν παλιγγενεσίᾳ ἔλθοις τὸ δεύτερον. Ambr. B. Τό, μήτε εἴης μήτε γένοιο, ἢ ἀντὶ τοῦ, μήτε νῦν εἴης μήτε ἐγένου. ἔθος γὰρ τοῖς θυμουμένοις μέμφεσθαι καὶ τὸ ἤδη γεγονός, καὶ ἐπαρᾶσθαι μὴ ἂν γενέσθαι, εἰ καὶ ἀδύνατος ἡ ἀρά. ἢ μήτε εἴης ἄρτι ἀλλὰ τεθναίης, μήτε μὴν πάλιν ὕστερον γένοιο. — Ὁ δὲ παραφράσας Δημοσθένης ταῦτά τε καὶ τὸν βουγάϊον ἑρμηνεύων φησί, μήτε εἴης ἔτι μήτε ὀνομάζοιο, βόσκημα ἀναίσθητον. Eust. Λέγει, μὴ εἴης μέγας μήτε γένοιο. ὅμοιον τῷ, ἦ μάλα Ἶρος Ἄϊρος (v. 73.), ἀπαγγέλλων ὅτε πού τις ἀνώγοι (v. 7.). τοῦτο ὅμοιον καὶ τῷ, οὕτω γάρ κέν μοι ἐϋκλείη τ' ἀρετή τε εἴη ἐπ' ἀνθρώπους ἅμα τ' αὐτίκα καὶ μετέπειτα (ξ, 402.). τοῦτο γὰρ ταυτὸν τῷ εἴης καὶ γένοιο. Ambr. Q.

ἄνδρα γέροντα, δύῃ ἀρημένον, ἥ μιν ἱκάνει.
ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
αἴ κέν σ' οὗτος νικήσῃ, κρείσσων τε γένηται,
πέμψω σ' ἤπειρόνδε, βαλὼν ἐν νηῒ μελαίνῃ,
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,

βουγάϊε] *μεγάλως ἐπαιρόμενε, βοῶν ἔργα ποιῶν.* Vulg. *Ἀκουστέον, ὑπερμεγέθη ἔχων βόειαν ἀσπίδα, ἐπὶ τοῦ Αἴαντος, ὅταν λέγῃ, ὦ Αἶαν ἁμαρτοεπές, βουγάϊε* (Il. ν, 824.), *ὡς εἰ ἔλεγεν, ὁ γαίων ἐπὶ τῇ ἀσπίδι, ὡς, κύδεϊ γαίων* (Il. α, 405.). *ἐπὶ δὲ τοῦ Ἴρου χαριεντιζόμενός φησι διὰ τὸ μέγεθος, ὡς ὑπερμεγέθη ἀνέχοντος ἀσπίδα.* Ambr. Q. *Ἐπὶ μὲν τοῦ Αἴαντος, ἐπὶ τῇ βοῒ γαίων, ὅ ἐστι τῇ ἀσπίδι. νῦν δὲ χαριεντιζόμενος ἐπὶ τῷ γαυριῶντι τῇ ἀναισθησίᾳ φησί.* B. Q. *Βουγάϊος ἢ ὁ δυσκίνητος καὶ μὴ ποδώκης, ἀλλ' οἷον βοῦς τις πονῶν περὶ γῆν, ἢ ὁ ἐπὶ βοῒ ἤτοι ἀσπίδι γαίων. — ὅτι δέ, καθάπερ ὁ ἵππος, οὕτω δὴ καὶ ὁ βοῦς πολὺ μέγεθος παρεμφαίνει ἐν ταῖς συνθέσεσι, δηλοῖ καὶ ἡ βοῦ ἐπίτασις, ἣν ἐκ τοῦ ζώου τούτου εἰλῆφθαι λέγουσιν. ἐξ ἧς ἐπιτάσεως καὶ ἡ βούβρωστις, καὶ ἡ βούπεινα, καὶ ὁ βούλιμος, καὶ ὁ βουθοίνας, καὶ ὁ βούπαις. — ἐπιτυχὴς δὲ μάλιστα ἐν τοῖς ἑρμηνεῦσιν ὁ μεταλαβὼν τὸν βουγάϊον εἰς βόσκημα ἀναίσθητον. ὅτι δὲ καὶ εἰς ἀναισθησίας σκῶμμα λαμβάνεται ὁ βοῦς, δηλοῖ καὶ ὁ παρὰ Μενάνδρῳ βοΐδης, ὅ ἐστι πρᾶος, εὐήθης.* Eust. ad Il. ν, 824.

V. 81. *δύῃ ἀρημένον*] *Δύῃ ἀρημένον, παροξυτόνως δίκην παρακειμένου, ἢ προπαροξυτόνως ἀρήμενον, ὡς τὸ ἀκαχήμενον.* Eust. cf. v. 53. et ξ, 215.

V. 84. *ἤπειρόνδε*] *Λέγει καὶ νῦν Ἤπειρον χώραν ἰδίως οὕτω καλουμένην, ἀντιπέραν κειμένην Ἰθάκης, μεγάλην. ἀφ' ἧς καὶ Πύῤῥος ὁ Ἠπειρώτης ὕστερον, ἄρξας τῶν ἐκεῖ. ἧς μέρος παράλιον καὶ τὸ ἐν τοῖς ἑξῆς δηλωθησόμενον Νήρικον, ὅπερ ἐστὶν ἡ νῦν Λευκάς.* Id.

V. 85. *Ἔχετον*] *Ἔχετός φασι βασιλεὺς ἦν τῆς ῥηθείσης Ἠπείρου, υἱὸς Εὐχήνορος καὶ Φλογέας* (Ambr. Q. *Φληγυίας*), *ὠμὸς καὶ ἀπάνθρωπος. ὃς καὶ τὴν θυγατέρα Μετώπην ἢ καὶ Ἄμφισσαν ὑπό τινος Αἰχμοδίκου* (Ambr. *Αἰχμοδόκου*) *φθαρεῖσαν πηρώσας, ἠνάγκασεν ἀλήθειν κριθὰς σιδηρᾶς ποιηθείσας κελεύσει αὐτοῦ, εἰπὼν τηνικαῦτα τὰς ὄψεις ἀπολήψεσθαι, ὅτε τὰς τοιαύτας κριθὰς εἰς ἄλφιτον λεπτυνεῖ. καὶ τὴν μὲν θυγατέρα οὕτω μετῆλθε. τὸν δὲ Αἰχμόδικον ὡς ἐπὶ ἑστίασιν καλέσας ἠκρωτηρίασεν,*

ὅς κ' ἀπὸ ῥῖνα τάμῃσι καὶ οὔατα νηλέϊ χαλκῷ,
μήδεά τ' ἐξερύσας δώῃ κυσὶν ὠμὰ δάσασθαι.

ἀποκόψας καὶ τὰ αἰδοῖα. τέλος μέντοι ὑπερμανεὶς καὶ τῶν ἰδίων ἐμφορηθεὶς σαρκῶν ἀπέσβη φασίν. ὃ καὶ Λύσανδρος ἔπαθεν ἐν τοῖς ὕστερον, ὁ ἀποτόμως καταχορδεύσας ἑαυτόν. τινὲς δέ φασιν, Ἔχετον ἐπ' αὐτοῦ γενέσθαι τοῦ ποιητοῦ, καί τι πεπλημμεληκότα εἰς αὐτὸν τοιοῦτον ἱστορηθῆναι, ὡσανεὶ παλαιόν τινα ὄντα ἄδικον. ὃ καὶ ἐπὶ Θερσίτῃ ποιῆσαι λέγεται, κακῶς ἐπιτροπεύσαντι τῶν αὐτοῦ. ὧνπερ ἀνάπαλιν πεποίηκεν ἐπὶ Τυχίου καὶ Φημίου καὶ Μέντου καὶ Μέντορος. αὐτῶν γὰρ εὖ πεποιηκότων αὐτόν, ἐπ' ἀγαθοῖς μέμνηται, εἰς παλαιότητα χρόνου ἡρωϊκοῦ ἀνάγων αὐτούς. Eust. Ἔχετος ἦν μὲν υἱὸς Βουχέτου, ἀφ' οὗ καὶ ἐν Σικελίᾳ πόλις Βούχετος καλεῖται (ed. rec. Βουκέτου et Βούκετος). Σικελῶν δὲ τύραννος λέγεται. τοῦτον τοὺς μὲν ἐγχωρίους κατὰ πάντα τρόπον σίνεσθαι, τοὺς δὲ ξένους ἀναιρεῖν λωβώμενον. τοσαύτην δὲ κακίαν ἔχειν, ὡς καὶ τοὺς μακρὰν οἰκοῦντας, ὅτε θέλοιεν σφόδρα τινα τιμωρῆσαι καὶ ξένῳ περιβαλεῖν θανάτῳ, ἐκπέμπειν αὐτῷ. πολλὰς γὰρ μηχανὰς ἐξευρεῖν τοῦτον αἰκίας. ὅθεν τὸν λαὸν οὐχ ὑπομένειν τὴν πικρὰν ταύτην τυραννίδα, λίθοις δὲ αὐτὸν ἀνελεῖν. ἡ ἱστορία παρὰ Μνασέᾳ καὶ Μαρσύᾳ. Vulg. ad finem libri.

βασιλῆα] Ὅρα δὲ καὶ ὅτι τὸν Ἔχετον δέον τύραννον εἰπεῖν, ὁ δὲ βασιλέα εἶπεν. ἠγνοεῖτο γὰρ ἐπὶ Ὁμήρου ἡ τύραννος λέξις, ἣ καὶ ὕστερον εὑρεθεῖσα ἐπ' ἀγαθῷ ἐλέγετο. τοῖς γὰρ ἐννόμοις βασιλεῦσι κλῆσις ἦν καὶ αὕτη, ὡς δηλοῖ πρὸς μυρίοις ἄλλοις καὶ ὁ παρὰ Σοφοκλεῖ Οἰδίπους τύραννος. ἡ μέντοι μεταγενεστέρα χρῆσις διωρίσασα τοῖς ἀγαθοῖς μὲν βασιλεῦσιν ἀπεκλήρωσε τὸ πρεσβεῖον τῆς παλαιᾶς λέξεως τὸ βασιλεύς, καθὰ καὶ μάλιστα τὸ ἄναξ. τὸ δέ γε τυραννεῖν ἀποτάξασα τοῖς μὴ κατὰ νόμον ἄρχουσιν ἀπέῤῥιψε. Eust.

πάντων] Ἐν τῷ, βροτῶν δηλήμονα πάντων, ὑπερβολικῶς πάλιν κεῖται τὸ πάντων, ὡς καὶ ἐπ' ἄλλων ἐφάνη. δηλοῖ δὲ κἀνταῦθα ἡ λέξις μόνους τοὺς περιπίπτοντας ταῖς τοῦ Ἐχέτου χερσί. Id.

V. 86. τάμησι] κόψει. Vulg. Τό, ῥῖνα ταμεῖν καὶ οὔατα, τὸν ἀκρωτηριασμὸν δηλοῦσιν. ἁπλοῦν δὲ τοῦ ῥινοτομεῖν ἐστὶ τὸ ῥῖνα τέμνειν. Id.

V. 87. ἐξερύσας] ἐξελκύσας. Vulg.

δάσασθαι] Τό, ὠμὰ δάσασθαι, τὸν σπαραγμὸν δηλοῖ τῶν κυνῶν. δάσασθαι δὲ εἶπεν, ἐπεὶ τὸ μέτρον οὐκ ἐπιδέχεται εἰπεῖν

Ὣς φάτο· τῷ δ' ἔτι μᾶλλον ὑπὸ τρόμος ἔλλαβε γυῖα·
ἐς μέσσον δ' ἄναγον· τὼ δ' ἄμφω χεῖρας ἀνέσχον.
δὴ τότε μερμήριξε πολύτλας δῖος Ὀδυσσεύς,
ἢ ἐλάσει', ὥς μιν ψυχὴ λίποι αὖθι πεσόντα,
ἠέ μιν ἦκ' ἐλάσειε, τανύσσειέν τ' ἐπὶ γαίῃ.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
ἦκ' ἐλάσαι, ἵνα μή μιν ἐπιφρασσαίατ' Ἀχαιοί.
δὴ τότ' ἀνασχομένω, ὁ μὲν ἤλασε δεξιὸν ὦμον
Ἶρος, ὁ δ' αὐχέν' ἔλασσεν ὑπ' οὔατος, ὀστέα δ' εἴσω
ἔθλασεν· αὐτίκα δ' ἦλθε κατὰ στόμα φοίνιον αἷμα·
κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακών, σὺν δ' ἤλασ' ὀδόντας,

δαίσασθαι. δῆλον δὲ, ὡς ἀπὸ τοιούτου δάσασθαι καὶ ὁ δασμός. Eust.

V. 89. ἄναγον] Ἐν τῷ, ἐς μέσον ἄναγον, περιττὴ ἡ πρόθεσις. Ἰώνων δέ φασιν ἡ λέξις, κειμένη καὶ μετ' ὀλίγα ἐν τῷ, τάχα γάρ μιν ἀνάξομεν ἤπειρόνδε (v. 115.). τοιοῦτον καὶ ἐν Ἰλιάδι τό, εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγουσιν (Il. θ, 203.). Eust.

V. 91. ἐλάσει] πλήξει βαλών (Barn. ἐλάσειε. πλήξειε β.). Vulg. (Eust. ἢ ἐλάσει τουτέστι πλήξει.)

V. 94. ἵνα μή μιν ἐπιφρ. Ἀχαιοί] τεκμηράμενοι δηλαδὴ τὸν ἄνδρα ἐκ τῆς οὕτω βριαρᾶς ἐλάσεως. Eust.

V. 95. ἀνασχομένω] ἀνατείναντες. Vulg. Ὅτι ἀνασχεῖν καὶ ἐνταῦθα χεῖρας τὸ ἀνατεῖναι. φησὶ γοῦν, τὼ δ' ἀμφὶ (scr. ἄμφω. v. 89.) χεῖρας ἀνέσχον. ἦν δὲ τὸ αὐτὸ καὶ παθητικῶς εἰπεῖν, ἀνέσχοντο, ὡς δηλοῖ τό, δὴ τότ' ἀνασχόμενοι. Eust. Ἀνασχόμενοι. ἔστι δὲ ἀντὶ τοῦ, ἀνασχομένων (scr. ἀνασχομένω). Marg. Harl.

V. 97. φοίνιον] ἐρυθρόν, πυῤῥόν. Vulg.

V. 98. μακών] ἤγουν εἰς μῆκος, ὡς προδεδήλωται (v. κ, 163.), πεσών. ἢ ποιόν τι ἠχήσας, ὡς καὶ αὐτὸ προέγνωσται. Eust.

λακτίζων ποσὶ γαῖαν· ἀτὰρ μνηστῆρες ἀγαυοὶ
χεῖρας ἀνασχόμενοι γέλω ἔκθανον. αὐτὰρ Ὀδυσσεὺς
ἕλκε δι' ἐκ προθύροιο, λαβὼν ποδός, ὄφρ' ἵκετ' αὐλήν,
αἰθούσης τε θύρας· καί μιν ποτὶ ἑρκίον αὐλῆς
εἷσεν ἀνακλίνας· σκῆπτρον δέ οἱ ἔμβαλε χειρί,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἐνταυθοῖ νῦν ἧσο, σύας τε κύνας τ' ἀπερύκων,

μακών, ἐπὶ ἀνθρωπείας φωνῆς. Ambr. B. (Nempe alias de ovibus dicitur. v. Il. δ, 435. Od. ι, 439.) Ἡ Αἰολίς, χανών. Harl.

σὺν δ' ἤλασε] συνέκρουσε. Vulg. Ambr.

V. 100. γέλω ἔκθανον] (ed. ant. ἔκτανον) ἀπέθανον ὑπὸ γέλωτος. Vulg. Γέλω ἔθανον (Id. ad v. 35. ἔκθανον), ὡς οἷα λειποθυμήσαντες ἐκ τοῦ γελᾶν, ὃ καὶ μέχρι νῦν παροιμιακῶς ἐπὶ μεγάλου καὶ ἀθρόου γέλωτος ἐκράτησε λέγεσθαι. — Ἐν δὲ τῷ, γέλω ἔθανον, ἄδηλον εἴτε κατὰ ἰσοκατάληκτον κλίσιν ἡ δισυλλαβία τῷ γέλω, εἴτε καὶ κατὰ ἀποκοπὴν ἐκ τοῦ γέλωτι, ὅτε οὐδ' ἂν ἔχοι τῷ (scr. τὸ) ἰῶτα προςγεγραμμένον. ἡ δ' αὐτὴ ἀδηλία καὶ ἐπὶ τοῦ ἥρω ἀντὶ τοῦ ἥρωϊ, ὡς καὶ ἐν τῇ Ἰλιάδι φαίνεται (η, 453.). Eust. Mox Id. Δῆλον δὲ ὡς ἀφελῶς καὶ γλυκέως τὸ ἄγαν γελάσαι γέλω ἐκθανεῖν λέγεται, ἤγουν ἔξω καὶ ὡς εἰπεῖν ἐπιπολαίως θανεῖν καὶ οὐ κατὰ τὸ κυρίως θανεῖν, ὃ διὰ βάθους χωρεῖ.

V. 101. εἷλκε (ita etiam Eust.) δι' ἐκ προθύροιο] Διὰ τοῦ προθύρου τοῦ ἀνδρῶνος εἷλκεν αὐτόν, ἕως ὅτε κατέλαβε τὴν αὐλήν, ὅπου εἰσὶν αἱ θύραι τῆς αἰθούσης (B. αὐλῆς). Ambr. Q.

V. 102. ἕρκιον (Eust. ἑρκίον) αὐλῆς] εἰς τὸ περίφραγμα τῆς αὐλῆς, ἀντὶ τοῦ, τῷ περιεχομένῳ τόπῳ τῆς αὐλῆς. Ambr. B. Q.

V. 105. ἐνταυθοῖ] ἐνταῦθα, ἐν τούτῳ τῷ τόπῳ. Vulg. Τὸ ἐνταυθοῖ δοκεῖ Δωρικὸν εἶναι, εἰ καὶ παρ' Ἀττικοῖς τέτριπται. οὕτω δὲ καὶ τὸ ἐνταῦθα. ἔστι δὲ τοῦ μὲν ἐνταῦθα ὁ Δωρισμὸς ἁπλοῦς, διπλοῦς δὲ ὁ τοῦ ἐνταυθοῖ. — σημειοῦνται δὲ οἱ παλαιοί, ὡς τὸ μὲν ἐνταυθοῖ τὴν ἐν τόπῳ σημασίαν δηλοῖ, τὸ δὲ ἐνταῦθα καὶ τὴν ἐν τόπῳ καὶ τὴν εἰς τόπον. Eust.

μηδὲ σύγε ξείνων καὶ πτωχῶν κοίρανος εἶναι,
λυγρὸς ἐών· μή πού τι κακὸν καὶ μεῖζον ἐπαύρῃ.
Ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἀεικέα βάλλετο πήρην,
πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.
ἂψ δ' ὅγ' ἐπ' οὐδὸν ἰὼν κατ' ἄρ' ἕζετο· τοὶ δ' ἴσαν εἴσω
ἡδὺ γελώοντες, καὶ δεικανόωντ' ἐπέεσσιν·
Ζεύς τοι δοίη, ξεῖνε, καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
ὅ,ττι μάλιστ' ἐθέλεις, καί τοι φίλον ἔπλετο θυμῷ,
ὃς τοῦτον τὸν ἄναλτον ἀλητεύειν ἀπέπαυσας
ἐν δήμῳ· τάχα γάρ μιν ἀνάξομεν ἤπειρόνδε
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων.
Ὣς ἄρ' ἔφαν· χαῖρεν δὲ κλεηδόνι δῖος Ὀδυσσεύς.

ἀπερύκων] ἀποκωλύων. Vulg. ὡς οἷα δηλαδὴ πυλωρός. Eust.

V. 106. εἶναι] ἤγουν ἔσο ἢ θέλε εἶναι. Eust.

V. 107. ἐπαύρῃ] Ἀντὶ τοῦ εὕρῃς. Ambr. B. Q. cf. ad ρ, 81. Γρ. ἄλλο παθῃσθα. Harl.

V. 109. πυκνὰ — ἀορτήρ] v. ad ν, 438. ρ, 198.

V. 111. γελόωντες] γελῶντες. Vulg. δεικανόωντ' ἐπέεσσιν] ἤγουν ἐδεξιοῦντο, παρὰ τὸ δείκνυμι. Ms. Barn.

V. 114. ἄναλτον] ἀκόρεστον. (v. ad ρ, 228.) ἀλητεύειν] πλανᾶσθαι ἢ μεταιτεῖν. Vulg.

V. 115. ἀνάξομεν] ἀναχθῆναι ποιήσομεν. Ἀλλ. ἀπαγάγωμεν. Vulg. Οὗτοι (v. 115. 116.) οἱ β' ἐκ τῶν ἄνωθεν (v. 84. 85.) μετήχθησαν. Harl.

V. 117. κλεηδόνι] κληδόνι, φήμῃ. Vulg. Χαῖρε δὲ κλεηδόνι δῖος Ὀδυσσεύς, φήμην δηλαδὴ τὸν λόγον δεξάμενος, ὅ ἐστι μαντείαν τινά. ἐπὶ τοιαύτης γὰρ σημασίας, καθάπερ ἡ ὄσσα καὶ ἡ ὀμφή, οὕτω καὶ ἡ κληδὼν καὶ ἡ φήμη, θεία τις καὶ αὐτὴ λέξις

Ἀντίνοος δ' ἄρα οἱ μεγάλην παρὰ γαστέρα θῆκεν,
ἐμπλείην κνίσσης τε καὶ αἵματος· Ἀμφίνομος δὲ
ἄρτους ἐκ κανέοιο δύω παρέθηκεν ἀείρας,
καὶ δέπαϊ χρυσέῳ δειδίσκετο, φώνησέν τε·
Χαῖρε, πάτερ ὦ ξεῖνε! γενοιτό τοι ἔς περ ὀπίσσω
ὄλβος; ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι πολέεσσιν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀμφίνομ', ἦ μάλα μοι δοκέεις πεπνυμένος εἶναι·
τοίου γὰρ καὶ πατρός· ἐπεὶ κλέος ἐσθλὸν ἄκουον,
Νῖσον Δουλιχιῆα ἐΰν τ' ἔμεν ἀφνειόν τε·
τοῦ σ' ἔκ φασι γενέσθαι· ἐπητῇ δ' ἀνδρὶ ἔοικας.

οὖσα. οὐ μὴν καὶ ἡ φῆμις. ἐκείνη γὰρ λαλιὰν ἁπλῶς ἀνθρωπίνην δηλοῖ, οἷον, δήμιοό τε φῆμιν (v. ad ο, 468.) — Κλεηδὼν δὲ ἀπὸ τοῦ κλέω τὸ φημίζω, καθάπερ ἀπὸ τοῦ κλήζω δισυλλάβου ἡ κληδών. εἰ δὲ καὶ τραπείη κατ' ἔκτασιν ἡ κλεηδὼν ἐν τῇ ἀρχούσῃ, κληηδὼν γίνεται (v. ad δ, 317.). Eust. cf. υ, 120.

V. 118. ἐμπλείην] πεπληρωμένην. Vulg.

V. 122. ἔς περ ὀπίσσω] εἰς τὰ μετὰ ταῦτα. Vulg., ἤγουν ἐςύστερον καὶ εἰς τὸ μέλλον. — Τὸ δέ, ἔς περ ὀπίσω, γράφεται καί, ὥςπερ ὀπίσω (scr. ὀπίσσω). καὶ ἔχει καὶ τοῦτο τὴν αὐτὴν ἔννοιαν, ὡς ἰσοδυναμοῦντος τοῦ ὡς τῇ ἐς προθέσει. Eust.

V. 123. ἔχεαι] ἔχῃ, κατέχῃ. Vulg.

V. 127. Δουλιχιῆα] τὸν ἀπὸ Δουλιχίου. Id. Σημείωσαι δὲ τὸ ἐΰν, πρωτότυπον ὂν τοῦ, ἠΰν τε μέγιν τε. ἐκεῖνο γὰρ ἀπὸ ἐκτάσεως ἔχει ἐν τῇ ἀρχούσῃ τὸ η. Eust.

V. 128. ἐπητῇ] δεινῷ εἰπεῖν, ἢ λογίῳ, παρὰ τὰ ἔπη. Vulg. Τοῦ ἐπητῇ εὐθεῖα ὀξύτονος ὁ ἐπητής, ὅπερ οἱ ὕστερον βαρύνουσι. δηλοῖ δὲ τὸν δεινὸν εἰπεῖν καὶ λόγιον. εἰ δὲ καινόν τι τοῖς ἄρτι δοκεῖ τὸ ἐπητὴς ὀξυνόμενον, ἔστιν ἐνθυμηθῆναι καὶ ἕτερα οὐχ ὅμοια τῇ ὑστέρᾳ χρήσει. οἷον καὶ τὸ ἐρῆμον, καὶ τὸ τροπαῖον, ἀρχαῖα ὀνόματα, οἷς ἄλλως προπαροξυτόνως οἱ νῦν χρώμεθα. Eust. ἐπαιτῇ. περισπωμένως, ἀντὶ τοῦ, λογίῳ.

τοὔνεκά τοι ἐρέω· σὺ δὲ σύνθεο, καί μευ ἄκουσον·
οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο,
πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
οὐ μὲν γάρ ποτέ φησι κακὸν πείσεσθαι ὀπίσσω,
ὄφρ' ἀρετὴν παρέχωσι θεοί, καὶ γούνατ' ὀρώρῃ·
ἀλλ' ὅτε δὴ καὶ λυγρὰ θεοὶ μάκαρες τελέσωσιν,

Ambr. B. Q. Ἐπητῇ. λογίῳ, παρὰ τὰ ἔπη. Apollon. cit. n. l. cf. ad ν, 332. et φ, 306.

V. 130. ἀκιδνότερον] ὑπομονητικώτερον. Ambr. B. Q. Ἐν τῷ, οὐδὲν ἀκιδνότερον, Ζηνόδοτος μὲν ἔγραψεν οὐθέν διὰ τοῦ θ. τινὲς δὲ ἀντειπόντες αὐτῷ διὰ τὸ δοκεῖν διαφορὰν εἶναι τοῦ οὐδὲν καὶ οὐθέν, ἀπέδειξαν γενναῖον οὐδέν. ἀρέσκει δὲ τοῖς παλαιοῖς ἡ μετάθεσις τοῦ θ καὶ τοῦ δ εἰς ἄλληλα Αἰολέων εἶναι, οἷον τὸ οὐδὲν οὐθέν, ἐξουδενῶ ἐξουθενῶ, μήδω μήθω, δάσος θάσος. Ἀκιδνότερον δὲ ἢ τὸ ἀσθενέστερον καὶ εὐτελέστερον κατὰ τοὺς γλωσσογράφους, καθ' οὓς καὶ ὑπερβολικῶς εἴρηται τὸ μηδὲν ἀκιδνότερον εἶναι ἀνθρώπου. ἢ μᾶλλον, ὑπομενετικώτερον, φερεπονώτερον, παρὰ τὸ μὴ κίδνασθαι ἤτοι χωρίζεσθαι καὶ πόῤῥω γίνεσθαι τοῦ ἐπισυμβαίνοντος. ὅτι δέ τινες καὶ παρὰ τὸ αἰκίζω τὴν λέξιν παράγουσιν, ἐν τοῖς φθάσασι δεδήλωται (v. ad θ, 169.). Eust.

V. 131. ἕρπει] Ἕρπειν ἁπλῶς ἐνταῦθα τὸ βαδίζειν φησίν. Id.

V. 132. πείσεσθαι] ὑπομεῖναι. Vulg. οἷα τῆς ἀγαθῆς ἐλπίδος ἐπαγομένης αὐτόν. Eust.

V. 133. ὄφρ' ἀρετὴν παρέχωσι] Νῦν, τοῖς ἀγαθοῖς παρέχουσιν εὐδαιμονίαν. ὁμοίως τῷ, ἀρετῶσι δὲ λαοί (τ, 114.). Vulg. Ambr. Ἀρετὴν τὴν εὐδαιμονίαν λέγει καὶ εὐθηνίαν τοῦ βίου (v. ad ν, 45.), ἣν ἔχων ἄνθρωπος λέγει μὴ ἂν ἀνέξεσθαι, εἴ τί που καὶ πάθοι κακόν. ἀλλ' ὅτ' ἂν καὶ αὐτὸ πάθοι, φέρει ἀεκαζόμενος, τουτέστιν ἀέκων. ὧν θέμα πρωτότυπον τὸ ἀέκω. Eust. (cf. ν, 277.)

V. 134. τελέσωσι (ed. ant. τελέουσι)] ποιοῦσιν, ἐπιφέρουσιν. Vulg. (Eust. liberius excitat: ἀλλ' ὅτε δὴ καὶ λυγρὰ θεὸς τελέσει.

καὶ τὰ φέρει ἀεκαζόμενος τετληότι θυμῷ.
τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε.
καὶ γὰρ ἐγώ ποτ' ἔμελλον ἐν ἀνδράσιν ὄλβιος εἶναι,
πολλὰ δ' ἀτάσθαλ' ἔρεξα, βίῃ καὶ κάρτεϊ εἴκων,
πατρί τ' ἐμῷ πίσυνος καὶ ἐμοῖσι κασιγνήτοισιν.
τῷ μήτις ποτὲ πάμπαν ἀνὴρ ἀθεμίστιος εἴη,
ἀλλ' ὅγε σιγῇ δῶρα θεῶν ἔχοι, ὅ,ττι διδοῖεν.

V. 135. φέρει] ὑποφέρει. ἀεκαζόμενος] μὴ θέλων. Vulg. v. ad v. 133.

V. 136. τοῖος γὰρ νόος — ἀνθρώπων] τουτέστιν, ὁποῖα ἂν εἴη τὰ προςπίπτοντα, τοιοῦτός ἐστι καὶ ὁ νοῦς, ἐν εὐτυχίαις συνεξαιρόμενος, ἐν δὲ τοῖς ἀνάπαλιν ταπεινούμενος, καὶ ὅλως τοῖς πράγμασι συνεξομοιούμενος, καὶ πρὸς τὰ παραπίπτοντα σχηματιζόμενος. καὶ οὕτω μὲν τὴν γνώμην ἑρμηνεῦσαι καλόν. εἰπεῖν δὲ ὅτι κατὰ τὸ κατάστημα τῶν περὶ τὸν Δία ἤτοι αἰθέρα διατελεῖται καὶ ἡ καθ' ἀνθρώπους ἡμέρα ἡ κατὰ βίον, ἢ καὶ ὅτι πρὸς τὰς ἡλιακὰς ἡμέρας βιοῦμεν, ὁποῖόν τι καὶ τὸ τοῦ Ὀρφέως καὶ Ἡσιόδου περὶ ἡμερῶν, παλαιὸν μὲν καὶ αὐτό, ἀλλοῖον δέ τι παρὰ τὰ δοκοῦντα κοινῶς. Eust. Οἱ μὲν φιλόσοφοι ἐκδέχονται, ὅτι οἷον ἂν ᾖ τὸ κατάστημα τοῦ ἀέρος, τοιαύτην καὶ τὴν ἡμέραν διατελοῦσιν οἱ ἄνθρωποι, ὁ δὲ ποιητὴς λέγει, ὁποῖα ἂν ᾖ τὰ προςπίπτοντα, τούτοις ἐξομοιούμεθα. Vulg.

V. 138. ἔμελλον] ἐῴκειν, ἐνομιζόμην (ἐδόκουν Ambr. Q.). Vulg.

V. 139. ἔρεξα] Τὸ ἔρεξα δι' ἑνὸς ἐκφέρεται ῥῶ κοινῶς, οὐ μὴν Ἀττικῶς. Eust. Ὁ λόγος ἀνδρὸς μεταμελομένου ἐφ' οἷς ποτε πεπλημμέληκεν. Id.

V. 140. πατρί τ' ἐμῷ πίσυνος] θαῤῥῶν τῇ προστασίᾳ τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν. Ambr. Q.

V. 142. ἀλλ' ὅγε σιγῇ] ἡσυχῇ, ἐγκρατῶς, μήτε ἐπαιρόμενος, μήτε ἄγαν ὀδυρόμενος. Δῶρα δὲ θεῶν, ἁπλῶς τὰ διδόμενα ὁποῖα τύχῃ ὄντα. Ambr. B. Σιγὴν τὴν ἁπλῶς ἠρεμίαν καὶ τὸ ἐντεῦθεν πρᾷον δηλοῖ. Eust.

οἳ ὁρόω μνηστῆρας ἀτάσθαλα μηχανόωντας,
κτήματα κείροντας, καὶ ἀτιμάζοντας ἄκοιτιν
ἀνδρός, ὃν οὐκέτι φημὶ φίλων καὶ πατρίδος αἴης
δηρὸν ἀπέσσεσθαι· μάλα δὲ σχεδόν! ἀλλά σε δαίμων
οἴκαδ' ὑπεξαγάγοι, μηδ' ἀντιάσειας ἐκείνῳ,
ὁππότε νοστήσειε φίλην ἐς πατρίδα γαῖαν.
οὐ γὰρ ἀναιμωτί γε διακρινέεσθαι ὀΐω
μνηστῆρας καὶ κεῖνον, ἐπεί κε μέλαθρον ὑπέλθῃ.
Ὣς φάτο· καὶ σπείσας ἔπιεν μελιηδέα οἶνον·
ἂψ δ' ἐν χερσὶν ἔθηκε δέπας κοσμήτορι λαῶν.
αὐτὰρ ὁ βῆ διὰ δῶμα, φίλον τετιημένος ἦτορ,
νευστάζων κεφαλῇ· δὴ γὰρ κακὸν ὄσσετο θυμός.
ἀλλ' οὐδ' ὧς φύγε Κῆρα· πέδησε δὲ καὶ τὸν Ἀθήνη,
Τηλεμάχου ὑπὸ χερσὶ καὶ ἔγχεϊ ἶφι δαμῆναι.
ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη.

ὅ,ττι διδοῖεν] Τό, ὅτι διδοῖεν, κατέλευσίς ἐστι συνήθης τῷ ποιητῇ ἐκ πληθυντικοῦ εἰς ἑνικόν. Eust.

V. 143. μηχανόωντας] ἐπινοοῦντας. Vulg. Ὅρα τὸ μηχανόωντας ἐνεργητικῶς λεχθέν. τὸ μέντοι ῥῆμα παθητικῶς ἀεὶ ἐκφωνεῖσθαι εἴωθεν, ὡς δηλοῖ τὸ μηχανάασθαι (γ, 213. π, 93.), καὶ τό, κακὰ μηχανόωνται (π, 134. ρ, 499.). Eust.

V. 147. ἀντιάσειας] συναντήσειας. Vulg.

V. 149. ἀναιμωτεί] ἄνευ αἵματος. Ms. Barn. (ἀναιμωτί Eust.)

V. 150. ὑπέλθῃ] Τό, ὑπέλθοι μέλαθρον, ἀντὶ τοῦ, εἰσέλθοι, κεῖται. καὶ δοκεῖ καιριώτερον εἶναι τὸ ὑπέλθοι τοῦ εἰσέλθοι. Eust. (Cod. Vind. 133. ὑπέλθει, vitiose pro ὑπέλθοι.)

V. 152. κοσμήτορι λαῶν] τῷ Ἀμφινόμῳ δηλαδή. Eust.

V. 154. ὄσσετο] προεμηνύετο. Ambr. Q.

Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη,
κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ,
μνηστήρεσσι φανῆναι, ὅπως πετάσειε μάλιστα
θυμὸν μνηστήρων, ἰδὲ τιμήεσσα γένοιτο
μᾶλλον πρὸς πόσιός τε καὶ υἱέος, ἢ πάρος ἦεν.
ἀχρεῖον δ' ἐγέλασσεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Εὐρυνόμη, θυμός μοι ἐέλδεται, οὔτι πάρος γε,

V. 160. *πετάσειεν*] ἐκπλήξειεν. οὐκ ἀλαζονικῶς δὲ πρόσεισιν ἡ Πηνελόπη, ἀλλ' ὅπως μὴ βιασθῇ, προνοουμένη, καὶ ἐλπιδοποιοῦσα τῷ δοκεῖν τινι συνοικῆσαι. Vulg. ἀναστήσει πρὸς ἐπιθυμίαν. Ambr. B. Γρ. θέλξειε. Vind. 50. 56. Ἰστέον ὅτι τό, πετάσειε θυμὸν μνηστήρων, ἀντὶ τοῦ, διαχέοι, ἐκ μεταφορᾶς ἐῤῥέθη τῶν διαπεταννυμένων σωμάτων. ὅθεν καὶ πόρων διαπέτεια παρὰ τοῖς σοφοῖς. ἵνα λέγῃ, ὅτι τοῖς μνηστῆρσιν αἱ ψυχαὶ συγκεχυμέναι καὶ οἷον πεπιλημέναι διὰ τὸ δύσελπι, ὅμως διεπετάννυντο, ἡνίκα τὴν ἐρωμένην ἔβλεπον. καὶ ἄλλως δὲ τὸ πετάσειεν ἐκ μεταφορᾶς τῶν πετομένων, ἀντὶ τοῦ, κούφους καὶ μετεώρους ταῖς ἐλπίσι ποιήσειε. Eust.

V. 162. *μᾶλλον πρὸς πόσιος*] Ἵν' ἐκπλαγεὶς τῷ κάλλει αὐτῆς Ὀδυσσεὺς μᾶλλον κατὰ τῶν μνηστήρων ἐπιῤῥωσθείη. Ambr. B. Q.

V. 163. *ἀχρεῖον*] οἷον, οὐκ ἐκ σπουδῆς. Vulg. ἄκαιρον, μηδενὸς προκειμένου, ἀχρειῶδες, οὐδὲ πρὸς χρείαν ἁρμοζόμενον. Ambr. Τό, ἀχρεῖον ἐγέλασεν, ἀντὶ τοῦ, ἄκαιρον καὶ πρὸς οὐδεμίαν χρείαν. Ἀττικοὶ δέ φασι τὴν λέξιν ταύτην προπαροξύνουσιν, ἄχρειον λέγοντες. Αἰδοῦς δὲ τὸ τοιοῦτον ἄρτι γέλασμα καὶ ὡς οἷον ἐπικρίσεως τοῦ μὴ πάνυ ἀναγκαῖον εἶναι τὸ νῦν ἔργον, ἀλλὰ ἀφελέστερον. Eust. *Ἀχρεῖον δ' ἐγέλασεν.* εἰς οὐδεμίαν ἀξίαν, ἐξ οὗ τὴν οὐκ ἀπὸ γνώμης γελῶσαν. Apollon. (Hesych. τὴν μὴ ἀπὸ γνώμης γελῶσαν δηλοῖ.) ἐπίπλαστον καὶ ἐπιπόλαιον, μέχρι τοῦ τὰ χείλη διανοίγειν. Etymol. M. cf. Il. β, 299.

V. 164. *οὔτι πάρος γε*] ἤγουν, οὐκ ἐκ πολλοῦ. Eust.

μνηστήρεσσι φανῆναι, ἀπεχθομένοισί περ ἔμπης·
παιδὶ δέ κεν εἴποιμι ἔπος, τό κε κέρδιον εἴη,
μὴ πάντα μνηστῆρσιν ὑπερφιάλοισιν ὁμιλεῖν,
οἵτ' εὖ μὲν βάζουσι, κακῶς δ' ὄπιθεν φρονέουσιν.
Τὴν δ' αὖτ' Εὐρυνόμη ταμίη πρὸς μῦθον ἔειπεν·
ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες.
ἀλλ' ἴθι, καὶ σῷ παιδὶ ἔπος φάο, μηδ' ἐπίκευθε,
χρῶτ' ἀπονιψαμένη, καὶ ἐπιχρίσασα παρειάς·
μηδ' οὕτω δακρύοισι πεφυρμένη ἀμφὶ πρόσωπα
ἔρχευ· ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί.
ἤδη μὲν γάρ τοι παῖς τηλίκος, ὃν σὺ μάλιστα
ἠρῶ ἀθανάτοισι γενειήσαντα ἰδέσθαι.

V. 167. ὁμιλεῖν] Vulg. ed. ant. ἐπαινεῖν. συντίθεσθαι. Utrumque verbum explicationem v. ὁμιλεῖν existimat Buttmann.

V. 168. βάζουσι] εἰς κενὸν λαλοῦσι. Ambr. Q.

φρονέουσιν] βουλεύονται, ἐννοοῦσι. Vulg.

V. 172. ἐπιχρίσασα παρειάς] ἐλαίῳ λιτῷ ἢ σκευαστῷ. Ambr. B.

V. 173. δακρ. πεφυρμένη] ἀντὶ τοῦ, ἠχρειωμένη. καὶ ἔχεταί πως ἡ λέξις τοῦ, χείλεα φύρσω αἵματος (v. 21.). Eust. cf. τ, 397.

πρόςωπα] Τὰ πρόσωπα πληθυντικῶς ἔφη διὰ τὴν κατ' αὐτὰ διάχυσιν καὶ τὴν ἐντεῦθεν διαπέτειαν (coll. Il. η, 212.). Eust.

V. 174. πενθήμεναι] πενθεῖν, θρηνεῖν. Vulg. Τοῦ πενθήμεναι τὸ κοινόν, πενθῆναι, ὡς ἀπὸ τοῦ πένθημι, ὡς κίχημι κιχῆναι. ἢ καὶ ἀπὸ τοῦ πενθῶ πενθαίνω, ὁποῖον καὶ τὸ ὀνομαίνειν καὶ φοραίνειν, ἐξ ὧν ὀνομῆναι καὶ φορῆναι. Eust.

ἄκριτον] ἀδιαλείπτως. ἢ πολύ, διηνεκῶς. Vulg.

V. 175. τηλίκος] Τοῦ τηλίκος ἑρμηνεία τό, γενειήσαντα ἰδέσθαι, ὃ τελειότητος δεῖγμα, καθ' ἣν χρησιμεύοι ἂν παῖς μη-

Τὴν δ' αὖτε προςέειπε περίφρων Πηνελόπεια·
Εὐρυνόμη, μὴ ταῦτα παραύδα, κηδομένη περ,
χρῶτ' ἀπονίπτεσθαι, καὶ ἐπιχρίεσθαι ἀλοιφῇ·
ἀγλαΐην γὰρ ἔμοιγε θεοί, τοὶ Ὄλυμπον ἔχουσιν,
ὤλεσαν, ἐξ οὗ κεῖνος ἔβη κοίλης ἐνὶ νηυσίν.
ἀλλά μοι Αὐτονόην τε καὶ Ἱπποδάμειαν ἄνωχθι
ἐλθέμεν, ὄφρα κέ μοι παρστήετον ἐν μεγάροισιν·
οἴη δ' οὐκ εἴςειμι μετ' ἀνέρας· αἰδέομαι γάρ.
Ὣς ἄρ' ἔφη· γρηῢς δὲ δι' ἐκ μεγάροιο βεβήκει,
ἀγγελέουσα γυναιξί, καὶ ὀτρυνέουσα νέεσθαι.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
κούρῃ Ἰκαρίοιο κατὰ γλυκὺν ὕπνον ἔχευεν.
εὗδε δ' ἀνακλινθεῖσα· λύθεν δέ οἱ ἅψεα πάντα

τρί. εἰ δὲ ἀρᾶται γενειήσαντα ἰδέσθαι παῖδα μητρί, πολυήρατον ἄρα καὶ τὴν τοιαύτην ἡλικίαν ἔστιν εἰπεῖν (ο, 365.). Eust.

ἠρῶ] ηὗχον. Vulg. Γρ. ἦρω. Vind. 133.

V. 179. ἀλοιφῇ] ἐλαίῳ. Vulg. Harl.

V. 180. ἀγλαΐην] τὸ κάλλος. Vulg.

V. 183. ὄφρα κέ μοι] Vind. 133. ὄφρ' ἂν ἐμοί παραστήετον.

V. 184. οὐκ εἴςειμι] Harl. οὐ κεῖσ' εἶμι. Schol. Τὸ πλῆρες, ἐκεῖσε εἶμι. τινὲς δέ, εἴςειμ'. ἄμεινον δὲ τὸ πρῶτον. Mox Vind. 133. addit versum: μίσγεσθαι μνηστῆρσιν ὑπερφιάλοισιν ἀνάγκῃ.

V. 186. ἀγγελέουσα] (ed. ant. ἀλέξουσα) λέξουσα. Vulg. νέεσθαι] Γρ. ἔσεσθαι. Harl.

V. 189. λύθεν δέ οἱ ἅψεα] Τό, λύθεν δέ οἱ ἅψεα, λυσιμελῆ δηλοῖ τὸν ὕπνον ἐξεῖναι λέγεσθαι, (v. υ, 57. ψ, 343.) μὴ μόνον καθότι λύει μελεδήματα θυμοῦ, ὡς ἀλλαχόθι λέγει ὁ ποιητής (υ, 56.), ἀλλὰ καὶ κατὰ τὸ λύειν τὰ μέλη, ὅπερ ἐστὶν ἅψεα. Eust. v. ad δ, 794.

αὐτοῦ ἐνὶ κλιντῆρι· τέως δ' ἄρα δῖα θεάων
ἄμβροτα δῶρα δίδου, ἵνα μιν θησαίατ' Ἀχαιοί.
κάλλεϊ μέν οἱ πρῶτα προςώπατα καλὰ κάθηρεν
ἀμβροσίῳ, οἵῳ περ ἐϋστέφανος Κυθέρεια
χρίεται, εὖτ' ἂν ἴῃ Χαρίτων χορὸν ἱμερόεντα·
καί μιν μακροτέρην καὶ πάσσονα θῆκεν ἰδέσθαι·
λευκοτέρην δ' ἄρα μιν θῆκε πριστοῦ ἐλέφαντος.

V. 190. κλιντῆρι] τῇ κλίνῃ. Vulg. Ὁ κλιντὴρ θρόνου εἶδος καὶ αὐτός, περὶ ὃν ἔστιν ἀνακλινθῆναι, ὡς δηλοῖ τό, εὗδε δ' ἀνακλινθεῖσα. ὃ καὶ ἐτυμολογικὸς τρόπος ἐστί. Eust.

V. 192. κάλλεϊ] Μυθικῶς θείῳ τινὶ χρίσματι. Ambr. Q. Νῦν, τὰ μύρα (αἰνίττεται. κάλλος γὰρ τὸ τῆς Ἀφροδίτης μύρον, ex Hesych. addidit Barnes.). Vulg. Τὸ κάλλος θεῖόν τι ὑγρὸν ἡ ποίησις πλάττει, ὥς που λέγει καὶ ἡ Ἰλιάς (v. Il. γ, 392.). ἦν δὲ τῷ τοιούτῳ μυθικῶς καὶ νίπτεσθαι, ὡς δηλοῖ τό, πρόςωπα καλὰ κάθηρε, τὰ τῷ κάλλει παρωνυμούμενα, ἔτι δὲ καὶ χρίεσθαι. Ἀφροδίτη γὰρ αὐτῷ χρίεται. ἔστι δὲ κάλλος τοιοῦτον ἀμβρόσιον ἀλληγορικῶς ἡ ἐπιπολάζουσα κατὰ πρόςωπον φυσικὴ καλλονὴ καὶ εὐπρέπεια. Eust.

κάθηρεν] ἔχρισεν, ἤλειψεν. Vulg.

V. 193. Κυθέρεια] ἡ Ἀφροδίτη. Id. ἢ ἀπὸ τοῦ κεύθειν ἢ ἀπὸ τοῦ κύειν ἔρωτα. Ambr. B.

V. 194. ἱμερόεντα] Γρ. ἐρόεντα (fort. εἰς ἐρόεντα). Vind. 56.

V. 195. καί μιν — ἰδέσθαι] Τὸ μακρότερον καὶ πάσσον τοῦ σώματος καὶ ἐπὶ τῷ Ὀδυσσεῖ φθάσασα ἐνήργησεν ἡ τοῦ μύθου Ἀθηνᾶ ἐν ἑτέρῳ τε τόπῳ (ζ, 230. θ, 20.), καὶ πρὸ ὀλίγων, ὅτε αὐτῷ πυγμαχήσοντι μέλεα ἤλδανε (v. 70.). οὕτω δέ πως καὶ ὁ τοῦ μύθου Ζεὺς ἐν Ἰλιάδι τὸν βασιλέα ἐσέμνυνεν ἐκπρεπέα τε καὶ ἔξοχον ἐν τοῖς τότε ποιήσας (Il. β, 483.), οὐχ ἁπλῶς, ἀλλὰ περί τινα μίαν ἡμέραν. Eust.

V. 196. πριστοῦ] Πριστὸς ἐλέφας, τὸ ἐλεφάντινον ὀστοῦν, πρὸς διαστολὴν τοῦ ζώου. ἐκεῖνο μὲν γὰρ μέλαν ἐπιφαίνεται, καθὰ δηλοῖ καὶ ὁ εἰπὼν αὐτὸν Ἰνδὸν θῆρα κελαινόῤῥιον (scr. κελαινόρινον. Oppian. Halieut. 5, 18.) Eust.

ἡ μὲν ἄρ' ὣς ἔρξασ' ἀπεβήσατο δῖα θεάων.
Ἦλθον δ' ἀμφίπολοι λευκώλενοι ἐκ μεγάροιο,
φθόγγῳ ἐπερχόμεναι· τὴν δὲ γλυκὺς ὕπνος ἀνῆκεν,
καί ῥ' ἀπομόρξατο χερσὶ παρειάς, φώνησέν τε·
Ἦ με μάλ' αἰνοπαθῆ μαλακὸν περὶ κῶμ' ἐκάλυψεν·
αἴθε μοι ὣς μαλακὸν θάνατον πόροι Ἄρτεμις ἁγνή,
αὐτίκα νῦν, ἵνα μηκέτ' ὀδυρομένη κατὰ θυμὸν
αἰῶνα φθινύθω, πόσιος ποθέουσα φίλοιο
παντοίην ἀρετήν· ἐπεὶ ἔξοχος ἦεν Ἀχαιῶν.
Ὣς φαμένη, κατέβαιν' ὑπερώϊα σιγαλόεντα,
οὐκ οἴη· ἅμα τῇγε καὶ ἀμφίπολοι δύ' ἕποντο.
ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,
ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα·
ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη.
τῶν δ' αὐτοῦ λύτο γούνατ', ἔρῳ δ' ἄρα θυμὸν ἔθελχθεν·

V. 197. *δῖα θεάων*] Ζηνόδοτος γράφει, δῖ' Ἀφροδίτη. Vind. 133.

V. 199. *φθόγγῳ ἐπερχόμεναι*] μετὰ φωνῆς ἐπιοῦσαι. Vulg. σὺν φθόγγῳ οὐ σιωπῇ βαδίζουσαι πρὸς αὐτήν. Ambr. B.

V. 201. *αἰνοπαθῆ*] δεινοπαθῆ. *κῶμα*] ὕπνος. Vulg. *Κῶμα.* κοίμισμα, ὕπνος ληθώδης, καταφορὰ ὕπνου βαθέος. Hesych. Σημείωσαι ὅτι ὥςπερ ζῶ ζῶμα, βρῶ βρῶμα, τρῶ τρῶμα Ἰωνικῶς ἡ βλάβη, οὕτω καὶ κῶ κῶμα ὁ ὕπνος. Eust.

V. 204. *φθινύθω*] φθείρω. Vulg.

V. 212. *ἔρῳ*] ἔρωτι. (cf. γέλω. v. 100.) Vulg. Τὸ ἔρῳ δοκεῖ Αἰολικὸν εἶναι ἀπὸ εὐθείας τῆς ὁ ἔρος, οὗ χρῆσις ἅπαξ ἐν Ἰλιάδι (ξ, 315.), καὶ ἅπαξ ἐν θεογονίᾳ (v. 120.). ὅθεν καὶ αἵ-

πάντες δ' ἠρήσαντο παραὶ λεχέεσσι κλιθῆναι.
ἡ δ' αὖ Τηλέμαχον προςεφώνεεν, ὃν φίλον υἱόν·
Τηλέμαχ', οὐκέτι τοι φρένες ἔμπεδοι, οὐδὲ νόημα·
παῖς ἔτ' ἐὼν, καὶ μᾶλλον ἐνὶ φρεσὶ κέρδε' ἐνώμας·
νῦν δ', ὅτε δὴ μέγας ἐσσί, καὶ ἥβης μέτρον ἱκάνεις,
καί κέν τις φαίη, γόνον ἔμμεναι ὀλβίου ἀνδρός,
ἐς μέγεθος καὶ κάλλος ὁρώμενος, ἀλλότριος φώς,
οὐκέτι τοι φρένες εἰσὶν ἐναίσιμοι, οὐδὲ νόημα.
οἷον δὴ τόδε ἔργον ἐνὶ μεγάροισιν ἐτύχθη,
ὃς τὸν ξεῖνον ἔασας ἀεικισθήμεναι οὕτω!
πῶς νῦν; εἴ τι ξεῖνος, ἐν ἡμετέροισι δόμοισιν
ἥμενος, ὧδε πάθοι ῥυστακτύος ἐξ ἀλεγεινῆς,

τιατικὴ τό, ἐξ ἔρον ἕντο. ἠδύνατο δὲ καὶ ἐκ τοῦ ἔρως ἔρωτος ἔρωτι ἀποκεκόφθαι, καθ' ὁμοιότητα τοῦ, γέλω ἔκθανον. ἀλλ' οὐ δοκεῖ γνωστὸν Ὁμήρῳ εἶναι τὸ ἔρως ἔρωτος, Eust. ἔθελχθεν] ἠλλοιώθησαν. Vulg. Γράφεται, ἔρως δ' ἄρα θυμὸν ἔθελγεν. Ambr. B.

V. 216. κέρδεα] συνέσεις. Vulg. Κέρδεα νῦν τὰ βουλεύματα. Ambr. B.

ἐνώμας] ἐκίνεις, ἀντὶ τοῦ, ἐνενόεις. Vulg. cf. ν, 255.

V. 217. νῦν δ' ὅτε] Τὸ ἑξῆς, νῦν δ' ὅτε δὴ μέγας ἐσσί, οὐκέτι φρένες εἰσίν, ὡς (scr. ὃς) τὸν ξεῖνον ἔασας. Ambr. B. Q.

ἥβης μέτρον] τὸ ἀκμαῖον τῆς ἡλικίας. Id. cf. ν, 101.

V. 221. οἷον δή] Θαυμαστικῶς τό, οἷον δή. Ambr. B.

V. 222. ἀεικισθήμεναι] αἰκισθῆναι, ὑβρισθῆναι. Vulg.

V. 223. εἴ τι ξεῖνος] Εἴ τι ξεῖνος ἢ εἴ τις ξεῖνος. ἀμφοτέρως γὰρ γράφεται. Eust. In interpret. Schol. Ambr. est: ἐάν τι ὁ ξεῖνος.

V. 224. ῥυστακτύος] ἑλκυσμοῦ, αἰκίας. Vulg. Ῥυστακτύς, ἡ αἰκία, ὁ βίαιος ἑλκυσμός· οὗ τὸ ῥῆμα ῥυστάζειν ἐλέχθη πρὸ τούτων (v. π, 109.). Eust.

σοί κ' αἶσχος λώβη τε μετ' ἀνθρώποισι πέλοιτο.
Τὴν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
μῆτερ ἐμή, τὸ μὲν οὔ σε νεμεσσῶμαι κεχολῶσθαι·
αὐτὰρ ἐγὼ θυμῷ νοέω καὶ οἶδα ἕκαστα,
ἐσθλά τε καὶ τὰ χέρεια· πάρος δ' ἔτι νήπιος ἦα·
ἀλλά τοι οὐ δύναμαι πεπνυμένα πάντα νοῆσαι·
ἐκ γάρ με πλήσσουσι, παρήμενοι ἄλλοθεν ἄλλος,
οἵδε κακὰ φρονέοντες, ἐμοὶ δ' οὐκ εἰσὶν ἀρωγοί.
οὐ μέν τοι ξείνου γε καὶ Ἴρου μῶλος ἐτύχθη
μνηστήρων ἰότητι· βίῃ δ' ὅγε φέρτερος ἦεν.

V. 225. *πέλοιτο*] *ἔσται.* Vulg.

V. 227. *κεχολῶσθαι*] *Τὸ ἑξῆς, τὸ μὲν κεχολῶσθαί σε. ὁ δὲ νοῦς, διὰ τοῦτο μὲν ὀργίζεσθαι οὐ μέμφομαί σοι, οὐκ εἰμὶ δὲ ἀνόητος, ὡς σὺ φῄς, ἀλλὰ νοῶν τὰ καθέκαστα.* Ambr. B. Q.

V. 229. *πάρος δ' ἔτι νήπιος ἦα*] *Γράφεται, μέγας δέ κε νήπιος εἴην* (quod exhibet etiam margo Vind. 133.). *ὁ δέ ἀντὶ γάρ.* Ambr. Q. *Ἠθέτει καὶ Ἀρίσταρχος.* Harl.

V. 231. *ἐκ γάρ με πλήσσουσι*] *ὅπερ ἐκ μεταφορᾶς λέγει τῶν ἐπίτηδες διά τινος πληγῆς καὶ κρότου συγχεόντων τινά, οἳ καὶ οὕτω κατακρατηθέντες ἔμπληκτοι λέγονται καὶ ἔκπληκτοι.* Eust.

V. 232. *ἀρωγοί*] *βοηθοί.* Vulg.

V. 233. *οὐ μέντοι ξείνου*] *Οὐ κατὰ τὴν βούλησιν τῶν μνηστήρων, οὐδὲ ὡς ἐπεθύμουν αὐτοί, ἀπέβη τὰ τῆς μάχης. ὁ γὰρ Ὀδυσσεὺς κρείσσων ἐγένετο, ἐκείνων βουλομένων τὸν Ἶρον νικῆσαι.* Ambr. B. Q.

μῶλος] *Νῦν πυγμή.* Ambr. B. *Μῶλος. ὁ ἐγχρονισμὸς τῆς μάχης, ἢ οἷον μώλυσις, ἢ παρὰ τὸ μολίσκειν εἰς τὴν μάχην. μῶλον γὰρ Ἄρηος συνήθως λέγει* (Il. *β*, 401. *η*, 147. *π*, 245. *σ*, 134.). Apollon.

αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον!
οὕτω νῦν μνηστῆρες ἐν ἡμετέροισι δόμοισιν
νεύοιεν κεφαλὰς, δεδμημένοι, οἱ μὲν ἐν αὐλῇ,
οἱ δ' ἔντοσθε δόμοιο, λελῦτο δὲ γυῖα ἑκάστου,
ὡς νῦν Ἶρος ἐκεῖνος ἐπ' αὐλείῃσι θύρῃσιν
ἧσται νευστάζων κεφαλῇ, μεθύοντι ἐοικώς,
οὐδ' ὀρθὸς στῆναι δύναται ποσίν, οὐδὲ νέεσθαι
οἴκαδ', ὅπῃ οἱ νόστος· ἐπεὶ φίλα γυῖα λέλυνται.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον. —
Εὐρύμαχος δ' ἐπέεσσι προσηύδα Πηνελόπειαν·
Κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
εἰ πάντες σε ἴδοιεν ἀν' Ἴασον Ἄργος Ἀχαιοί,

V. 238. λελῦτο] Τό, λέλυτο δὲ γυῖα ἑκάστου, ταυτόν ἐστι τῷ λυθεῖεν, ὁριστικὸν μὲν ὄν, τεθὲν δὲ ἀντὶ εὐκτικοῦ. ἴσως δὲ καὶ ἀπὸ τοῦ λελύοιτο συγκέκοπται. Eust. λέλυτο. Vind. 133. Supra scr. Γρ. λῦτο. Margo: Γρ. λελῦτο.

V. 239. νῦν] Γρ. γοῦν. Harl.

ἐπ' αὐλίῃσι] Γρ. ἐν αὐλείῃσι. Id.

V. 242. λέλυνται] Vind. 133. λέλυντο.

V. 246. Ἴασον Ἄργος] Ἴασος βασιλεὺς Πελοποννήσου. Ἄργος οὖν νῦν τὴν Πελοπόννησον λέγει, ἢ καὶ ὅλην τὴν Ἑλλάδα ἀπὸ τοῦ μεσαιτάτου. Vulg. Ambr. Q. Λέγει Ἴασον Ἄργος τὴν Πελοπόννησον, ἀπὸ Ἰάσου βασιλέως τοῦ τῆς Ἰοῦς, ὥςπερ τὸ αὐτὸ καὶ Ἄργος διὰ τὸν πολλαχοῦ δηλούμενον πανόπτην Ἄργον. δῆλον δὲ καὶ ὅτι κατὰ πολυωνυμίας λόγον καὶ ἵππιον ἐκλήθη τὸ αὐτό, καὶ ἱππόβοτον, - καὶ Ἄργος Ἀχαιϊκόν. ἰδίως μέντοι καὶ ἡ Λακωνικὴ Ἀχαιϊκὸν Ἄργος ἐκλήθη, ὡς τό, ἦ οὐκ Ἄργεος ἦεν Ἀχαιϊκοῦ, τουτέστιν, οὐκ ἦν ἐν τῇ Λακωνικῇ. ὡς δὲ οὐχ ἓν Ἄργος, ἀλλὰ πολλά, καὶ ὡς νεώτεροι Μακεδόνες καὶ Θετταλοὶ Ἄργος καὶ τὸ ἁπλῶς πεδίον φασί, καὶ ἐν ἄλλοις δεδήλωται. — τινὲς δὲ Ἴασον Ἄργος ἐνταῦθα ὡς ἀπὸ μέρους τὴν ὅλην Ἑλλάδα νοοῦσιν. — Ἐν δὲ τῷ, ἀν' Ἴασον, λείπει ἄρθρον πληθυντικόν,

πλέονές κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισιν
ἠῶθεν δαινύατ᾽· ἐπεὶ περίεσσι γυναικῶν,
εἶδός τε μέγεθός τε ἰδὲ φρένας ἔνδον ἐΐσας.
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα περίφρων Πηνελόπεια·
Εὐρύμαχ᾽, ἤτοι ἐμὴν ἀρετὴν, εἶδός τε δέμας τε,
ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰςανέβαινον
Ἀργεῖοι, μετὰ τοῖσι δ᾽ ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.
εἰ κεῖνός γ᾽ ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω.
νῦν δ᾽ ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων.
ἤ μὲν δὴ ὅτε τ᾽ ᾔε λιπὼν κάτα πατρίδα γαῖαν,

ἵνα λέγῃ, ὡς εἰ καὶ πάντες σε ἴδοιεν οἱ ἀνὰ τὸ Ἴασον Ἄργος. Eust.

V. 248. δαινύατο] εὐωχοῖντο. περίεσσι] ὑπερβάλλεις. Vulg.

V. 249. φρένας ἔνδον ἐΐσας] ἀκλινεῖς. ἀπὸ τῶν ζυγῶν ἡ μεταφορά. ἢ ὁμοίας τῷ κάλλει. Ambr. B. Q.

V. 251. ἀρετήν] Ἀρετὴν ἐνταῦθα οὐ μίαν τινὰ λέγει, ἀλλὰ τὸ εὔδαιμον τῆς ζωῆς καὶ μακαριστόν, ἢ καὶ πᾶσαν γυναικὸς δεξιότητα, οὐ μόνον τὴν κατὰ φρένας, ὡς Εὐρύμαχος εἶπεν, ἀλλὰ καὶ τὴν κατὰ ἔργα καὶ οἰκονομίαν καὶ ὅσα τοιαῦτα. Eust.

V. 253. ᾖεν] ἀπῄει, ἐπορεύετο. Vulg. Σὺν τῷ ῑ Ἀρίσταρχος καὶ Ἀριστοφάνης, ἀντὶ τοῦ ἦεν. Harl.

V. 254. τὸν ἐμὰν βίον] τὴν ἐμὴν πολιτείαν, τὴν ἐμὴν ζωήν. Ambr. Q.

ἀμφιπολεύοι] διέποι, θεραπεύοι. Vulg. περιπέσοι, περὶ τὸν ἐμὸν βίον πολοῖτο καὶ ἀναστρέφοιτο. Ambr. B.

V. 256. ἄχομαι] λυποῦμαι. ἐπέσσευεν] ἐπήγαγεν. Vulg. ἐπέχευεν. Vind. 133.

V. 257. λιπὼν κατὰ] Τινὲς ἀναστρέφουσι τὴν κατά. ἔνιοι δὲ ἀντὶ τῆς ἀπὸ λέγοντες οὐκ ἀναστρέφουσιν. Ambr. Q.

δεξιτερὴν ἐπὶ καρπῷ ἑλὼν ἐμὲ χεῖρα προςηύδα·
Ὦ γύναι, οὐ γὰρ ὀΐω ἐϋκνήμιδας Ἀχαιοὺς
ἐκ Τροίης εὖ πάντας ἀπήμονας ἀπονέεσθαι·
καὶ γὰρ Τρῶάς φασι μαχητὰς ἔμμεναι ἄνδρας,
ἠμὲν ἀκοντιστὰς, ἠδὲ ῥυτῆρας ὀϊστῶν,
ἵππων τ' ὠκυπόδων ἐπιβήτορας, οἵ κε τάχιστα
ἔκριναν μέγα νεῖκος ὁμοιΐου πολέμοιο.
τῷ οὐκ οἶδ', εἴ κεν μ' ἀνέσει θεός, ἤ κεν ἁλώω
αὐτοῦ ἐνὶ Τροίῃ· σοὶ δ' ἐνθάδε πάντα μελόντων,
μεμνῆσθαι πατρὸς καὶ μητέρος ἐν μεγάροισιν,
ὡς νῦν, ἢ ἔτι μᾶλλον, ἐμεῦ ἀπονόσφιν ἐόντος.
αὐτὰρ ἐπὴν δὴ παῖδα γενειήσαντα ἴδηαι,

V. 258. ἐπὶ καρπῷ] ἐπὶ τῆς χειρὸς μέρει. Barnes. ἐμὲ χεῖρα] Ἀντὶ τοῦ, ἐμοῦ χεῖρα, ἤ, ἐμὲ προςηύδα. Ambr. B.

V, 261. καὶ γὰρ Τρῶας] Πιθανῶς ἐλπιδοποιεῖ τοὺς μνηστῆρας, ὅτι ἐν τοῖς ἄλλοις εἰκὸς ἀνῃρῆσθαι αὐτόν. Vulg.

V. 262. ῥυτῆρας ὀϊστῶν] τοξότας. Id. Ῥυτῆρες ὀϊστῶν οἱ ἑλκυσταί. ὅθεν εἶεν ἂν οἱ ὀϊστοὶ ῥυτοί, ὅ ἐστιν ἑλκυστοί. Eust.

V. 263. ἵππων ἐπιβήτορας] ἱππικούς. Vulg. Τὸ ἑξῆς, οἵτινες ἐπιβάται τῶν ἵππων διαχωρίζουσι τὴν φιλονεικίαν τοῦ πολέμου, τέμνοντες συντόμως τὴν μάχην. Ambr. B. Q.

V. 264. ἔκριναν] διέκριναν, διεχώρισαν. Vulg.

V. 265. ἀνέσει] ἐάσει, ἀναπέμψει. Id. ἐκ τοῦ θανάτου ἀφήσει, ἢ ἐκ τῆς ἀλλοδατῆς εἰς τὴν πατρίδα ἀναπέμψει καὶ ἀνακομίσει Ambr. B. Q. Τό, ἀνέσει θεός, ἀντὶ τοῦ ἀνήσει, ἀφήσει, ἀπολύσει. οὗ τὸ ἐναντίον ἁλῶναί ἐστιν. ἐντεῦθεν καὶ τό, ἄφρονα τοῦτον ἀνέντες (Il. ε, 761.), ἤγουν ἀφέντες, ἀπολύσαντες, ἀναπείσαντες. καὶ κύων δὲ εἰς θήραν οὕτως ἀνίεται, λυθεὶς δηλαδὴ δεσμοῦ. Eust.

V. 267. μεμνῆσθαι] Νῦν, ἐπιμελεῖσθαι. Vulg.

V. 263. ἢ ἔτι] Ἀντὶ τοῦ, καὶ ἔτι. Ambr. B.

V. 269. γενειήσαντα] Τοῦ γενειήσαντα οὐκ εὔδηλον εἴτε γενειῶ ἐστὶν ὁ ἐνεστώς, εἴτε καὶ γενειάζω παράγωγον. Eust.

γήμασθ', ᾧ κ' ἐθέλῃσθα, τεὸν κατὰ δῶμα λιποῦσα.
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
νὺξ δ' ἔσται, ὅτε δὴ στυγερὸς γάμος ἀντιβολήσει
οὐλομένης ἐμέθεν, τῆστε Ζεὺς ὄλβον ἀπηύρα.
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει·
μνηστήρων οὐχ ἥδε δίκη τὸ πάροιθε τέτυκτο·

V. 270. γήμασθαι] v. β, 128. λ, 272. γαμηθῆναι. Vulg.

V. 272. νὺξ δ' ἔσται] Τό, νὺξ δὲ ἔσται καὶ ἑξῆς, ἁπλοϊκῶς μὲν νοεῖ χρῆναι νύκτα εἶναι τὸν τοιοῦτον καιρὸν τοῦ γάμου, χάριν αἰδοῦς. ἄλλως δὲ δύναται καὶ ὅμοιον εἶναι τῷ, μὴ ἴδοι τοιοῦτον κακὸν ὁ ἥλιος. παραλαλεῖ δὲ τυχαίως ἐνταῦθα ἡ γυνὴ καὶ τὸ μέλλον. νῦν γὰρ ἔσται αὔριον, ὅτε ὁ αὐτῆς ἔσται γάμος, εἰ καὶ μὴ στυγερός. μετὰ τοῦ Ὀδυσσέως γάρ. Eust. Ἐλπίδα πᾶσαν αὐτοῖς ὑποβάλλει τοῦ γάμου, δεδοικυῖα ἵνα μὴ βιασθῇ. Ambr. B.

ἀντιβολήσει] συντελεσθήσεται. ἤδη γὰρ πρὸς αὐτῷ τῷ τέλει εἰμί. Vulg.

V. 273. οὐλομένης] ἀπολλυμένης μᾶλλον ἢ προδούσης τὴν κοίτην τοῦ ἀνδρός. Vulg. Ambr. Q. Τὸ οὐλομένης ἴσως μὲν ἐνεργητικῶς ἐῤῥέθη, ὡς καὶ ἐν Ἰλιάδι (α, 2.) ἡ οὐλομένη μῆνις, ἐπεὶ καὶ νῦν αὕτη ἄλγεα τοῖς μνηστῆρσι θήσει. ἴσως δὲ καὶ παθητικῶς ἀντὶ τοῦ, τῆς παθούσης ὀλέθρια καὶ ὡς εἰπεῖν ἀνόλβου. διὸ ἑρμηνεύων ἐπάγει, τῆς τε Ζεὺς ὄλβον ἀπηύρα, ἤγουν ἣν ἀφῆκεν ἄνολβον ἤτοι δυσδαίμονα. καὶ εἰκὸς τὸ οὐλομένη καὶ ἐνεργητικῶς καὶ παθητικῶς λέγεσθαι, διὰ τὸ χρόνου εἶναι μέσου ἀορίστου δευτέρου. οἱ δὲ μέσοι ἐπαμφοτερίζουσιν ὡς ἐπιπολὺ τῇ ἑρμηνείᾳ. Eust.

V. 275. οὐχ ἥδε δίκη] οὐχ οὗτος ὁ τρόπος. Vulg. ἔθος ἀντὶ τοῦ, οὐχ οὗτος ὁ τρόπος ὑπῆρχεν τῶν μνηστήρων ἐν τῷ προτέρῳ χρόνῳ. Ambr. B. Q. Τό, οὐχ ἥδε δίκη, ὅμοιον τῷ, οὐχ ἥδε θέμις, οὐχ ὅδε νόμος, οὐχ ὅδε τρόπος, καὶ τοῖς τοιούτοις. Eust.

πάροιθεν] ἐν τῷ πρὸ τούτου χρόνῳ. Vulg. Τὸ πάροιθεν ἐντρεπτικόν ἐστιν, ὡς τῶν μνηστήρων καινιζόντων καὶ πρεσβεῖον ἀθετούντων δίκης. ἢ τὸ πάροιθεν ἤγουν ἀνέκαθεν ἐκ παλαιτά-

οἵτ᾽ ἀγαθήν τε γυναῖκα καὶ ἀφνειοῖο θύγατρα
μνηστεύειν ἐθέλωσι, καὶ ἀλλήλοις ἐρίσωσιν,
αὐτοὶ τοίγ᾽ ἀπάγουσι βόας καὶ ἴφια μῆλα,
κούρης δαῖτα φίλοισι, καὶ ἀγλαὰ δῶρα διδοῦσιν·
ἀλλ᾽ οὐκ ἀλλότριον βίοτον νήποινον ἔδουσιν.
῝Ως φάτο· γήθησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
οὕνεκα τῶν μὲν δῶρα παρέλκετο, θέλγε δὲ θυμὸν
μειλιχίοις ἐπέεσσι· νόος δέ οἱ ἄλλα μενοίνα.
Τὴν δ᾽ αὖτ᾽ Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
δῶρα μὲν ὅς κ᾽ ἐθέλῃσιν Ἀχαιῶν ἐνθάδ᾽ ἐνεῖκαι,
δέξασθ᾽· οὐ γὰρ καλὸν ἀνήνασθαι δόσιν ἐστίν·

των χρόνων τέτυκτο. νεωτερίζουσι δὲ πάντως οἱ οὕτω καινίζοντες, καὶ εἰσὶν αὐτόχρημα νεωτεροποιοί. Eust.

V. 277. ἐρίσωσι] φιλονεικήσωσιν. Vulg.

V. 278. ἀπάγουσι] Τὸ ἀπάγουσι ταυτὸν τῷ ἄγουσι. περιττὴ γὰρ ἡ πρόθεσις. σημαίνει δέ ποτε ἡ λέξις καὶ τὸ ἀποστερεῖν καὶ ληΐζεσθαι. Eust.

V. 279. κούρης] τῆς νύμφης. οὐ μόνον δὲ ἡ παρθένος, ἀλλὰ καὶ ἡ γεγαμημένη, κόρη καλεῖται. προσεῖπε δ᾽ Ὀρέστης Λάκαιναν κόρην (Eurip. Orest. v. 1437.) ἐπὶ τῆς Ἑλένης. Ambr. Q.

V. 282. παρέλκετο] παρέσπα. Vulg. Εἰ μὲν ὑπὸ ἕν, παρέλκετο, παρολκὴν ἐλάμβανεν. εἰ δὲ διῃρημένως, παρὰ τούτων ἐλάμβανε, καὶ ἀνεπλήρου τὰ ἀναλώματα. Id. Ambr. Q. Τό, τῶν μὲν δῶρα παρέλκετο, ἀντὶ τοῦ, παρὰ τούτων, ἤγουν ἐκ τῶν μνηστήρων δῶρα εἷλκε, καὶ ἔστι φασὶν ὅμοιον τῷ παρέσπα. Eust.

V. 286. ἐνεῖκαι] ἐνεγκεῖν. Vulg.

V. 287. δέξασθαι] Ἀντὶ τοῦ, δέξαι. Id.

ἡμεῖς δ' οὔτ' ἐπὶ ἔργα πάρος γ' ἴμεν, οὔτε πῃ ἄλλῃ,
πρίν γέ σε τῷ γήμασθαι Ἀχαιῶν, ὅςτις ἄριστος.
Ὣς ἔφατ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος·
δῶρα δ' ἄρ' οἰσέμεναι πρόεσαν κήρυκα ἕκαστος.
Ἀντινόῳ μὲν ἔνεικε μέγαν περικαλλέα πέπλον,
ποικίλον· ἐν δ' ἄρ' ἔσαν περόναι δυοκαίδεκα πᾶσαι
χρύσειαι, κληῗσιν ἐϋγνάμπτοις ἀραρυῖαι.
ὅρμον δ' Εὐρυμάχῳ πολυδαίδαλον αὐτίκ' ἔνεικεν,
χρύσεον, ἠλέκτροισιν ἐερμένον, ἠέλιον ὥς.

V. 291. πρόεσαν] Ἐνδέχεται καὶ καθ' ἕκαστον τῶν μνηστήρων κήρυκα εἶναι, ἢ καὶ τὸν αὐτὸν κήρυκα ἀπὸ (scr. ὑπὸ) πλειόνων πεμφθῆναι. Ambr. Q.

V. 292. πέπλον] Πέπλον φασί τινες τὸν ἐνταῦθα μέγαν καὶ περικαλλέα καὶ ποικίλον περιβόλαιον εἶναι σκέπον τὸν ἀριστερὸν ὦμον, καὶ ἔμπροσθεν καὶ ὄπισθεν συνάγον τὰς δύο πτέρυγας εἰς τὴν δεξιὰν πλευράν, γυμνὴν ἐῶν τὴν δεξιὰν χεῖρα καὶ τὸν ὦμον. εἰ δὲ τοῦτ' οὕτως ἔχει, τί δήποτε δώδεκα περόνας ἐχρῆν ἔχειν αὐτὸν μανδυοειδῆ ὄντα; δοκεῖ δὴ μάλιστα γυναικεῖον ἱμάτιον εἶναι ὁ πέπλος κατὰ τὰ Δωρικά, σχιστὸν ἐπὶ μόνα τὰ ἔμπροσθεν, καὶ διὰ τοῦτο περόνας ἐθέλον πολλάς. Eust.

V. 293. περόναι] πόρπαι. Vulg.

V. 294. κληῗσιν] Κληῗδες, ὀπαὶ λεγόμεναι κατακλεῖδες, εἰς ἃς αἱ περόναι καθίεντο. Eust. ἐϋγνάμπτοις] καλῶς ἐπικεκαμμέναις. Vulg. Ἐΰγναμπτοι αὗται ὡς ἐπικαμπεῖς καὶ περιφερεῖς. Eust.

V. 295. ὅρμον] τὸν κατὰ τοῦ τραχήλου περικείμενον χρυσοῦν κόσμον. Vulg. Ἐτυμολογεῖ τὸν ὅρμον παρὰ τὸ εἴρω τὸ συνάπτω, ἕρμος, εἱρμός τις ὤν. ὅρμος δέ ἐστιν ὁ κατὰ τοῦ τραχήλου περικείμενος χρυσοῦς κόσμος. Ambr.

V. 296. ἠέλιον ὥς] Τό, ἠέλιον ὥς, παραβολικὸν ὂν ἔλλειψιν ἔχει. χρὴ γὰρ νοεῖν κατὰ τὸ εἰκὸς ὅρμον λάμποντα ἢ φαέθοντα ἢ ἀφιέντα λαμπηδόνα ὡς ἥλιον. Eust.

ἕρματα δ' Εὐρυδάμαντι δύω θεράποντες ἔνεικαν,
τρίγληνα, μορόεντα· χάρις δ' ἀπελάμπετο πολλή.
ἐκ δ' ἄρα Πεισάνδροιο Πολυκτορίδαο ἄνακτος,
ἴσθμιον ἤνεικεν θεράπων, περικαλλὲς ἄγαλμα.

V. 297. ἕρματα] δῶρα (τῶν ὤτων κόσμον, ὅ ἐστι τὰ ἐνώτια Ms. Barn.). Vulg. Ἕρματα τρίγληνα μορόεντα χάριν ἔχοντα κεῖται καὶ ἐν Ἰλιάδι ἐν τοῖς περὶ Ἡφαίστου (ξ, 182.). ἐν δὲ τῷ, ἕρματα δύο θεράποντες ἔνεικαν, ἀμφίβολον μὲν εἴτε ἕρματα δύο εἴτε θεράποντες δύο. δοκεῖ δὲ κρεῖττον, συντάξαι ἕρματα δύο. Eust. Εἰς τὸ δύω ὑποστικτέον. Ambr. B.

V. 298. τρίγληνα] τρίκορα κόσμια, ἐνώτια (edd. ἐν ᾧ τὰ) τριόφθαλμα τρίκοκκα. Vulg. Ambr. Τρίγληνα ἢ τὰ ἀξιοθέατα καὶ πολλῆς γλήνης ἄξια ἤγουν θέας. ὅθεν καὶ τό, γλήνεα πολλὰ κεχάνδει (Il. ω, 192.), ἤγουν ἐχώρει. ἢ τὰ ἐκ τριῶν τινων ζώων σύνθετα. οἱ δέ φασι τριόφθαλμα, ἃ οἱ Ἀττικοὶ τριόττια καὶ τριοττίδας καλοῦσιν. οἱ δέ τινες, τριῶν ἔχοντα Χαρίτων ἐκτυπώματα. τοῦτο δὲ οὐ καλῶς. οὐ γὰρ οἶδε Χαρίτων ἀριθμὸν ὁ ποιητὴς κατὰ τοὺς ὕστερον. Eust. ad Il. ξ, 182. Τρίγληνα. ὁ μὲν Ἡλιόδωρος τρίκορα (Hesych. τρίκοκκα) εἶπε. γλήνη γὰρ ἡ κόρη τοῦ ὀφθαλμοῦ. οὕτως γὰρ εἴρηται ἐπὶ τῶν ἐνωτίων τῶν ἐν τῇ Ὀδυσσείᾳ διδομένων τῇ Πηνελόπῃ. ὁ δὲ Ἀπίων βέλτιον, πολύγληνα. γλήνη γὰρ ἡ κόρη. ὥστε εἶναι πολυθέατα, πολλῆς θέας ἄξια. τούτοις ἄν τις προσθείη ὅτι καὶ γλήνια (scr. γλήνεα) λέγεται τὰ θέας ἄξια (cit. Il. ω, 192.). Apollon.

μορόεντα] τὰ μετὰ πολλοῦ μόρου καὶ κακοπαθείας κατεσκευασμένα. Vulg. Ambr. Μορόεντα, παρὰ τὸν μόρον, τὴν κακοπάθειαν, τὰ ἐκπεπονημένα φασὶ τῇ κατασκευῇ καὶ μεμεριμνημένα τῇ τέχνῃ. Eust. ad Il. l. c.

V. 299. Πολυκτορίδαο] Πολύκτορος παιδός. Vulg.

V. 300. ἴσθμιον] Ἴσθμιον τὸ περὶ τὸν ἰσθμόν, ὅ ἐστι τὸν τράχηλον, ὃς ἰσθμὸς λέγεται πλεονασμῷ τοῦ σ, ὡς οἷον ἰθμός, δι' οὗ ἴενται τὰ σιτία. ἐντεῦθεν δὲ καὶ παρίσθμια, τὰ περὶ τὸν τοιοῦτον ἰσθμόν, ὃς οὐκ ἔστιν ἐν χρήσει. ὁ γὰρ περιφερόμενος ἰσθμὸς τοπικόν ἐστιν ὄνομα. παρὰ δὲ τοῖς παλαιοῖς φέρεται, ὅτι καὶ μέρος τι σώματος περὶ τὸν τράχηλον ἴσθμιον, ὅθεν καὶ κόσμος παρίσθμιος. — διαφέρει δὲ ἴσθμιον ὅρμου κατὰ τοὺς παλαιούς, ὅτι ὁ μὲν ὅρμος κεχάλασται ἐκκρεμάμενος, τὸ δὲ ἴσθμιον, περιτραχήλιος ὂν καὶ αὐτὸ κόσμος, τῷ τραχήλῳ

ἄλλο δ' ἄρ' ἄλλος δῶρον Ἀχαιῶν καλὸν ἔνεικεν.
ἡ μὲν ἔπειτ' ἀνέβαιν' ὑπερώϊα δῖα γυναικῶν·
τῇ δ' ἄρ' ἅμ' ἀμφίπολοι ἔφερον περικαλλέα δῶρα.
Οἱ δ' εἰς ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδὴν
τρεψάμενοι τέρποντο· μένον δ' ἐπὶ ἕσπερον ἐλθεῖν.
τοῖσι δὲ τερπομένοισι μέλας ἐπὶ ἕσπερος ἦλθεν.
αὐτίκα λαμπτῆρας τρεῖς ἵστασαν ἐν μεγάροισιν,
ὄφρα φαείνοιεν· περὶ δὲ ξύλα κάγκανα θῆκαν,
αὖα πάλαι, περίκηλα, νέον κεκεασμένα χαλκῷ·
καὶ δαΐδας μετέμισγον· ἀμοιβηδὶς δ' ἀνέφαινον

προςέχεται. Eust. Ἴσθμιος. κόσμος περιτραχήλιος. τῶν ἅπαξ εἰρημένων. Apollon.

ἄγαλμα] Ἄγαλμα καὶ ἐνταῦθα τὸ ἀγαλλίαμα. Eust. v. γ, 274. θ, 509. μ, 347.

V. 307. λαμπτῆρας] ἐσχάρας μετεώρους. ἢ τοὺς χυτρόποδας, ἐφ' ὧν ἔκαιον. Vulg. Ἰστέον ὅτι λαμπτῆρας λέγει, ἃς νῦν οἱ ἀγροτικοὶ λυχνίας φασίν, ἐφ' ὧν δᾷδες κείμεναι κατὰ δόρπον ἀνάπτονται, ἢ ξύλα ξηρὰ διὰ τὸ ἄκαπνον, ἢ καὶ ἄμφω ἀναμίξ, ὡς καὶ ἐνταῦθα γίνεται παρὰ τοῖς λαμπροῖς μνηστῆρσι κατὰ ἡρωϊκὴν καὶ τοῦτο ἀφέλειαν, εἰς ὃ καὶ δμωΐδες ὑπουργοῦσι κατὰ ἔθος ἀρχαῖον. — οἱ δὲ παλαιοὶ καὶ οὕτω φασί, λαμπτῆρες ἐσχάραι μετέωροι, ἢ χυτρόποδες, ἐφ' ὧν ἔκαιον. Eust.

V. 308. φαείνοιεν] λάμποιεν. Vulg.

κάγκανα] Ξύλα κάγκανα τὰ ξηρά, τὰ καινόμενα εἰς τὸ καίεσθαι. ταῦτα δὲ καὶ δανὰ ἐλέγετο (ο, 321.). Eust.

θῆκαν] ἐπέθηκαν. Vulg.

V. 309. αὖα πάλαι, περίκηλα] v. ad ε, 240.

κεκεασμένα] ἐσχισμένα. Vulg. Ἀντιθετικῶς λέγει τό, αὖα πάλαι — χαλκῷ, ἵνα ᾖ πάλαι μὲν ξηρανθέντα, νεωστὶ δὲ κοπέντα. Eust.

V. 310. μετέμισγον] συνανεμίγνυον. Vulg. κατέμισγον τοῖς ξύλοις, ἵνα ἐκ τῶν δᾴδων ἀνάπτωνται μᾶλλον. ἢ χωρὶς τῶν ξύλων τὰς ἐσχάρας (B. δαΐδας). Ambr. B. Q.

δμωαὶ Ὀδυσσῆος ταλασίφρονος· αὐτὰρ ὁ τῇσιν
αὐτὸς Διογενὴς μετέφη πολύμητις Ὀδυσσεύς·
Δμωαὶ Ὀδυσσῆος, δὴν οἰχομένοιο ἄνακτος,
ἔρχεσθε πρὸς δώμαθ᾽, ἵν᾽ αἰδοίη βασίλεια·
τῇ δὲ παρ᾽ ἠλάκατα στροφαλίζετε· τέρπετε δ᾽ αὐτήν,
ἥμεναι ἐν μεγάρῳ, ἢ εἴρια πείκετε χερσίν·
αὐτὰρ ἐγὼ τούτοισι φάος πάντεσσι παρέξω.
ἤνπερ γάρ κ᾽ ἐθέλωσιν ἐΰθρονον Ἠῶ μίμνειν,
οὔτι με νικήσουσι· πολυτλήμων δὲ μάλ᾽ εἰμί.
Ὣς ἔφαθ᾽· αἱ δ᾽ ἐγέλασσαν, ἐς ἀλλήλας δὲ ἴδοντο.

ἀμοιβηδὶς] ἀνὰ μέρος. Vulg. ἀνὰ μέρος ἄλλοτε ἄλλη ὑπηρετοῦσα. Ambr. B. Q.

V. 314. ἵν᾽ αἰδοίη βασίλεια] τουτέστιν ὅπου ἡ δέσποινα. Eust.

V. 315. στροφαλίζετε] στρέφεσθε. Vulg. Τὸ στροφαλίζετε ἀπὸ τῆς στροφάλιγγος ἔχει διὰ τοῦ ο μικροῦ τὴν ἄρχουσαν. ἄλλως γὰρ ὡς ἀπὸ τοῦ στρωφᾶσθαι ὤφειλεν ἐκτείνεσθαι, ὡς τό, ἠλάκατα στρωφῶσα (ρ, 97.). Eust.

V. 316. πείκετε] ξαίνετε. Vulg. Εἴρια πέκειν χερσί, τὸ ἐπιμελεῖσθαι, καὶ ὡς ἄν τις εἴπῃ, κτενίζειν, κατὰ τό, ἐκτενίζομεν τρίχας. τοῦτο δὲ καὶ ἀσκεῖν λέγεται, ὡς τό, ἤσκειν εἴρια καλά (Il. γ, 388.). καὶ προηγεῖται τοῦ ἠλάκατα στροφαλίζειν τὸ εἴρια πέκειν χερσί. Καὶ ὅρα τό χερσίν, ὡς τοῦ στροφαλίζειν προσεχῶς ἀτράκτοις συντελουμένου. ἢ καὶ ἑτέρως τὸ χερσί πρὸς διαστολὴν τοῦ ἄλλως πέκειν εἴρηται. πέκονται γὰρ ἔρια καὶ κειρομένων προβάτων ποιμενικῶς, καὶ ἐκ τοῦ τοιούτου πέκειν καὶ ὁ πόκος εἴρηται, καὶ αἶγες δέ, ὧν εὐγενὲς τὸ ἔριον, ἐργαλείῳ τινὶ ἑτεροίῳ πέκονται. Eust.

V. 317. φάος π. παρέξω] Τό, φάος πᾶσι παρέξω, ἀντὶ τοῦ, ἐγγὺς ἕξω, οὗ ἐναντίον ἐδηλώθη τὸ ἀφέξω, ἀντὶ τοῦ, παρεκτὸς σχήσω. Id.

τὸν δ' αἰσχρῶς ἐνένιπτε Μελανθὼ καλλιπάρῃος,
τὴν Δολίος μὲν ἔτικτε, κόμισσε δὲ Πηνελόπεια,
παῖδα δὲ ὣς ἀτίταλλε, δίδου δ' ἄρ' ἀθύρματα θυμῷ·
ἀλλ' οὐδ' ὣς ἔχε πένθος ἐνὶ φρεσὶ Πηνελοπείης·
ἀλλ' ἥγ' Εὐρυμάχῳ μισγέσκετο, καὶ φιλέεσκεν.
ἥ ῥ' Ὀδυσῆ' ἐνένιπτεν ὀνειδείοις ἐπέεσσιν·
Ξεῖνε τάλαν, σύγε τις φρένας ἐκπεπαταγμένος ἐσσί,
οὐδ' ἐθέλεις εὕδειν, χαλκήϊον ἐς δόμον ἐλθών,

V. 321. *ἐνένιπτε*] *Τό, αἰσχρῶς ἐνένιπε, ταυτόν ἐστι τῷ, ἐνένιπεν ὀνειδείοις ἔπεσσι* (scr. *ἐπέεσσιν.* v. 326.) Eust. *ἐνένιπτε.* Vind. 133. Super *πτ* manus prima scripsit *σπε.* cf. Buttm. Lexil. p. 281. sequ.

V. 322. *κόμισσε*] *μετ' ἐπιμελείας ἔθρεψε.* Vulg.

V. 323. *ἀθύρματα*] *Ἀθύρματα κατὰ τοὺς παλαιοὺς παίγνια, σκιρτήματα, παρὰ τὸ ἄγαν θύειν ὅ ἐστιν ὁρμᾶν, κατὰ πρόθεσίν φασι τοῦ ῥ, ὁμοίως τῷ ἄϊδις ἄϊδρις.* Eust.

V. 324. *σχέθε*] *εἶχεν.* Vulg.

V. 325. *μισγέσκετο*] *συνεμίγνυτο.* Id.

V. 326. *ἐνένιπτεν*] Vind. 133. *ἐνένιπεν.* Eust. ad v. 311. Al. *ἐνένειπεν.*

V. 327. *ξεῖνε*] *Τὸ ξεῖνε ἴσως ἐπὶ ὕβρει φησὶν ἡ Μελανθώ, ὡς εἴπερ εἶπεν, ὦ πλανῆτα, ὦ ἀλλότριε.* Eust.

τάλαν] *ἄθλιε.* *ἐκπεπαταγμένος*] *ἐκπεπληγμένος τὰς φρένας, ἄφρων.* Vulg. *Πεπαταγμένος φρένας, ὁ ἐκπεπληγμένος καὶ ἐμβρόντητος, ὁποῖοι πολλοὶ ἀπὸ πατάγων ὅ ἐστι κτύπων γίνονται.* Eust.

V. 328. *χαλκήϊον*] *χαλκέως οἶκον.* Vulg. *εἰς ἐργαστήριον χαλκέως, ὅ φησιν Ἡσίοδος, παρὰ δ' ἴθι χάλκεον θῶκον* (*εργ.* v. 491. *πὰρ δ' ἴθι χάλκειον θῶκον καὶ ἐπαλέα λέσχην*). Ambr. B. Q. *Χαλκήϊος δόμος, τὸ τῶν χαλκέων ἐργαστήριον, ἔνθα εἰσιόντες ἀκωλύτως πτωχοὶ ἐκοιμῶντο παρὰ τῷ πυρί, ὃ δὴ καὶ ἐν τοῖς βαλανείοις ἐγίνετο.* Eust.

ἠέ που ἐς λέσχην· ἀλλ' ἐνθάδε πόλλ' ἀγορεύεις.
[θαρσαλέως πολλοῖσι μετ' ἀνδράσιν, οὐδέ τι θυμῷ
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.]
ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας, τὸν ἀλήτην;
μήτις τοι τάχα Ἴρου ἀμείνων ἄλλος ἀναστῇ,
ὅστις σ' ἀμφὶ κάρη κεκοπὼς χερσὶ στιβαρῇσιν,
δώματος ἐκπέμψῃσι, φορύξας αἵματι πολλῷ.

V. 329. λέσχην] δημόσιον οἴκημα, οἷον λέχην, παρὰ τὸ ἐν αὐτῷ τοὺς μὴ ἔχοντας οἰκήματα λέχη ποιεῖσθαι, ἢ παρὰ τὸ λεσχαίνειν ἐν αὐτῷ, ὅ ἐστιν ὁμιλεῖν. Vulg. τόπον ἀθύρωτον, δημόσιον, ἔνθα συνιόντες λόγοις καὶ διηγήμασιν ἀλλήλους ἔτερπον. ὠνόμασται δὲ παρὰ τὸ λέχος, ἐπεὶ ἐκεῖ ἐκοιμῶντο οἱ πτωχοὶ παρὰ τὸ πῦρ. Ambr. B. Q. δημόσια οἰκήματα. καὶ γὰρ ὅσοι οὐκ ἔχουσιν οἶκον, ἐκεῖσε μένουσι. Pal. Ἦν λέσχη δημόσιον ἀθύρωτον οἴκημα, ἔνθα οἱ ἐπαῖται συναγόμενοι ὡς λέχος τε αὐτὸ εἶχον, καὶ ἐλέσχαινον δέ, ὅ ἐστιν ὡμίλουν, τὰ δοκοῦντα δηλαδὴ αὐτοῖς. μέμνηται δὲ τούτων καὶ Ἡσίοδος ἐν τῷ, πὰρ δ' ἴθι χάλκεόν τε θῶκον καὶ ἐπ' ἀλέα λέσχην (scr. χάλκειον et ἐπαλέα. v. ad v. 328.). ἢ καὶ παρὰ τὸ λέσχος λέγεται καὶ παρὰ τὸ λεσχαίνειν, ἀφ' οὗ καὶ τὸ ἀδολεσχεῖν καὶ ὁ ἀδόλεσχος. Eust.

V. 330—332. θαρσαλέως κ. τ. ε.] Ἀθετοῦνται τρεῖς ὡς ἐκ τῶν ἑξῆς μετατιθέμενοι, καὶ ὅτι ἐνθάδε μηδὲν ἐθρασύνθη. Harl. Ambr. Q. cf. v. 390. sequ.

μεταμώνια] v. ad β, 98.

V. 333. ἀλύεις] χαίρεις, γαυριᾷς. Vulg. Ἀντὶ τοῦ, ἐκλέλυσαι τῇ χαρᾷ. Eust. Ἀλύεις νῦν ἀντὶ τοῦ χαίρεις, γαυριᾷς. ἔνιοι δέ, ἐν ἄλῃ καὶ θορύβῳ τῆς διανοίας καθέστηκας, οἷον, οὐκ ἔχεις σεαυτὸν ὑπὸ πολλῆς χαρᾶς. Ambr. Q. cf. Eust. ad ι, 398.

V. 334. μήτις τοι] Λείπει, φοβοῦ. Ambr. B. ἀναστῇ] ἀγωνίσηται. Vulg.

V. 335. κεκοπώς] ἤτοι πλήξας. Eust. Κεκοπώς διὰ τοῦ φ κεκοφώς. Pors. ex Harl.

V. 336. φορύξας] μολύνας. Vulg. μολύνας, αἱμόφυρτόν σε ποιήσας. Ambr. B. Q. Τό, φορύξας αἵματι, ταυτὸν τῷ φύρσας, ὃ προγέγραπται (v. 21.). ἴσως δὲ καὶ πρωτότυπον τοῦτο ἐκεί-

Τὴν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
ἦ τάχα Τηλεμάχῳ ἐρέω, κύον, οἷ' ἀγορεύεις,
κεῖσ' ἐλθών, ἵνα σ' αὖθι διαμελεϊστὶ τάμησιν.
Ὣς εἰπών, ἐπέεσσι διεπτοίησε γυναῖκας.
βὰν δ' ἴμεναι διὰ δῶμα· λῦθεν δ' ὑπὸ γυῖα ἑκάστης
ταρβοσύνῃ· φὰν γάρ μιν ἀληθέα μυθήσασθαι.
αὐτὰρ ὁ πὰρ λαμπτῆρσι φαείνων αἰθομένοισιν
ἑστήκει ἐς πάντας ὁρώμενος· ἄλλα δέ οἱ κῆρ
ὥρμαινε φρεσὶν ᾗσιν, ἅ ῥ' οὐκ ἀτέλεστα γένοντο.
Μνηστῆρας δ' οὐ πάμπαν ἀγήνορας εἴα Ἀθήνη
λώβης ἴσχεσθαι θυμαλγέος, ὄφρ' ἔτι μᾶλλον
δύῃ ἄχος κραδίην Λαερτιάδεω Ὀδυσῆος.
τοῖσιν δ' Εὐρύμαχος, Πολύβου παῖς, ἦρχ' ἀγορεύειν.
κερτομέων Ὀδυσῆα· γέλων δ' ἑτάροισιν ἔτευχεν·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης,

νου. φορῶ γὰρ φορύω, ἐξ οὗ παράγωγον τὸ φορύσσω. τὸ δὲ φορύω συγκοπὴν παθὸν καὶ μετατεθὲν φύρω γίνεται, οὗ ὁ μέλλων φύρσω Αἰολικῶς. ἔστι δὲ φορύσσειν τὸ μεταφορεῖν, καὶ μόριον ἐκ μορίου μεθέλκειν. Eust.

V. 339. διαμελεϊστί] v. ι, 291.

V. 340. διεπτοίησε] διεσκόρπισε. Ambr. B.

V. 344. ἑστήκει] Harl. εἱστήκειν. Marg. εἱστήκει, supra scr. ἕστηκεν (scr. ἑστήκει). Vind. 133. εἱστήκει ἅπαντας. — Τὸ εἱστήκει εὕρηται καὶ εἱστήκειν, κατὰ τό, ἤσκειν εἴρια καλά (Il. γ, 388.). Eust. ὁρώμενος] ἤγουν ὁρῶν. Id.

V. 347. λώβης — θυμαλγέος] Λέγει λώβην θυμαλγέα τὰ σκώμματα καὶ τὰς βολάς. Eust.

V. 348. δύῃ] τουτέστιν ὑπεισέρχηται. Id.

V. 350. γέλων] γέλωτα, Ἀττικῶς. Vulg. Γέλων δ' ἄρα τοῖσιν ἔτευξε] Γρ. γέλων δ' ἑτάροισιν ἔτευχεν. Harl.

ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
οὐκ ἀθεεὶ ὅδ' ἀνὴρ Ὀδυσήϊον ἐς δόμον ἵκει·
ἔμπης μοι δοκέει δαΐδων σέλας ἔμμεναι αὐτοῦ
καὶ κεφαλῆς· ἐπεὶ οὔ οἱ ἔνι τρίχες, οὐδ' ἠβαιαί.
Ἦ ῥ', ἅμα τε προςέειπεν Ὀδυσσῆα πτολίπορθον·
ξεῖν', ἦ ἄρ κ' ἐθέλοις θητευέμεν, εἴ σ' ἀνελοίμην,
ἀγροῦ ἐπ' ἐσχατιῆς — μισθὸς δέ τοι ἄρκιος ἔσται —
αἱμασιάς τε λέγων, καὶ δένδρεα μακρὰ φυτεύων;

V. 352. κελεύει] Γρ. ἀνώγει. Harl.

V. 353. οὐκ ἀθεεί] οὐκ ἄνευ θεοῦ. Vulg. οὐ δίχα προνοίας θεοῦ. Ambr. B.

V. 354. ἔμπης] Νῦν ἀντὶ τοῦ ὅμως (Barn. ὁμοίως. Ms. ὅμοιον). Vulg. Ὅτι ἐπίσης μοι δοκεῖ τὸ φαινόμενον σέλας τῶν δᾴδων εἶναι καὶ αὐτοῦ τῆς κεφαλῆς ὡς ἐψιλωμένης. Eust. ὁμοίως μοι δοκεῖ κ. τ. λ. Ambr. B. v. ad ε, 205. π, 147. τ, 37.

V. 355. ἐπεὶ οὔ οἱ — ἠβαιαί] Ἡ γὰρ Ἀθηνᾶ ξανθὰς ἐκ κεφαλῆς ὤλεσε τρίχας (Od. ν, 431.). Ambr. Q.

V. 357. ξεῖν'] Τὸ ἑξῆς, ξεῖνε εἴ σ' ἀνελοίμην ἀγροῦ ἐπ' ἐσχατιῆς, ἄρα ἐθελήσεις θητεύειν αἱμασιάς τε λέγων καὶ δένδρεα μακρὰ φυτεύων, μισθὸς δέ τοι ἄρκιος ἔσται. Ambr. B. Q.

ἀνελοίμην] ἀναλάβοιμι. Vulg. Ἐν τῷ, εἴ σ' ἀνελοίμην, περιττὴ συνήθως ἡ ἀνά πρόθεσις, ὡς καὶ πρὸ ὀλίγων ἐν τῷ, ἄναγον τὸν Ἶρον (v. 89.). κυρίως μέντοι ἀνελέσθαι τὸ κάτωθέν τι λαβεῖν, ὃ διάφορόν ἐστι πρὸς τὸ καθελεῖν. Eust.

V. 358. ἄρκιος] ἱκανός. Vulg.

V. 359. αἱμασιάς] τοὺς περιβόλους τῶν τοίχων, τοὺς χάλικας. Vulg. τοὺς ἐκ χαλίκων φραγμοὺς χωρίων. χάλικες δὲ οἱ τεθραυσμένοι καὶ μικροὶ λίθοι. καὶ ἔστιν ἡ εὐθεῖα ὁ χάλιξ τοῦ χάλικος. Ambr. B. Q. Αἱμασιὰ κατὰ τοὺς παλαιοὺς τειχίον ἐκ χαλίκων ὅμοιον φραγμῷ, καὶ ἄλλως δὲ κατὰ τοὺς αὐτοὺς ἐκ χαλίκων οἰκοδομή, τειχίον, θριγκός. — ὁ δὲ Θρᾳκικὸς παραφραστὴς λίθους ἡρμήνευσε τὰς αἱμασιάς, εἰπών, φυτεύων καὶ τοὺς λίθους ἐκλέγων. Eust.

λέγων] οἰκοδομῶν ἐκ συλλέκτων λίθων. Vulg. (ἐκ πολλῶν καὶ λογάδων λίθων. Ambr.).

ἔνθα κ' ἐγὼ σῖτον μὲν ἐπηετανὸν παρέχοιμι,
εἵματα δ' ἀμφιέσαιμι, ποσὶν θ' ὑποδήματα δοίην.
ἀλλ' ἐπεὶ οὖν δὴ ἔργα κάκ' ἔμμαθες, οὐκ ἐθελήσεις
ἔργον ἐποίχεσθαι, ἀλλὰ πτώσσειν κατὰ δῆμον
βούλεαι, ὄφρ' ἂν ἔχῃς βόσκειν σὴν γαστέρ' ἄναλτον.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Εὐρύμαχ', εἰ γὰρ νῶϊν ἔρις ἔργοιο γένοιτο
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ' ἤματα μακρὰ πέλονται,
ἐν ποίῃ, δρέπανον μὲν ἐγὼν εὐκαμπὲς ἔχοιμι,

δένδρεα μακρά] οὐ τὰ τοιαῦτα ὄντα ἐν τῷ φυτεύεσθαι, ἀλλ' ὕστερον. Eust. Τὸ δὲ λέγων καὶ φυτεύων ἐσχημάτισται δι' ὑπερβατοῦ. ἄλλως γὰρ πρὸς τό, μισθὸς δέ τοι ἔσται, λέγοντι ὤφειλεν εἶναι καὶ φυτεύοντι. Id.

V. 363. πτώσσειν] πτωχεύειν. Vulg.

V. 364. γαστέρ' ἄναλτον] v. ad ρ, 228.

V. 366. εἰ γὰρ νῶϊν] Τό, εἰ γὰρ νῶϊν ἔρις ἔργοιο γένοιτο, καὶ τό, εἰ δ' αὖ κε βόες εἶεν, καὶ τό, εἰ δ' αὖ κε πόλεμόν ποθεν, ὑποθετικῶς ἀναγνωστέον καὶ οὐκ εὐκτικῶς. ἄλλως γὰρ ἀλόγιστον οὕτω νῦν εὔξασθαι. Eust.

V. 367. ὥρῃ — πέλονται] Ζητοῦσι πῶς τὰς ἐαρινὰς ἡμέρας μακρὰς εἶπεν. ὅθεν ἠναγκάσθησάν τινες λέγειν, ὅτι ἐαρινή τέθεικεν ἀντὶ τοῦ θερινή. ῥητέον δὲ ὅτι ἄλλο ἐστὶ τὸ πέλει καὶ ἄλλο τὸ πέλονται. τὸ μὲν γὰρ σημαίνει τὸ εἶναι, τὸ δὲ τὸ γίνεσθαι. ἐν δὲ τῷ ἔαρι μακραὶ γίνονται αἱ ἡμέραι, εἰς γένεσιν ἀγόμεναι τῶν μακρῶν. ἔστι δὲ ὅμοιον τῷ, ἥλιος ὃς διὰ γῆς πάντα βλαστάνει βροτοῖς φθίνει τε. οὕτω γὰρ καὶ τό, μακραὶ γίνονται, κατὰ τὴν Ἀττικὴν συνήθειαν ἀκουστέον. Ambr. Q. πέλονται] Ἀντὶ τοῦ, γίνονται πρὸς τὴν παρουσίαν τοῦ θέρους. B.

V. 368. ποίῃ] τῷ δημητριακῷ χόρτῳ. ἐν σιτοφόρῳ χωρίῳ. Ambr. Q. Ποίη, ὁ δημητριακὸς χόρτος. Vulg. Ἰστέον ὅτι ποίη καὶ ἡ κατὰ τὸ θέρος κατ' ἐξοχήν, ἀφ' ἧς καὶ τὸν ἐνιαυτὸν ποίην λέγει τῶν τις ποιητῶν. διὸ καὶ ἑρμηνεύοντες οἱ παλαιοὶ φασὶν

καὶ δὲ σὺ τοῖον ἔχοις, ἵνα πειρησαίμεθα ἔργου,
νήστιες ἄχρι μάλα κνέφαος, ποίη δὲ παρείη.
εἰ δ' αὖ καὶ βόες εἶεν ἐλαυνέμεν, οἵπερ ἄριστοι,
αἴθωνες, μεγάλοι, ἄμφω κεκορηότε ποίης,
ἥλικες, ἰσοφόροι, τῶντε σθένος οὐκ ἀλαπαδνόν,
τετράγυον δ' εἴη, εἴκοι δ' ὑπὸ βῶλος ἀρότρῳ·
τῷ κέ μ' ἴδοις, εἰ ὦλκα διηνεκέα προταμοίμην.

ὅτι ποίη ὁ δημητρειακὸς καρπός. κοινῶς μέντοι ποίη ὁ κατὰ τὸ ἔαρ δρεπόμενος ἢ κειρόμενος χόρτος. δοκεῖ δ' ἐνταῦθα καὶ ὁ ποιητὴς ἐν τῷ, κεκορηότε ποίης, οὐ μόνον δηλοῦν τὸν χόρτον, ἀλλὰ καὶ καρποὺς Δήμητρος, οἷς καὶ βοῦς πιαίνεται ἐν σταθμοῖς. Eust.

V. 370. κνέφαος] ἤγουν ἄχρι βαθείας ἑσπέρας. Eust.

V. 371. οἵπερ] Γρ. ὥςπερ. Harl.

V. 372. αἴθωνες] πυῤῥοὶ ἢ μέλανες. Ambr. B. Q. Αἴθωνες βόες, οἱ θερμοὶ ἐργάζεσθαι, ἢ μέλανες, οἱ ἐν ἄλλοις οἴνοπες. ἢ καὶ πυῤῥοί, ὡς ἀπὸ τοῦ οἶνος ἐρυθρός. Eust.

κεκορηότε] κεκορεσμένοι. Vulg. Κυριολεκτεῖται πάντως ἐπὶ ἀλόγων ζώων τὸ κεκορηότες. Eust.

V. 373. ἥλικες] ὁμήλικες. ἰσοφόροι] ἴσως φέροντες καὶ ἕλκοντες. Vulg. Ἰσοφόροι, ἢ εἰς ἶσον φερόμενοι καὶ ὡς εἰπεῖν ἰσοφαρίζοντες, ἢ ἶσον ἄχθος φέρειν δυνάμενοι, ἢ ἰσοκίνητοι καὶ ἶσοι κατὰ τὸ φέρεσθαι. Eust.

ἀλαπαδνόν] ἀσθενές, παρὰ τὸ ἀλαπάζω, τὸ πορθῶ. Ms. Barn.

V. 374. τετράγυον] τέσσαρας ἔχον γύας. γύον δὲ μέτρον γῆς. Vulg. Τετράγυον διάστημά τι ὅσον ἦν ἀροτριᾶν ὡς εἰκὸς δι' ἡμέρας τοὺς ἀγαθοὺς ἐργάτας καὶ χρωμένους βουσὶν ὁμοίοις. — ὁ δὲ παραφράσας τετράπλεθρον ἡρμήνευσε τὸ τετράγυον, εἰπών, ἐλαύνειν ἐν νειῷ τετραπέλεθρον. Eust.

V. 375. ὦλκα] Ὦλξ, ἡ αὖλαξ. ἀπὸ τοῦ ἀλέγω, τὸ λόγον ποιοῦμαι καὶ φροντίζω, ἀλέξω, ἄλοξ, καὶ μεταθέσει ἄολξ, καὶ ἐν συναιρέσει ὦλξ, ἡ ἐν λόγῳ δηλαδὴ οὖσα. Διηνεκὴς δὲ ὦλξ, ἡ διόλου ἐνηνεγμένη μία καὶ κοιλανθεῖσα μιᾷ μακρᾷ τομῇ. Eust.

διηνεκέα] τὴν ὑπὸ μιᾶς ὁρμῆς σχιζομένην. Vulg. διηνεκέα, ἀντὶ τοῦ διηνεκῶς, ὑπὸ μιᾶς ὁρμῆς. Ambr. B.

προταμοίμην] διακόψαιμι. Vulg. Τὸ προταμοίμην ἀντὶ

εἰ δ' αὖ καὶ πόλεμόν ποθεν ὁρμήσειε Κρονίων
σήμερον, αὐτὰρ ἐμοὶ σάκος εἴη, καὶ δύο δοῦρε,
καὶ κυνέη πάγχαλκος, ἐπὶ κροτάφοις ἀραρυῖα·
τῷ κέ μ' ἴδοις πρώτοισιν ἐνὶ προμάχοισι μιγέντα,
οὐδ' ἄν μοι τὴν γαστέρ' ὀνειδίζων ἀγορεύοις.
ἀλλὰ μάλ' ὑβρίζεις, καί τοι νόος ἐστὶν ἀπηνής·
καί πού τις δοκέεις μέγας ἔμμεναι ἠδὲ κραταιός,
οὕνεκα πὰρ παύροισι καὶ οὐκ ἀγαθοῖσιν ὁμιλεῖς.
εἰ δ' Ὀδυσεὺς ἔλθοι, καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν,
αἶψά κέ τοι τὰ θύρετρα, καὶ εὐρέα περ μάλ' ἐόντα,
φεύγοντι στείνοιτο δι' ἐκ προθύροιο θύραζε.

τοῦ, πρὸ σοῦ ἀροτριάσαιμι, καὶ ὡς εἰπεῖν προκόψαιμι, καὶ τὰ πάντα ἔχων ἶσα ὅμως προβαλοίμην τῇ ἀρετῇ. Eust.

V. 376. ὁρμήσειεν] ἐγείρῃ, κινήσῃ. Vulg. Τό, εἰ δ' αὖ καὶ πόλεμον ὁρμήσειέ ποθεν Κρονίων, περίφρασίς ἐστι τοῦ, εἴ ποθεν ἐκφανείη πόλεμος, ὁ κατὰ τὸν μῦθον ἐκ Διός, ὅς ταμίης πολέμοιο τέτυκται (Il. δ, 84.). Eust. Ὅρα δὲ τὸ ποθέν, πρὸς ἐπίκρυψιν τεθὲν τοῦ ἀληθοῦς, καιριώτερον ὂν τοῦ ἴσως καὶ τοῦ τυχὸν καὶ τῶν τοιούτων, ὑπεμφαῖνον δὲ καὶ τὴν ἀλήθειαν, ἵνα λέγῃ ὡς εἴπερ πόλεμος γένηται ἢ ἐξ ὑμῶν προϋπαρξάντων ἢ ἐξ ἐμοῦ ἢ ἐκ τῶν ἐμῶν. Τὸ δὲ ὁρμήσειεν ἀντὶ τοῦ κινήσειε, καὶ κατὰ τοὺς ὕστερον εἰπεῖν, παρορμήσειε. διχῶς οὖν τὸ ὁρμήσειν, ἰδιοπαθῶς τε κατὰ τοὺς μεθ' Ὅμηρον ἀντὶ τοῦ κινηθῆναι, καὶ ἑτεροίως ἀντὶ τοῦ κινήσειν. εἰ δὲ ἐχρῆν καὶ αὐτὸ διάφορον σχεῖν διάθεσιν κατά τό, πλουτῶ ἐγώ, πλουτίζω δὲ ἕτερον, καὶ τὰ ὅμοια, ἀλλὰ προελήφθη τοῦτο ὑφ' ἑτέρου ῥήματος τοῦ κατὰ τὸν ὅρμον, καθ' ὃν ὁρμεῖ μὲν ἡ ναῦς, ὁρμίζει δέ τις αὐτήν, καὶ ἄλλως δέ, ὁρμεῖ μὲν αὐτή, ὁρμίζεται δὲ ὑπ' ἄλλου. Id.

V. 379. μιγέντα] μιχθέντα, ἀντὶ τοῦ, συνελθόντα. Vulg.

V. 385. 386. τὰ θύρετρα φεύγοντι (ed. ant. φεύγων τις) στείνοιτο] Οὕτως ταρασσόμενος διὰ τῶν θυρῶν φύγῃς, ὡς δοκεῖν στενοχωρεῖσθαι. Vulg. ὡς δοκεῖν τὰς θύρας στενὰς εἶναι. Ambr. στείνοιτο. Text. Harl. Schol. στενὰ γένοιντο.

Ὣς ἔφατ᾽· Εὐρύμαχος δ᾽ ἐχολώσατο κηρόθι μᾶλλον,
καί μιν ὑπόδρα ἰδὼν ἔπεα πτερόεντα προςηύδα·
Ἆ δείλ᾽, ἦ τάχα τοι τελέω κακόν, οἷ᾽ ἀγορεύεις
θαρσαλέως πολλοῖσι μετ᾽ ἀνδράσιν, οὐδέ τι θυμῷ
ταρβεῖς· ἦ ῥά σε οἶνος ἔχει φρένας, ἤ νύ τοι αἰεὶ
τοιοῦτος νόος ἐστίν· ὃ καὶ μεταμώνια βάζεις.
[ἦ ἀλύεις, ὅτι Ἶρον ἐνίκησας, τὸν ἀλήτην;]
Ὣς ἄρα φωνήσας σφέλας ἔλλαβεν· αὐτὰρ Ὀδυσσεὺς
Ἀμφινόμου πρὸς γοῦνα καθέζετο Δουλιχιῆος,
Εὐρύμαχον δείσας· ὁ δ᾽ ἄρ᾽ οἰνοχόον βάλε χεῖρα
δεξιτερήν· πρόχοος δὲ χαμαὶ βόμβησε πεσοῦσα·
αὐτὰρ ὅγ᾽ οἰμώξας πέσεν ὕπτιος ἐν κονίῃσιν.
μνηστῆρες δ᾽ ὁμάδησαν ἀνὰ μέγαρα σκιόεντα·
ὧδε δέ τις εἴπεσκεν, ἰδὼν ἐς πλησίον ἄλλον·
Αἴθ᾽ ὤφελλ᾽ ὁ ξεῖνος ἀλώμενος ἄλλοθ᾽ ὀλέσθαι,
πρὶν ἐλθεῖν· τῷ κ᾽ οὔτι τόσον κέλαδον μετέθηκεν.

δι᾽ ἐκ μεγάροιο] Ῥιανός. Harl. καὶ ἐκ προθύροιο] Γράφεται, δι᾽ ἐκ προθύροιο. Ambr. Q.

V. 387. δ᾽ ἐχολώσατο] Vind. 133. δὲ χολώσατο.

V. 390. θαρσαλέως κ. τ. λ] v. 330. sequ.

V. 394. σφέλας] τὸ ὑποπόδιον, ἢ τὸ βῆμα τὸ σφῆλαι δυνάμενον. Vulg. Σφέλας ἢ τὸ ὑποπόδιον καὶ νῦν, ἢ καὶ ἁπλῶς κατὰ τοὺς παλαιοὺς βλῆμά τι σφῆλαι δυνάμενον. Eust. v. ad ρ, 231.

V. 397. πρόχοος] ὁ ξέστης. Vulg. Ἡ πρόχοος ἐνταῦθα, ἡ καὶ κατὰ κυριολεξίαν βομβήσασα ἐν τῷ πεσεῖν, ξέστης ἐστὶ ποτίζειν χρήσιμος (scr. ἐς τὸ ποτ. χρ.). Eust.

V. 399. ὁμάδησαν] θόρυβον ἐποίουν. Ms. Barn.

V. 402. μεθέηκεν] ἐποίησεν. Vulg. Τῷ κεν — μεθέηκεν,

νῦν δὲ περὶ πτωχῶν ἐριδαίνομεν· οὐδέ τι δαιτὸς
ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
Τοῖσι δὲ καὶ μετέειφ᾽ ἱερὴ ἲς Τηλεμάχοιο·
δαιμόνιοι, μαίνεσθε, καὶ οὐκέτι κεύθετε θυμῷ
βρωτὺν οὐδὲ ποτῆτα· θεῶν νύ τις ὔμμ᾽ ὀροθύνει.
ἀλλ᾽ εὖ δαισάμενοι κατακείετε οἴκαδ᾽ ἰόντες,
ὁππότε θυμὸς ἄνωγε· διώκω δ᾽ οὔτιν᾽ ἔγωγε.
Ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες,
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευεν.
τοῖσιν δ᾽ Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπεν·
[Νίσου φαίδιμος υἱὸς, Ἀρητιάδαο ἄνακτος·]
Ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι·
μήτε τι τὸν ξεῖνον στυφελίζετε, μήτε τιν᾽ ἄλλον
δμώων, οἳ κατὰ δώματ᾽ Ὀδυσσῆος θείοιο.

ἤγουν οὐκ ἂν τοσοῦτον θόρυβον ἐνῆκεν ἡμῖν. Eust. Πᾶσαι, μετέθηκεν, ἀντὶ τοῦ, ἐν ἡμῖν ἔθηκεν. Harl.

V. 406. δαιμόνιοι] θαυμάσιοι, ἐπὶ κακῷ. Vulg.

κεύθετε θυμῷ] Ἀντὶ τοῦ, ὑπὸ θυμοῦ, ὡς, Ἀχιλῆϊ δαμασθείς (Il. χ, 55.), ὅ ἐστιν, ὑπὸ ἀλόγου κινήσεως οὐ κρατεῖτε τῆς τροφῆς, ἀλλ᾽ αὕτη μᾶλλον ἡμῶν ἐπικρατεῖ καὶ παρασκευάζει ὑμᾶς ἐξάγεσθαι εἰς ἀταξίας. Ambr. B. Q.

V. 409. διώκω δ᾽ οὔτιν᾽ ἔγωγε] Ἵνα παραμείνωσι καὶ ἀναιρεθῶσιν. Vulg.

V. 410. φύντες] ἐνδακόντες. Id.

V. 413. Νύσου — ἄνακτος] Omittit hunc versum Vind. 133.

V. 415. χαλεπαίνοι] εἰς ὁρμὴν κινήσοι. Id.

V. 416. στυφελίζετε] διώκετε, ὑβρίζετε. Id.

ἄλλον] Τὸ ἄλλον οὐ πρὸς διαστολὴν ὁμογενοῦς ἐῤῥέθη, ὡς εἴ τις εἴπῃ, μήτε τοῦτον δοῦλον ὄντα μήτε ἄλλον τινὰ δμώων, ἀλλὰ πρὸς ἑτεροιότητα τύχης, ἵνα λέγῃ ὅτι μήτε τὸν ἐλεύθερον

ἀλλ' ἄγετ', οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
ὄφρα σπείσαντες κατακείομεν οἴκαδ' ἰόντες·
τὸν ξεῖνον δὲ ἐῶμεν ἐνὶ μεγάροις Ὀδυσῆος
Τηλεμάχῳ μελέμεν· τοῦ γὰρ φίλον ἵκετο δῶμα.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ἑαδότα μῦθον ἔειπεν.
τοῖσιν δὲ κρητῆρα κεράσσατο Μούλιος ἥρως,
κήρυξ Δουλιχιεύς· θεράπων δ' ἦν Ἀμφινόμοιο·
νώμησεν δ' ἄρα πᾶσιν ἐπισταδόν· οἱ δὲ θεοῖσιν
σπείσαντες μακάρεσσι, πίον μελιηδέα οἶνον.
αὐτὰρ ἐπεὶ σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμός,
βάν ῥ' ἴμεναι κείοντες ἑὰ πρὸς δώμαθ' ἕκαστος.

ξένον τοῦτον στυφελίζετε, μήτε ἄλλον ἤγουν τύχης ἄλλης ὄντα, ὁποῖοι οἱ τοῦ Ὀδυσσέως δμῶες. Eust.

V. 418. ἐπαρξάσθω] Ἀπὸ τοῦ πρώτον ἀρξάσθω. Vulg. cf. ν, 340. η, 183.

V. 419. κατακείομεν] καθευδήσομεν. Id.

V. 420. ἐνὶ μεγάροις Ὀδυσῆος] Ῥιανὸς δέ, ἐνὶ μεγάροισιν ἕκηλον. Harl.

V. 421. Τηλεμάχῳ μελέμεν] ἐπιμελείας ἀξιοῦσθαι ὑπὸ Τηλεμάχου. Vulg.

V. 422. ἑαδότα] ἅδοντα, ἀρέσκοντα (Ed. ant. αδοντα, ἀρέσκοντα) Id.

V. 423. Μούλιος ἥρως] Ὅτι τὸν κήρυκα Μούλιον, ὃς θεράπων ἦν Ἀμφινόμοιο, ἥρωα καλέσας ὁ ποιητὴς ἐμφαίνει ἀδιαφορίαν κἀνταῦθα τοῦ ἥρως ὀνόματος, ὡς μὴ μόνον ἐπὶ πάνυ μεγάλων ἀνδρῶν, ἀλλὰ καὶ ἐπὶ θεραπόντων λεγομένου, καθά που καὶ κρείων ὁ Ἐτεωνεὺς ἐλέχθη (δ, 22.), καὶ ὄρχαμος ἀνδρῶν ὁ Εὔμαιος (ξ, 22.). Eust. Ὅτι πάντας ἥρωας ἔλεγον. Ambr. B.

V. 425. ἐπισταδόν] ἐπιστάμενος (Barn. corr. ἐφιστάμενος). Vulg. v. ad ν, 54.

ΤΗΣ ΤΟΥ ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ ΡΑΨΩΙΔΙΑ Η ΓΡΑΜΜΑ Τ.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Τ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Σὺν Τηλεμάχῳ ἔκθεσιν ποιεῖται τῶν ὅπλων Ὀδυσσεύς, καὶ πρὸς Πηνελόπην ἐκ Κρήτης εἶναι ὑποκρίνεται. γίνεται δὲ αὐτοῦ δι' οὐλῆς ἀναγνωρισμὸς πρὸς Εὐρύκλειαν, τοὺς πόδας αὐτοῦ νίπτουσαν. καὶ κατὰ παρέκβασιν ὁ ποιητὴς διηγεῖται, ὡς ἐν Παρνασῷ ὑπὸ συὸς ἐπλήγη κυνηγῶν. Eust. Vulg. Pal. Ambr.

Ἐπιγραφαί.

Ὀδυσσέως καὶ Πηνελόπης ὁμιλία, καὶ τὰ νίπτρα, ἢ ὁ ὑπὸ Εὐρυκλείας ἀναγνωρισμός.

Ἄλλως.

Ταῦ δ', ἀναγνωρίζει ἐξ οὐλῆς γρηῦς Ὀδυσῆα.

Αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεύς,
μνηστήρεσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων·
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·

V. 1. ὑπελείπετο] ὑπελείφθη, ἔμεινεν. Vulg.

V. 2. σὺν Ἀθήνῃ] ἤτοι παρούσῃ σιωπωμένως, ἢ προνοίᾳ τῆς θεοῦ, ὡς ἐπὶ τοῦ δουρίου ἵππου, ὃν Ἐπειὸς ἐποίησε σὺν Ἀθήνῃ (Od. ϑ, 493.). Ambr. Q.

Τηλέμαχε, χρὴ τεύχε᾽ Ἀρήϊα κατθέμεν εἴσω
πάντα μάλ᾽· αὐτὰρ μνηστῆρας μαλακοῖς ἐπέεσσιν
παρφάσθαι, ὅτε κέν σε μεταλλῶσιν ποθέοντες·
ἐκ καπνοῦ κατέθηκ᾽· ἐπεὶ οὐκέτι τοῖσιν ἐῴκει,
οἷά ποτε Τροίηνδε κιὼν κατέλειπεν Ὀδυσσεύς,
ἀλλὰ κατήκισται, ὅσσον πυρὸς ἵκετ᾽ ἀϋτμή.
πρὸς δ᾽ ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶν ἔμβαλε δαίμων,
μή πως οἰνωθέντες, ἔριν στήσαντες ἐν ὑμῖν,
ἀλλήλους τρώσητε, καταισχύνητέ τε δαῖτα
καὶ μνηστύν· αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.
Ὣς φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί·
ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν·
Μαῖ᾽, ἄγε δή μοι ἔρυξον ἐνὶ μεγάροισι γυναῖκας,
ὄφρα κεν ἐς θάλαμον καταθείομαι ἔντεα πατρὸς
καλά, τά μοι κατὰ οἶκον ἀκηδέα καπνὸς ἀμέρδει,
πατρὸς ἀποιχομένοιο· ἐγὼ δ᾽ ἔτι νήπιος ἦα·

V. 4. Τηλέμαχε κ. τ. ἑ.] Ἔνθα στίχους Ὀδυσσεὺς αὐτοὺς ἐκείνους ἀπαραλλάκτως λέγει, οὓς καὶ ἐν τῇ π̄ ῥαψῳδίᾳ περὶ τῶν ὅπλων τῷ Τηλεμάχῳ ἔφη, ἀρξάμενος οὕτω, Τηλέμαχε καὶ ἑξῆς τοὺς ὀκτὼ στίχους ἐκείνους ἕως τοῦ, αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος. ἔνθα καὶ κεῖται πρὸ ἑνὸς ἑκάστου στίχου ἀστερίσκος δίχα ὀβελοῦ, ὡς ἐνταῦθα τῶν τοιούτων στίχων ἄριστα κειμένων, καὶ οἷον ἀστέρος δίκην λαμπόντων, οὐ μὴν ἐκεῖ, ὡς ἐπικρίνουσιν οἱ παλαιοί. Eust. Οἱ ἀστερίσκοι, ὅτι ἐνθάδε καλῶς, ὅτε ἑώρακε τὰ ὅπλα. Vulg. Harl. (Vind. 133. Ἀναγκαίως οἱ ἀστερίσκοι κ. τ. λ.) cf. ad π, 281. sequ.

κατθέμεν] (ed. ant. καταθέμεν) καταθεῖναι. Vulg.

V. 15. ἐκ δὲ καλεσσάμενος] ἔξω δὲ καλέσας. Id.

νῦν δ᾽ ἐθέλω καταθέσθαι, ἵν᾽ οὐ πυρὸς ἵξετ᾽ ἀϋτμή.
Τὸν δ᾽ αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
αἲ γὰρ δή ποτε, τέκνον, ἐπιφροσύνας ἀνέλοιο,
οἴκου κήδεσθαι, καὶ κτήματα πάντα φυλάσσειν.
ἀλλ᾽ ἄγε, τίς τοι ἔπειτα μετοιχομένη φάος οἴσει;
δμωὰς δ᾽ οὐκ εἴας προβλωσκέμεν, αἵ κεν ἔφαινον.
Τὴν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
ξεῖνος ὅδ᾽. οὐ γὰρ ἀεργὸν ἀνέξομαι, ὅς κεν ἐμῆς γε

V. 20. *καταθέσθαι*] Ὅρα ὅτι πρὸ ὀλίγων τεύχεα καταθέμεν εἰπὼν ἐνεργητικῶς ἀντὶ τοῦ καταθεῖναι, νῦν παθητικῶς καταθέσθαι τὸ αὐτό φησιν ἀκολούθως τῷ, ἐς θάλαμον καταθείομαι. Τὸ δέ, ἔντεα καλά, πρὸς διαστολὴν κεῖται τῆς αἰσχρίας, ἣν ἐκ του κάπνου ἔπασχον. ἀκηδέα δὲ καὶ νῦν τὰ ἠμελημένα. Τὸ δέ, καπνὸς ἀμέρδει, ἀντὶ τοῦ, σκοτίζει, στερίσκει τοῦ μέρδειν ὅ ἐστι λάμπειν; ὡς ἐντεῦθεν μηδὲ καλὰ εἶναι αὐτά, ἀλλὰ κατηκίσθαι. Eust.

V. 22. *ἐπιφροσύνας ἀνέλοιο*] φρόνιμος γένῃ (γενήσῃ Ambr. Q.). Vulg. Ἔστι δὲ ἐπιφροσύνη ἢ ἡ ἁπλῶς φρόνησις, πλεοναζούσης τῆς προθέσεως, ὡς καὶ ἐν τῷ ἐπιβουκόλος καὶ ἐπίουρος, ἢ ἡ πλείων φρόνησις, οἱονεὶ ἡ ἐπὶ τῇ προτέρᾳ ἐπιτιθεμένη, ἢ ὕστερόν ποτε, καθ᾽ ὁμοιότητα τοῦ Ἐπιμηθέως, ὃς ἀντίκειται τῷ Προμηθεῖ, καθὰ καὶ ὁ ἐπίφρων τῷ πρόφρονι. Τὸ δὲ ἀνέλοιο ἢ περιττὴν ἔχει καὶ αὐτὸ τὴν πρόθεσιν, ἢ κατὰ τὴν περὶ ψυχῶν Ἑλληνικὴν δόξαν ἀντὶ τοῦ ἀναλάβῃς εἴτουν ἀναμνησθείης εἴληπται. Eust.

V. 23. *κήδεσθαι*] ἐπιμελεῖσθαι. Vulg.

V. 25. *οὐκ εἴας*] οὐ συνεχώρεις. *προβλωσκέμεν*] προϊέναι, προέρχεσθαι. Id. Ὅτι κεῖται καὶ ἐνταῦθα τὸ βλώσκειν ἀντὶ τοῦ μολεῖν, ὡς καὶ πρὸ τούτων (v. ad π, 466.), μετὰ προθέσεως μέντοι. Eust.

V. 27. *ξεῖνος ὅδ᾽*] Ὁ ξεῖνος ὅδε φῶς μοι ποιήσει. Ambr. B.

οὐ γὰρ ἀεργὸν ἀνέξομαι] ἤγουν, οὐδεὶς ἀργὸς τραφήσεται παρ᾽ ἐμοί. λείπει δέ τι καὶ ἐνταῦθα ἐν τῷ, οὐ γὰρ ἀεργὸν ἀνέξομαι. λέγει γάρ, ὡς οὐκ ἂν ἀνασχοίμην ἀργὸν ὄντα ἢ διά-

χοίνικος ἅπτηται, καὶ τηλόθεν εἰληλουθώς.
Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
κληΐσσεν δὲ θύρας μεγάρων εὐναιεταόντων.
τὼ δ' ἄρ' ἀναΐξαντ' Ὀδυσεὺς καὶ φαίδιμος υἱὸς
ἐςφόρεον κόρυθάς τε καὶ ἀσπίδας ὀμφαλοέσσας,
ἔγχεά τ' ὀξυόεντα· πάροιθε δὲ Παλλὰς Ἀθήνη,
χρύσεον λύχνον ἔχουσα, φάος περικαλλὲς ἐποίει.

γοντα. Τὸ δέ, ἀνέξομαι ἀεργόν, τῆς ἀρχαίας Ἀτθίδος. οἱ γὰρ ὕστερον γενικῇ συντάσσουσι τὸ ἀνέξομαι. Eust. ἀεργόν] ῥᾴθυμον. Vulg.

V. 28. χοίνικος ἅπτηται] τροφὰς λαμβάνει. τό τε μετροῦν καὶ τὸ μετρούμενον χοῖνιξ. Vulg. Ἀντὶ τοῦ, δαπάνης, τροφῆς. ἅπαξ ἐνταῦθα ἡ φωνή. Ambr. Q. Χοῖνιξ νῦν ἡ τροφή. δίσημος γὰρ ἡ λέξις, ἐπί τε σκεύους τοῦ μετροῦντος, καὶ τοῦ μετρουμένου πράγματος. οὕτω δὲ καὶ ὁ μέδιμνος, καὶ τὸ τάλαντον, καὶ ὁ ξέστης, καὶ ἕτερα πολλά. Χοῖνιξ δὲ σκεῦός τι μετρικὸν σπορίμων, μεῖζον τοῦ παρὰ τοῖς παλαιοῖς καλουμένου μέτρου. — ἅπαξ δὲ ἡ λέξις εἴρηται ὧδε παρὰ τῷ ποιητῇ. καὶ ὅτι ὃς ἀργὸς χοίνικος ἐθέλει ἅπτεσθαι, καὶ μάλιστα νέος ὤν, κληθείη ἂν σιτόκουρος, κατὰ τό, ὀκνηρὸς πάντα μέλλων σιτόκουρος, ὅ φησι Μένανδρος, ὡς ὁ Ἀθηναῖος ἱστορεῖ (l. 6. p. 248. (451.)). Eust.

εἰληλουθώς] ἐλθών. Vulg.

V. 29. τῇ δ' ἄπτερος ἔπλετο μῦθος] v. ad ρ, 57.

V. 30. κληΐσεν] ἔκλεισεν. Vulg.

V. 31. ἀναΐξαντε] ἀνορμήσαντε (Ed. ant. ἀναΐξαντες, ἀνορμήσαντες). Id.

V. 32. ἐςφόρεον] Εἰςφορεῖν συνήθως λέγει τὸ εἰςκομίζειν, ᾧ ἐναντίον τὸ ἐκφορεῖν. Eust.

V. 33. πάροιθε δὲ Π. Ἀθ.] Δῆλον οὖν, ὅτι καὶ ἐν ἀρχῇ παρῆν. Ambr. Q. cf. v. 2.

V. 34. χρύσεον λύχνον ἔχουσα] Ἰστέον ὅτι ὁ μῦθος μὲν Ἀθηνᾶν ἐθέλει τὴν φωςφόρον παρεῖναι καὶ φαίνειν. φωςφόρος γὰρ αὐτὴ καὶ ἐν Ἰλιάδι ἐγράφη (v. Eust. ad Il. α, p. 83. et p. 123. 124.). ἐθέλει γὰρ Ὅμηρος μεγάλου ἔργου τοῦ κατὰ τῶν μνηστήρων καινά τινα προηγήσασθαι. ἡ δὲ ἀλληγορία τὴν τοῦ Ὀδυσσέως λέγει ἐν τούτοις δηλοῦσθαι φρόνησιν ὀρθῇ κελεύθῳ

δὴ τότε Τηλέμαχος προσεφώνεεν ὃν πατέρ' αἶψα·
Ὦ πάτερ, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
ἔμπης μοι τοῖχοι μεγάρων, καλαί τε μεσόδμαι,
εἰλάτιναί τε δοκοὶ καὶ κίονες ὑψόσ' ἔχοντες,
φαίνοντ' ὀφθαλμοῖς, ὡςεὶ πυρὸς αἰθομένοιο.
ἦ μάλα τις θεὸς ἔνδον, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.

τὰν σκότει ποδηγετοῦσαν, καὶ τὸ τοῦ μέλλοντος ἀφανὲς ὑπὸ φωτὶ γνώσεως ἄγουσαν. Χρύσεον δὲ λύχνον λαμπτῆρα λέγει, ὁποῖοί τινες πρὸ ὀλίγων καὶ οἱ τῶν μνηστήρων (σ, 306.), πλὴν ὅσον ἐκεῖνοι οὐ χρύσεοι. λύχνῳ γάρ φασι τῷ παρ' ἡμῖν οὐκ εἰςάγονται ἥρωες χρώμενοι. Τινὲς δὲ προςυπακούουσιν ἐνταῦθα τὸ ὡς, ἵνα λέγῃ, ἔχουσα ὡς χρύσεον λύχνον, ὅ ἐστιν ἀμαυρὸν διδοῦσά τι φῶς ὡς ἀπὸ λάμψεως καὶ στιλβηδόνος χρυσοῦ, ὃ καὶ περικαλλὲς ἔφη, ἵνα μὴ τῷ λαμπτῆρι φωραθῶσι τὰ ὅπλα μετακομίζοντες, καὶ ἵνα μηδὲ φαίνῃ δουλοπρεπῶς ἡ Ἀθηνᾶ. πολλῷ γὰρ σεμνότερον αὐτόματον ἐπιλάμψαι φῶς, ἢ δουλικῶς αὐτὴν ὑπηρετεῖν. Eust.

φάος] Ἔν τισι γρ. φόως. Harl.

V. 36. θαῦμα] ἔκπληξιν. Vulg. ὁρῶμαι] Τὸ ὁρῶμαι ἀντὶ τοῦ ὁρῶ. συνήθης δὲ Ὁμήρῳ ἡ τοιαύτη χρῆσις, ὡς δῆλον καὶ ἐκ τοῦ, ὅ,ττι ῥα θνήσκοντας ὁρᾶτο. Eust. v. ο, 462.

V. 37. ἔμπης] Τὸ ἔμπης μεταληπτικοῦ εἴδους ἐστὶ τοῦ δεδηλωμένου πολλαχοῦ. ἔμπης γὰρ τὸ ἴσως. αὐτὸ δὲ νῦν οὐ διστακτικόν, ἀλλ' ἶσον ὁμοιωματικῶς τῷ ἐπίσης, ἵνα λέγῃ ὅτι ἐξισάζονται τὰ πρὸ ὀφθαλμῶν πυρί. Eust. v. ad σ, 354.

μεσόδμαι] τὰ μεταξὺ τῶν κιόνων διαφράγματα, οἵτινες ἦσαν περὶ τοὺς τοίχους, τὰ ἄκρα βαστάζοντες τῶν δοκῶν. Vulg. Μεσόδμαι οὐ μόνον ἐπὶ νηῶν αἱ προδηλωθεῖσαι (v. ad β, 424.), ἀλλ' ἰδοὺ καὶ οἴκου μεσόδμαι, τὰ μεσόστυλα κατὰ Ἀρίσταρχον, καθ' ἑτέρους δὲ τὰ μεταξὺ τῶν δοκῶν. ἔνιοι δέ, διαφράγματα ἢ καὶ διαστήματα μεταξὺ τῶν κιόνων, οἵ φασι περὶ τοὺς τοίχους ἦσαν. Eust.

V. 38. ὑψόσ' ἔχοντες] τουτέστιν ἀναβαίνοντες καὶ ὡς οἷον ἀνίσχοντες ἢ καὶ ὕψου ἀνέχοντες τὰς δοκούς. Eust.

Τὸν δ' ἀπαμειβόμενος προςέφη πολύμητις Ὀδυσσεύς·
σίγα, καὶ κατὰ σὸν νόον ἴσχανε, μηδ' ἐρέεινε·
αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν.
ἀλλὰ σὺ μὲν κατάλεξαι· ἐγὼ δ' ὑπολείψομαι αὐτοῦ,
ὄφρα κ' ἔτι δμωὰς καὶ μητέρα σὴν ἐρεθίζω·
ἡ δέ μ' ὀδυρομένη εἰρήσεται ἀμφὶς ἕκαστα.
Ὣς φάτο· Τηλέμαχος δὲ δι' ἐκ μεγάροιο βεβήκει
κείων ἐς θάλαμον, δαΐδων ὕπο λαμπομενάων,
ἔνθα πάρος κοιμᾶθ', ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι·
ἔνθ' ἄρα καὶ τότ' ἔλεκτο, καὶ Ἠῶ δῖαν ἔμιμνεν.
αὐτὰρ ὁ ἐν μεγάρῳ ὑπελείπετο δῖος Ὀδυσσεύς,
μνηστήρεσσι φόνον σὺν Ἀθήνῃ μερμηρίζων.
Ἡ δ' ἴεν ἐκ θαλάμοιο περίφρων Πηνελόπεια,
Ἀρτέμιδι ἰκέλη ἠὲ χρυσέῃ Ἀφροδίτῃ.
τῇ παρὰ μὲν κλισίην πυρὶ κάτθεσαν, ἔνθ' ἄρ' ἔφιζεν,

V. 42. *ἴσχανε*] κάτεχε. Vulg.

V. 43. *αὕτη τοι δίκη ἐστὶ θεῶν*] Οὗτος ὁ τρόπος, τὸ ὡς βούλονται φαίνεσθαι. Id. Οὗτος ὁ τρόπος τῶν θεῶν, τὸ καταφωτίζειν τοὺς τόπους, ἐν οἷς τυγχάνουσιν. Ambr. Q. Αὕτη τοι δίκη ἐστὶ θεοῦ, τουτέστιν αὕτη θέμις θεοῦ, ἐν τῷ ἐπιφαίνεσθαι ποιεῖν οὕτω, καθὰ δηλαδὴ βλέπεις. Τινὲς δὲ γράφουσιν, *αὐτή τοι* δίκη ἐστὶ θεοῦ, τουτέστιν, οὐκ ἄλλος τις ὁ ἔνδον ἄρτι θεός, ἢ αὐτὴ ἡ δίκη, ἐσομένη σὺν ἡμῖν καὶ οὖσα ἤδη. Eust.

V. 44. *ὑπολείψομαι*] μενῶ. Vulg.

V. 46. *ἀμφὶς ἕκαστα*] Ἀντὶ τοῦ χωρίς, ὅ ἐστι κατὰ τάξιν. Ambr. B. Q.

V. 55. *τῇ παρὰ* (Ambr. *πάρα*) *μὲν κλισίην*] Ταύτῃ τὸν κλισμὸν ἐν τῷ καταφωτιζομένῳ τόπῳ ἔθηκαν ἢ πλησίον τοῦ πυρός. Id. ἤγουν ἐγγὺς πυρός, ἵνα ὁ ξεῖνος θερμαίνοιτο. Eust.

δινωτὴν ἐλέφαντι καὶ ἀργύρῳ· ἥν ποτε τέκτων
ποίησ' Ἰκμάλιος, καὶ ὑπὸ θρῆνυν ποσὶν ἧκεν,
προσφυέ' ἐξ αὐτῆς, ὅθ' ἐπὶ μέγα βάλλετο κῶας.
ἔνθα καθέζετ' ἔπειτα περίφρων Πηνελόπεια.
ἦλθον δὲ δμωαὶ λευκώλενοι ἐκ μεγάροιο.
αἱ δ' ἀπὸ μὲν σῖτον πολὺν ᾕρεον ἠδὲ τραπέζας,
καὶ δέπα, ἔνθεν ἄρ' ἄνδρες ὑπερμενέοντες ἔπινον·
πῦρ δ' ἀπὸ λαμπτήρων χαμάδις βάλον· ἄλλα δ' ἐπ' αὐτῶν
νήησαν ξύλα πολλά, φόως ἔμεν, ἠδὲ θέρεσθαι.
ἡ δ' Ὀδυσῆ' ἐνένιπτε Μελανθὼ δεύτερον αὖτις·
Ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις διὰ νύκτα

V. 56. *δινωτήν*] *Δινωτὴ ἴσως μὲν καὶ ἡ τορευτικὴ κατά τινα μέρη, μάλιστα δὲ ἡ κύκλῳ κεκοσμημένη ἐλεφαντίνοις ὀστοῖς καὶ ἀργύρῳ, καθά που καὶ κολεὸν ἐλέφαντος ἀμφιδεδινῆσθαι εἶπεν ὁ ποιητής* (*ϑ*, 405.). Eust. *Δεινωτήν. στρογγύλην.* Apollon. Sic etiam Hesych. *Δεινωτήν. πεποικιλμένην ἐν κύκλῳ, ἢ τετορνευμένην, ἢ τοῖς ἱμᾶσι διειλημμένην. χρῆται γὰρ Ὅμηρος ἐπὶ τῆς κοίτης Τηλεμάχου* (v. ibi Heins. et Albert.). Sed Id. *Δινωτοῖσι λέχεσι* (ex Il. *γ*, 391.). *στρογγύλοις, ἀπὸ τῆς τῶν κλινοπόδων περιφερείας.*

V. 58. *προσφυέα*] *προσπεφυκυῖαν, ἡνωμένην* (*τῇ κλισίῃ* add. Eust.). Vulg.

βάλλετο] *ἤτοι ἐπετίθετο.* Eust. *κῶας*] *Κῶας μέγα κατὰ ἡρωϊκὴν καὶ τοῦτο ἀφέλειαν. πρὸς ἑρμηνείαν δὲ τῆς ῥηθείσης κλισίης κεῖται τό, ἔνθα καθέζετο, ἵνα νοηθείη κλισίη νῦν τὸ ἀνάκλιντρον. ἡ γάρ τοι κοινότερον λεγομένη κλισία οὐ πρὸς καθέδραν, ἀλλὰ πρὸς ἐνοίκησιν ἐγίνετο, σκηνὴ οὖσα.* Eust.

V. 61. *ᾕρεον*] *ἀφῄρουν.* Vulg. *ἀφῃροῦντο.* Eust.

V. 64. *νήησαν*] *ἐσώρευσαν. θέρεσθαι*] *θέρμην ποιεῖν.* Vulg.

V. 65. *ἐνένιπτε*] v. ad *σ*, 321.

V. 66. *ἀνιήσεις*] *Ἰστέον ὅτι τό, ἐνθάδ' ἀνιήσεις, ἐκ τῶν προλαβόντων ὥρμηται, ἔνθα τις τὸν Ὀδυσσέα πτωχὸν ἀνιηρὸν εἶπε* (*ρ*, 220.), *καὶ ἀνίην δαιτός* (*ρ*, 446.). *βούλεται δὲ δριμέως*

δινεύων κατὰ οἶκον, ὀπιπτεύσεις δὲ γυναῖκας;
ἀλλ' ἔξελθε θύραζε, τάλαν, καὶ δαιτὸς ὄνησο·
ἢ τάχα καὶ δαλῷ βεβλημένος εἶσθα θύραζε.
Τὴν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
δαιμονίη, τί μοι ὧδ' ἐπέχεις κεκοτηότι θυμῷ;

εἰπεῖν ἡ δούλη, ὡς ἐν ἡμέρᾳ μὲν οὐδὲν καινὸν ἀνιηρὸν εἶναί σε. εἰ δὲ καὶ νῦν ἔτι ἐνθάδε ἀνιᾷς νυκτὸς οὔσης, ἀλλὰ τοῦτο πολὺν φόρτον ἔχει. Eust.

V. 67. δινεύων] δινούμενος, ἀναστρεφόμενος, ἵνα πέψῃς, ἐπεὶ μεθύεις. Ambr. B.

ὀπιπτεύσεις] Ὀπιπτεύειν τὸ περιέργως βλέπειν. ὅθεν καὶ ὁ παρθενοπίπης, καὶ ὁ παρὰ τῷ κωμικῷ (Aristoph. Equ. v. 407.) πυῤῥοπίπης. ὡς βούλεσθαι οὕτω τὴν Μελανθὼ γυναικοπίπην τὸν Ὀδυσσέα εἰπεῖν. Eust.

V. 68. ἀλλ' ἔξελθε] Ἐν τῷ, ἀλλ' ἔξελθε, ἢ παρέλκει ὁ ἀλλά σύνδεσμος, ἢ μᾶλλον ἐλλιπῶς ὁ λόγος ἔχει, ἵνα λέγῃ, ὅτι μηκέτι ἔνδον ἴσο ἀλλ' ἔξελθε. Eust.

δαιτὸς ὄνησο] Τὸ ὄνησο σύστοιχον τῷ ὀνήμενος καὶ ὄνηται καὶ ὄνητο. τὰ γὰρ διὰ τοῦ ᾱ, οἷον ὀνάμενος καὶ ὄνατο, οἱ μεθ' Ὅμηρον λέγουσι. βούλεται δ' ἐνταῦθα ἡ Μελανθὼ εἰπεῖν, ὡς εἰ καὶ τοῖς ἄλλοις ὀνείατα τὰ τῆς τροφῆς, ἀλλὰ σὺ ἀφραίνων οὐκ ἂν ὄναιο δαιτός, ἀπειλουμένη τὴν διὰ αἰκίας ἐξέρασιν (scr. ἐξέλασιν). Eust.

V. 69. δαλῷ] τῇ λαμπάδι. Vulg. Δαλὸν λαμπάδα λέγει ἐκ τῶν κατὰ τοὺς λαμπτῆρας. Eust.

εἶσθα] Σημείωσαι καὶ τό, εἶσθα θύραζε, διὰ διφθόγγου ἔχον τὴν παραλήγουσαν τοῦ εἶσθα. οὐ γάρ ἐστι ῥῆμα συνήθως ὑπαρκτικόν, ἀλλὰ τὸ πορεύῃ καὶ ἐξέρχῃ δηλοῖ, γενόμενον ἀπὸ τοῦ εἶμι, οὗ τὸ δεύτερον εἶς, καὶ κατὰ ἐπέκτασιν εἶσθα, ὁμοίως τῷ ἔφησθα, ἐθέλησθα, καὶ τοῖς τοιούτοις. Eust. Vind. 133. ἦσθα.

V. 71. δαιμονίη] θαυμασία (ἐπὶ κακῷ add. Ms. Barn., ut σ, 406.). Vulg.

ἐπέχεις] ἐπίκεισαι. Vulg. Τὸ ἐπέχεις ἀντὶ τοῦ, κατ' ἐμοῦ ἔχεις. ἐναντιότητα γάρ ποτε καὶ ἡ ἐπί πρόθεσις δηλοῖ, ὡς καὶ ἐν τῷ, ἑπτὰ ἐπὶ Θήβας, ἤγουν κατὰ Θηβῶν, καὶ ἐν τῷ ἐπιχαίρειν

ἢ ὅτι δὴ ῥυπόω, κακὰ δὲ χροΐ εἵματα εἷμαι,
πτωχεύω δ' ἀνὰ δῆμον; ἀναγκαίη γὰρ ἐπείγει.
τοιοῦτοι πτωχοὶ καὶ ἀλήμονες ἄνδρες ἔασιν.
καὶ γάρ ἐγώ ποτε οἶκον ἐν ἀνθρώποισιν ἔναιον
ὄλβιος ἀφνειόν, καὶ πολλάκι δόσκον ἀλήτῃ,
τοίῳ ὁποῖος ἔοι, καὶ ὅτευ κεχρημένος ἔλθοι·
ἦσαν δὲ δμῶες μάλα μυρίοι, ἄλλα τε πολλά,
οἷσίν τ' εὖ ζώουσι καὶ ἀφνειοὶ καλέονται.
ἀλλὰ Ζεὺς ἀλάπαξε Κρονίων – ἤθελε γάρ που –
τῷ νῦν μήποτε καὶ σύ, γύναι, ἀπὸ πᾶσαν ὀλέσσῃς
ἀγλαΐην, τῇ νῦν γε μετὰ δμωῇσι κέκασσαι·
μή πώς τοι δέσποινα κοτεσσαμένη χαλεπήνῃ,
ἢ Ὀδυσεὺς ἔλθῃ· ἔτι γὰρ καὶ ἐλπίδος αἶσα.
εἰ δ' ὁ μὲν ὣς ἀπόλωλε, καὶ οὐκέτι νόστιμός ἐστιν,
ἀλλ' ἤδη παῖς τοῖος Ἀπόλλωνός γε ἕκητι,

ἤγουν κατά τινος χαίρειν ἐχθρωδῶς, καὶ ἐν τῷ ἐπιβόητος, μοχθηρὰν ἔχων φήμην, καθ' οὗ δηλαδὴ βοαὶ γίνονται. Eust.

V. 72. οὐ λιπόω] τῇ πιμελῇ οὐ λελίπασμαι. Vulg. Al. ἢ ὅτι τοι ῥυπόω.

V. 73. ἀναγκαίη] Ἀντὶ τοῦ ἀνάγκη. πολλὰ δὲ τοιαῦτα. δεδήλωται πολλαχοῦ, ἐν οἷς καὶ ἀλκαία λέοντος, καὶ προνομαία ἐλέφαντος, ἢ ὡς εἰπεῖν ἀλκὴ καὶ προνομή. Eust.

V. 75. sequ. καὶ γὰρ ἐγὼ κ. τ. ἑ.] v. ρ, 419. sequ.

V. 82. τῇ — κέκασσαι] ἤγουν, ἣν ἔχεις ἐν ταῖς ἀμφιπόλοις ὑπερφέρουσα ἐκείνων. Eust. Τὸ δέ, μή ποτε πᾶσαν ὀλέσῃς ἀγλαΐαν, καὶ τό, μή πως τοι δέσποινα χαλεπήνῃ, συνήθη ἔλλειψιν ἔχουσι τοῦ ὅρα ἢ δέδιθι ἢ τοιούτου τινός. Id.

V. 83. μή πως] Ἤν πως, ἡ γραφή. τὰ δὲ εἰκαιότερα, μή πως. Harl.

V. 86. Ἀπόλλωνός γε ἕκητι] Τό, Ἀπόλλωνος ἕκητι, ἀντὶ τοῦ, διὰ τὸν καὶ ἐν ἄλλοις κουροτρόφον Ἀπόλλωνα. ὅθεν φασὶ καὶ ἡ δάφνη κουροθάλεια ἐλέχθη διὰ τὸ κουροτρόφον τοῦ ἐραστοῦ Ἀπόλλωνος. εἰ δὲ καὶ ἄλλους πολλοὺς βέλεσι κατακτείνει, ἀλλ' ἔχει καὶ τὸ κουροτροφεῖν ὡς ἥλιος, δύναμιν τῶν ἐναντίων

Τηλέμαχος· τὸν δ' οὔτις ἐνὶ μεγάροισι γυναικῶν
λήθει ἀτασθάλλουσ'· ἐπεὶ οὐκέτι τηλίκος ἐστίν.
Ὣς φάτο· τοῦ δ' ἤκουσε περίφρων Πηνελόπεια·
ἀμφίπολον δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Πάντως, θαρσαλέη, κύον ἀδδεές! οὔτι με λήθεις
ἔρδουσα μέγα ἔργον, ὃ σῇ κεφαλῇ ἀναμάξεις.
πάντα γὰρ εὖ ἤδησθ', ἐπεὶ ἐξ ἐμεῦ ἔκλυες αὐτῆς,
ὡς τὸν ξεῖνον ἔμελλον ἐνὶ μεγάροισιν ἐμοῖσιν

ἔχων καὶ αὐτός, καθὰ καὶ ὁ Ποσειδῶν σεισίχθων τέ ἐστι καὶ τὸ ἐναντίον γαιήοχος καὶ ἀσφάλιος, καὶ Ἄρτεμις δὲ ἀγανοῖς καὶ αὐτὴ βέλεσι κτείνουσα καὶ αὖθις λοχεία ὡς ἐπιστατοῦσα τοῖς λεχοῖς. Eust.

V. 88. ἀτασθάλλουσα] ὑβρίζουσα. Vulg.

τηλίκος ἐστίν] τοιοῦτο (scr. τοιοῦτος) τῆς ἡλικίας, ὡς ἀγνοεῖν τὰ γινόμενα. Ambr. B.

V. 91. θαρσαλέη, κ. ἀδδεές] Ἄμφω νῦν φαῦλα. θαρσαλέη τε γὰρ οὐκ ἐπὶ ἐπαίνῳ ἐῤῥέθη, ἀλλ' ἀντὶ τοῦ θρασεῖα, καθὰ καὶ ἀλλαχοῦ, καὶ ἀδεής δὲ ἡ μὴ ἁπλῶς ἄτρεστος, ἀλλὰ καὶ ἀναιδής. Eust. ἀδδεές] ἀταρβές. Vulg.

V. 92. ἔρδουσα] πράττουσα. σῇ κεφαλῇ ἀναμάξεις] πάντως ἑαυτῇ προστρίψη ἢ ἀναλήψει (rec. ed. προστρίψεις ἢ ἀναλήψεις). Id. Τὸ ἀναμάξεις ἀντὶ τοῦ προστρίψεις, σαφέστερον δὲ ἀντὶ τοῦ, προσκολληθῆναι ποιήσεις αὐτῇ τῇ σῇ κεφαλῇ. καὶ ἔστιν εὑρεῖν τοιαύτην ἔννοιαν καὶ παρὰ τῷ Σοφοκλεῖ, ἔνθα φαίνεται ταῖς πεφονευμένων κεφαλαῖς ἐναπομάττεσθαι τὸ ἐν τοῖς ξίφεσιν αἷμα, ὡς εἰς κεφαλὴν δῆθεν ἐκείνοις τρεπομένου τοῦ κακοῦ. προϋπόκειται μὲν οὖν πολύχρηστον ῥῆμα τὸ μάσσειν, ἐξ οὗ κατὰ παραγωγὴν μὲν τὸ ἁπλῶς ἀποσπογγίζειν, ἀναμάσσειν δὲ τὸ ἄνω ποιεῖν τοῦτο περὶ κεφαλήν, ἐκμάσσειν δὲ καὶ ἐκμάσσεσθαι καὶ τὸ ἀποσπογγίζειν μέν, μάλιστα δὲ τὸ ἔκ τινος τύπον αἴρειν τινά. Eust. Ἀναμάξεις. ἐναποψήσῃ. Apollon.

V. 93. ἤδησθα] ᾔδεις, ἠπίστασο. Vulg.

ἀμφὶ πόσει εἴρεσθαι· ἐπεὶ πυκινῶς ἀκάχημαι.
Ἦ ῥα, καὶ Εὐρυνόμην ταμίην πρὸς μῦθον ἔειπεν·
Εὐρυνόμη, φέρε δὴ δίφρον καὶ κῶας ἐπ' αὐτοῦ,
ὄφρα καθεζόμενος εἴπῃ ἔπος ἠδ' ἐπακούσῃ
ὁ ξεῖνος ἐμέθεν· ἐθέλω δέ μιν ἐξερέεσθαι.
Ὣς ἔφαθ'· ἡ δὲ μάλ' ὀτραλέως κατέθηκε φέρουσα
δίφρον ἐΰξεστον, καὶ ἐπ' αὐτῷ κῶας ἔβαλλεν·
ἔνθα καθέζετ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς.
τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
Ξεῖνε, τὸ μέν σε πρῶτον ἐγὼν εἰρήσομαι αὐτή·
τίς, πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γύναι, οὐκ ἄν τίς σε βροτῶν ἐπ' ἀπείρονα γαῖαν
νεικέοι· ἦ γάρ σευ κλέος οὐρανὸν εὐρὺν ἱκάνει·
ὥςτε τευ ἢ βασιλῆος ἀμύμονος, ὅςτε θεουδὴς
ἀνδράσιν ἐν πολλοῖσι καὶ ἰφθίμοισιν ἀνάσσων,

V. 95. *πυκινῶς*] Ἀντὶ τοῦ, πάνυ. Id.

V. 101. *δίφρον*] Οὐ θρόνον, ἀλλὰ εὐτελὲς ὑποπόδιον. Ambr. B. Huc pertinere videtur glossa Vulg. ed. ant. ἀεικέλιον, εὐτελῆ.

V. 108. *νεικέοι*] κακολογοίη. Vulg. διαβάλοι ἐπὶ κακοξενίῃ. Ambr. B.

V. 109. *ἢ βασιλῆος — θεουδής*] Τὸ ἤ ἀντὶ τοῦ καί, ὡς εἶναι ὥςπερ, καί τινος βασιλέως ἀμώμου. Ambr. Q. Ὅρα δὲ καὶ ὡς οὐκ ἠρκέσθη βασιλῆος εἰπών, βασιλεὺς γὰρ καὶ ὁ πικρὸς Ἔχετος (σ, 85.), ἀλλὰ προςέθετο ἀμύμονος. ἐπεὶ οὐδὲ τοῦτο μέγα, καὶ γὰρ ἀμύμων καὶ Αἴγισθος καὶ ἕτεροι φαῦλοι μὲν ἄλλως,

εὐδικίας ἀνέχησι· φέρησι δὲ γαῖα μέλαινα
πυροὺς καὶ κριθάς, βρίθησι δὲ δένδρεα καρπῷ,
τίκτει δ' ἔμπεδα μῆλα, θάλασσα δὲ παρέχει ἰχθῦς,
ἐξ εὐηγεσίης· ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ.
τῷ ἐμὲ νῦν τὰ μὲν ἄλλα μετάλλα σῷ ἐνὶ οἴκῳ·
μηδ' ἐμὸν ἐξερέεινε γένος καὶ πατρίδα γαῖαν,

ἄμωμοι δὲ κατ' ἀνδρίαν ἢ γένος ἤ τι τοιοῦτον, ἐπήγαγε καὶ τό, ὥςτε θεουδής. εἰ δὲ εἰς ταυτὸν ἥκει ἀμύμων καὶ θεουδής, λέγεται δὲ τὸ θεουδής, ὥςπερ καὶ τὸ θεοειδής, οὐκ ἐπ' αὐτοῦ θεοῦ, ἀλλ' ἐπὶ τοῦ ἐοικότος θεῷ, καλῶς ἄρα σεσημείωται ὑπὸ τῶν παλαιῶν, ὅτι ἀμύμων προσώποις μόνοις ἡρωϊκοῖς ἐπιτίθεται, ἤγουν θνητῶν ἐνδόξων ἀνθρώπων ἐστὶν ἐπίθετον. Eust.

V. 111. εὐδικίας] δικαιοσύνας. ἀνέχησι] ἄνω ἔχει, αὔξει. Vulg. ἐκδικίας] δικαίας κρίσεις. τὸ δὲ ἀνέχησι, αὔξει, ἀνυψοῖ. Ambr. B. Ἰστέον δὲ καὶ ὅτι τὸν τὰς εὐδικίας ἀνέχοντα, τουτέστι τιμῶντα, Ἡσίοδος ἰθυδίκην ὅ ἐστιν εὐθυδίκην φησί (v. ἐργ. 223. et 228.). τῇ δὲ εὐδικίᾳ δῆλον ὡς ἀντίκειται ἡ ἀδικία, κακοδικία τις οὖσα. Eust.

V. 112. βρίθησι] πεπλήρωται. Vulg. Eust. φέρησι et βρίθησι.

V. 113. ἔμπεδα] Ῥιανός, ἄσπετα. Harl.

V. 114. εὐηγεσίης (Ambr. εὐηργεσίης)] τῆς εὐδαιμονίας, ἢ τῆς εὐαρχίας, παρὰ τὸ εὖ ἡγεῖσθαι. κακῶς δ' οἱ σὺν τῷ ρ̄ γράφοντες, εὐηργεσίης (edd. rec. εὐεργεσίης). Vulg. Ambr. Q. Εὐηγεσία, ἡ εὐαρχία, ἐκ τοῦ ἡγῶ ἡγέσω, ἐξ οὗ καὶ ὁ ἡγεμών. ὅθεν καὶ εὔαρχος, λέξις βασιλικὴ παρὰ Λυκόφρονι ἐν τῷ, εὐάρχῳ μύλῳ, ἤγουν γρόνθῳ βασιλικῷ. ἔοικε δὲ γράφειν τινὰς καὶ εὐηργεσίας. διὸ παρασημειοῦνται οἱ παλαιοί, ὅτι καλῶς λέγουσιν οἱ σὺν τῷ ρ̄ γράφοντες. Eust. Εὐηγεσίης. εὐαρχίας. ἀπὸ τοῦ ἡγεῖσθαι. Apollon. ad qu. l. Toll. jungi jubet: ἐξ εὐηγεσίης ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ. ἐξ εὐηγεσίης. Vind. 133.

ἀρετῶσιν] ἐν ἀρετῇ καὶ εὐδαιμονίᾳ διάγωσιν. Vulg. ἐν ἀρετῇ ὦσι, καλῶς προύχοντος τοῦ ἡγεμόνος. Ambr. B. Q. Τὸ ἀρετῶσιν ἀντὶ τοῦ εὐδαιμονοῦσιν, ἵνα λέγῃ, ὡς καὶ προδεδήλωται (v. ad θ, 329. ν, 45. σ, 205. 251.), ἀρετὴν ἐνταῦθα τὴν ἐξ ἁπασῶν συγκρότησιν. Eust.

V. 116. μηδ' ἐμόν] Ἀρίσταρχος, μὴ δέ μοι. Harl.

μή μοι μᾶλλον θυμὸν ἐνιπλήσῃς ὀδυνάων,
μνησαμένῳ· μάλα δ' εἰμὶ πολύστονος. οὐδέ τί με χρὴ
οἴκῳ ἐν ἀλλοτρίῳ γοόωντά τε μυρόμενόν τε
ἧσθαι· ἐπεὶ κάκιον πενθήμεναι ἄκριτον αἰεί·
μήτις μοι δμωῶν νεμεσήσεται, ἠὲ σύγ' αὐτή,
φῇ δὲ δακρυπλώειν βεβαρηότα με φρένας οἴνῳ.
Τὸν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
ξεῖν', ἤτοι μὲν ἐμὴν ἀρετὴν, εἶδός τε δέμας τε,
ὤλεσαν ἀθάνατοι, ὅτε Ἴλιον εἰςανέβαινον
Ἀργεῖοι, μετὰ τοῖσι δ' ἐμὸς πόσις ἦεν Ὀδυσσεύς.
εἰ κεῖνός γ' ἐλθὼν τὸν ἐμὸν βίον ἀμφιπολεύοι,
μεῖζόν κε κλέος εἴη ἐμὸν καὶ κάλλιον οὕτω.
νῦν δ' ἄχομαι· τόσα γάρ μοι ἐπέσσευεν κακὰ δαίμων.
[ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι,
Δουλιχίῳ τε Σάμῃ τε καὶ ὑλήεντι Ζακύνθῳ,
οἵ τ' αὐτὴν Ἰθάκην εὐδείελον ἀμφινέμονται,
οἵ μ' ἀεκαζομένην μνῶνται, τρύχουσι δὲ οἶκον.]

V. 120. *πενθήμεναι ἄκριτον*] v. ad σ. 174.

V. 121. *νεμεσήσεται*] *μέμψεται.* Vulg.

V. 122. *δακρυπλώειν*] *δακρύων πληθύνειν.* Id. *Σύνθετον τὸ δακρυπλώειν, οἷον δάκρυσι πληθύνειν. τὸ δὲ πλώω πολλάκις τὸ πλήθειν σημαίνει.* Ambr. B. Q.

V. 124. *ἤτοι μὲν ἐμὴν ἀρετήν*] *Καὶ τὴν ψυχικὴν ἀρετὴν καὶ τὴν σωματικὴν ἀπώλεσαν, ἐξ οὗ ἀπῆλθεν Ὀδυσσεύς.* Ambr. Q. v. ad σ, 251. sequ.

V. 127. *τὸν ἐμ. βίον ἀμφιπολεύοι*] *τοῦ ἐμοῦ βίου προνοοῖτο.* Vulg. Ambr.

V. 130. sequ. *ὅσσοι γάρ κ. τ. ἑ.*] *Ἠθέτηνται λ'* (Porson. corr. δ', nempe v. 130—133.). *ἐν δὲ τοῖς πλείστοις οὐδὲ ἔφερον* (*ἐφέροντο* corr. Pors.). Harl.

V. 133. *ἀεκαζομένην*] *ἄκουσαν, μὴ βουλομένην.* Vulg.

τῷ οὔτε ξείνων ἐμπάζομαι, οὔθ' ἱκετάων,
οὔτε τι κηρύκων, οἳ δημιοεργοὶ ἔασιν·
ἀλλ' Ὀδυσῆ ποθέουσα, φίλον κατατήκομαι ἦτορ.
οἱ δὲ γάμον σπεύδουσιν· ἐγὼ δὲ δόλους τολυπεύω.
φᾶρος μέν μοι πρῶτον ἐνέπνευσε φρεσὶ δαίμων,
στησαμένῃ μέγαν ἱστὸν, ἐνὶ μεγάροισιν ὑφαίνειν,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' αὐτοῖς μετέειπον·
κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰςόκε φᾶρος
ἐκτελέσω — μή μοι μεταμώνια νήματ' ὄληται —
Λαέρτῃ ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
Μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο·
μήτις μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ,
αἴ κεν ἄτερ σπείρου κῆται, πολλὰ κτεατίσσας.
ὣς ἐφάμην· τοῖσιν δ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκον μέγαν ἱστόν,

V. 135. οἳ δημιοεργοὶ ἔασιν] οἳ δημοσίαν μοι χρείαν ἀγγέλλουσι. Ambr. B. Q. Ὅρα ὅτι δημιοεργοὶ οὐ μόνον μάντις καὶ ἰατρὸς καὶ τέκτων οἱ προῤῥηθέντες (v. ad ρ, 383.), ἀλλ' ἰδοὺ ἐνταῦθα καὶ οἱ κήρυκες. — Ἰστέον δὲ ὅτι δημιουργοὶ οὐ μόνον οἱ ῥηθέντες ἐλέγοντο, ἀλλ' ὕστερον καὶ οἱ τὰ πέμματα καὶ τὰς πλακοῦντας ποιοῦντες. καὶ δηλοῖ αὐτὸ Ἀθήναιος (l. 4. p. 172. (167.)). Eust.

V. 136. Ὀδυσῆ ποθέουσα] Ἀρίσταρχος, Ὀδυσσῆα ποθέουσα (Ὀδυσῆ scrib. ut Il. δ, 384. Τυδῆ, et ο, 339. Μηκιστῆ). Harl. Ἐν δὲ τῷ, Ὀδυσῆα ποθεῦσα φίλον (ita etiam cod. Harl.) κατατήκομαι ἦτορ, ἀμφίβολον εἴτε πρὸς τὸν Ὀδυσσέα εἴτε πρὸς τὸ ἦτορ κολλητέον τὸ φίλον. Eust. πόσιν] Γρ. φίλον. Vind. 5.

V. 137. τολυπεύω] κατεργάζομαι, μηχανῶμαι. Vulg. v. α, 238. ξ, 368.

V. 139. στησαμένη κ. τ. ἑ.] v. β, 94. sequ.

ὕφαινον] Harl. Vind. 133. Ἀρίσταρχος ὑφαίνειν. Harl.

νύκτας δ' ἀλλύεσκον, ἐπὴν δαΐδας παραθείμην.
ὣς τρίετες μὲν ἔληθον ἐγὼ, καὶ ἔπειθον Ἀχαιούς·
ἀλλ' ὅτε τέτρατον ἦλθεν ἔτος, καὶ ἐπήλυθον ὧραι,
[μηνῶν φθινόντων, περὶ δ' ἤματα πόλλ' ἐτελέσθη,]
καὶ τότε δή με, διὰ δμωὰς, κύνας οὐκ ἀλεγούσας,
εἷλον ἐπελθόντες, καὶ ὁμόκλησαν ἐπέεσσιν.
ὣς τὸ μὲν ἐξετέλεσσα, καὶ οὐκ ἐθέλουσ' ὑπ' ἀνάγκης.
νῦν δ' οὔτ' ἐκφυγέειν δύναμαι γάμον, οὔτε τιν' ἄλλην
μῆτιν ἔθ' εὑρίσκω· μάλα δ' ὀτρύνουσι τοκῆες
γήμασθ'· ἀσχαλάᾳ δὲ πάϊς βίοτον κατεδόντων,
γιγνώσκων· ἤδη γὰρ ἀνὴρ οἷός τε μάλιστα
οἴκου κήδεσθαι, τῷτε Ζεὺς κῦδος ὀπάζει.
ἀλλὰ καὶ ὥς μοι εἰπὲ τεὸν γένος, ὁππόθεν ἐσσί·
οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου, οὐδ' ἀπὸ πέτρης.

V. 150. ἀλλύεσκον] ἀνέλυον. Vulg.

V. 153. ἐτελέσθη] ἐτελειώθη, ἐπράχθη. Id.

V. 154. οὐκ ἀλεγούσας] φροντίδα μὴ ποιουμένας. Id.

V. 155. ὁμόκλησαν] (edd. ant. ὁμοκλήσαντ') ὁμοῦ πάντες ἐπέπληξαν. Id. cf. ὁμοκλαί. ρ, 189.

V. 161. ὀπάζει] παρέχει. Vulg. (Ed. ant. ὀπάζοι. παρέσχει. Scr. παράσχοι. Harl. ὀπάζῃ, οι supra scr. vocali η.) Ὀπάζειν οὐ μόνον τὸ παρέχειν, ὡς καὶ νῦν, ἀλλ' ἔστιν ὅτε καὶ τὸ διώκειν. Eust.

V. 163. ἀπὸ δρυὸς — παλαιφάτου] παλαιὰ φατιζομένης, περὶ ἧς παλαιὰ μυθεύεται. οἱ γὰρ παλαιοὶ ὑπελάμβανον, τοὺς πρὸ ἑαυτῶν ἐκ δρυῶν καὶ πετρῶν γεγενῆσθαι, διὰ τὸ τὰς τικτούσας εἰς τὰ στελέχη καὶ σπήλαια ἐντιθέναι (Ambr. ἐκτιθέναι) τὰ παιδία. ἔστι δὲ ὁ λόγος, οὐ γὰρ δὴ ἐκείνων εἶ σύ. πιθανὸν δὲ τοὺς πάλαι ἀνθρώπους ἐν ταῖς ἐρημίαις τὰς μίξεις ποιεῖσθαι πλησίον δρυῶν καὶ πετρῶν (Ambr. πλησίον πετρῶν καὶ

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
οὐκέτ' ἀπολλήξεις τὸν ἐμὸν γόνον ἐξερέουσα;
ἀλλ' ἔκ τοι ἐρέω· ἦ μέν μ' ἀχέεσσί γε δώσεις

δένδρων). Τινὲς δέ, παλαιφάγου, ἐπειδὴ οἱ παλαιοὶ ἐβαλανοφάγουν. παρὸ (edd. ant. παρά, Barn. παρὰ τοῦτο) καὶ φηγός, ὡς φαγός τις οὖσα. Vulg. Ambr. Q. Harl. *Παλαιφάτου* ἢ *παλαιφάγου*. — Παροιμιώδης ὁ λόγος, καὶ καταφατικῶς μὲν ἀπὸ δρυὸς ἢ ἀπὸ πέτρης εἶναί τις λέγεται, ὅτε οὐκ ἔστι γένος αὐτοῦ εἰπεῖν, ἀποφατικῶς δέ φαμεν, ὡς οὐκ ἔστι τις ἀπὸ δρυὸς παλαιφάτου ἢ ἀπὸ πέτρης, ὅτε οὐκ ἂν ἔχοι σιγῆσαι πόθεν ἐστίν. — εἴληπται δὲ ἡ παροιμία ἐκ τοῦ παλαιοῦ βίου, ὅτε ἐν σπηλαίοις καὶ δρυῶν ἤγουν δένδρων κοιλότησι, ταυτὸν δ' εἰπεῖν γεράνδρύων, ἐξετίθεντο τὰ νεογνὰ ὑπὸ τῶν γεννησαμένων κατὰ ἀπορίαν βίου, οἷς ἀναληφθεῖσι καὶ ἐκτεθραμμένοις δρύες τουτέστι δένδρα κοῦφα εἰς μητέρας ἐνεγράφοντο κατὰ τοὺς ἐκ μελιῶν, οὕς φησιν Ἡσίοδος (ἐργ. v. 144.), ἢ καὶ πέτραι σπηλαιώδεις. ὅτι τοίνυν οἱ τοιοῦτοι οὐκ εἶχον γονεῖς ἀνθρώπους λέγειν, ὡς ἐκ δρυῶν καὶ ῥωχμῶν ἑτέρων ἀνειλημμένοι, ἐξέπεσε παροιμία ἐκεῖθεν ἐπὶ τῶν ἀγενεαλογήτων τὸ ἐκ δρυὸς αὐτοὺς εἶναι ἢ ἀπὸ πέτρης. καὶ τοῦτο μὲν οὕτω, ἵνα λέγῃ ἡ Πηνελόπη τῷ ξείνῳ, εἰπέ μοι τὸ σὸν κατ' ἀνθρώπους γένος, οὐ γὰρ δήπου ἐκ δρυὸς ἢ πέτρας γέγονας, ὡς οἱ παλαιότατοι ἐβούλοντο λέγειν ἐκπλήττοντες τοὺς πολλούς. ἔστι δὲ καὶ ἄλλως νοηθῆναι τὸ ῥητὸν οὕτως ἁπλούστερον. εἰπέ μοι τὰ κατὰ σέ, οὐ γὰρ ἂν εἴποις χρόνῳ μακρῷ ἀπειλῆφθαι τὴν περὶ αὐτῶν μνήμην, ὡς τὰ ἐκ δρυὸς καὶ πέτρας παλαιὰ διηγήματα. νοῆσαι δὲ τὸ παροιμιῶδες τοῦτο ἐνταῦθα ἐπὶ ἀγριότητος, οὐχ Ὁμηρικόν ἐστι. — Ἰστέον δὲ ὡς εἴπερ γράφεται, ἀπὸ δρυὸς παλαιφάτου (scr. παλαιφάγου), ἀφορμὴν ἡ λέξις ἐτυμολογικὴν ἐνδίδωσι τῆς φηγοῦ. δῆλον γὰρ ὡς φηγὸς ἡ δρῦς, ἐπεὶ προκατῆρξε τοῖς ἀνθρώποις αὐτὴ τοῦ φαγεῖν. Eust. *Παλαιφάτου* (scr. Παλαιφάγου, quod exhibet Hesych.). ὁ Ἀπίων. πάλαι ἐσθιομένης (cit. n. l.). Apollon. Sed Id. sub v. Ἀπό citat: ἀπὸ δρυὸς παλαιφάτου. Etymol. M. Παλαιφάτου.

V. 166. *ἀπολλήξεις*] ἀποπαύσῃ. Vulg.

V. 167. *ἀχέεσσι*] λύπαις. *δώσεις*] ἐμβαλεῖς. Id. Ὡς ἐγὼ

πλείοσιν ἢ ἔχομαι· ἡ γὰρ δίκη, ὁππότε πάτρης
ἧς ἀπέῃσιν ἀνὴρ τόσσον χρόνον, ὅσσον ἐγὼ νῦν,
πολλὰ βροτῶν ἐπὶ ἄστε' ἀλώμενος, ἄλγεα πά-
σχων·
ἀλλὰ καὶ ὧς ἐρέω, ὅ μ' ἀνείρεαι ἠδὲ μεταλλᾷς.
Κρήτη τις γαῖ' ἐστί, μέσῳ ἐνὶ οἴνοπι πόντῳ,
καλὴ καὶ πίειρα, περίῤῥυτος· ἐν δ' ἄνθρωποι
πολλοί, ἀπειρέσιοι, καὶ ἐννήκοντα πόληες –
ἄλλη δ' ἄλλων γλῶσσα μεμιγμένη· ἐν μὲν Ἀχαιοί,

μὲν ἠξίουν μὴ ἀνακινῆσαί μοι τὴν μνήμην τῶν ἐμῶν κακῶν, σὺ δὲ ἀνηκουστοῦσα πλεῖόν με τῶν συνήθων λυπήσεις. Eust.

V. 169. ἀπέῃσιν] ἄπεστιν. Vulg.

V. 173. πίειρα] λιπαρά. περίῤῥυτος] ὑδρηλή. Id. Ἀντὶ τοῦ, περιῤῥεομένη θαλάσσῃ. οὐ γάρ ἐστι μέσον ὡς κέντρον τοιοῦτον ἐπὶ τῆς Ὠγυγίας, ὅθι τ' ὀμφαλός ἐστι θαλάσσης (α, 50.). Ambr. B. Q. Τὸ περίῤῥυτος κοινὸν πάσης νήσου ἐπίθετον, ἐπεὶ καὶ πᾶσαι ἀμφίαλοι. ἴσως δὲ καὶ τὸ πέριξ ἐντὸς πολυΰδρον τῆς νήσου δηλοῖ, οὗ χάριν καλή ἐστι καὶ πίειρα. Eust.

V. 174. ἀπειρέσιοι] Ἐπήνεγκε τῷ πολλοί τὸ ἀπειρέσιοι αὐξήσεως ἕνεκεν. Vulg. Τὸ ἀπειρέσιοι διασάφησίς ἐστι καὶ ἐπίτασις τοῦ πολλοί. Eust.

ἐννήκοντα πόληες] Ἐννηκοντάπολις νῦν Κρήτη ἡ ἐν Ἰλιάδι (β, 649.) ἑκατόμπολις, κατὰ περιπέτειαν. ἀναστατωθῆναι γάρ φασι δέκα πόλεις ὑπὸ Ἰδομενέως ἐπανελθόντος ἐξ Ἰλίου, ὅτε Λεῦκος αὐτὸν ἀπήλαυνεν, ὃν θετὸν παῖδα ὄντα φύλακα τῆς βασιλείας κατέλιπε, δράκοντα θρεπτόν, ὡς ὁ Λυκόφρων (v. 1223) φησί. τὰς δὲ τοιαύτας δέκα πόλεις προσκτισθῆναί φασιν ὕστερον μετὰ τὰ Τρωϊκά. καὶ οὕτω μέν τινες συνεβίβασαν τὴν ἐν Ἰλιάδι μὲν ἑκατόμπολιν, ἐνταῦθα δὲ ἐννηκοντάπολιν. ἕτεροι δὲ οὐχ ὡρισμένως ἐκεῖ νοοῦσι τὴν ἑκατόμπολιν, ἀλλ' ἁπλῶς τὴν πολύπολιν. καὶ εἴωθεν οὕτω ποτὲ λαμβάνεσθαι τὸ ἑκατόν, διὰ τὸ πρεσβεῖον τοῦ ἐντελοῦς ἀριθμοῦ, κατὰ τό, ἑκατὸν θύσανοι (Il. β, 448.), καί, ἑκατὸν πόλεων πρυλέεσσιν. ὥστε ἑκατόμπολις Κρήτη ἡ πολύπολις, ἢ καὶ ἀληθῶς ἑκατὸν ἔχουσα πόλεις, ὥσπερ ποτὲ καὶ ἡ Λακωνική. Eust. cf. Strabo 10, 4, 15. (p. 479.).

V. 175. γλῶσσα] Τὴν διάλεκτον γλῶσσαν λέγει, ἐξ ὀργά-

ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες,
Δωριέες τε τριχάϊκες, δῖοί τε Πελασγοί —

νου αὐτῆς δηλῶν τὸ ἀποτελούμενον, τὴν φωνήν. Ἔνθα φασὶν οἱ παλαιοί, πλάττειν τὸν Ὀδυσσέα τὴν τῶν γλωσσῶν ἀνάμιξιν, ἵνα μὴ ἐλεγχθῇ ὡς μὴ τῇ τῶν Κρητῶν γλώσσῃ χρώμενος ἢ χαριζόμενος. Eust.

Ἀχαιοί] Μυκηναίους τινὲς ἐνταῦθά φασι τοὺς Ἀχαιούς, εἰπόντες ὡς μετὰ τὰ Ἰλιακὰ Ταλθύβιος ἐκ Μυκηνῶν ἤγαγεν ἐκεῖ ἀποικίαν. Id.

V. 176. Ἐτεόκρητες] Οἱ αὐτόχθονες Κρῆτες· ἢ οἱ ἰθαγενεῖς. Vulg. Ἐτεόκρητας, οἱ ἀληθῶς ἢ ἀληθεῖς Κρῆτες, εἰ καὶ ἄλλως Κρῆτες ἀεὶ ψεῦσται. αὐτόχθονες οὖν οἱ Ἐτεόκρητες, ἰθαγενεῖς, γνήσιοι τῆς χώρας, λεχθέντες Ἐτεόκρητες ὡς πρὸς τοὺς ἐπήλυδας, καθὰ καὶ τῷ γεωγράφῳ δοκεῖ (v. Strabon. l. 10. p. 475.). Eust.

Κύδωνες] Κύδωνες ἀπὸ Κύδωνός φασι τοῦ Ἀπόλλωνος Id.

V. 177. Δωριέες] Δωριεῖς οὗτοι ἄποικοι τῆς τῶν Δωριέων χώρας, ἧς μοῖραν ἔσχε καὶ ἡ τῶν Σικελῶν γῆ καὶ ἄλλαι δὲ πόλεις τῶν περὶ τὰς ἐκεῖ χέρσους. Id.

τριχάϊκες] Τριχάϊκες Δωριεῖς, ἐπείπερ οἱ μὲν Εὔβοιαν, οἱ δὲ Πελοπόννησον, οἱ δὲ Κρήτην ᾤκησαν. ἕτεροι δὲ τοὺς πολεμικούς φασι (Vulg. Ἀπολλώνιος δὲ τοὺς πολεμικοὺς λέγει), καθ' ὁμοιότητα τοῦ, κορυθάϊκι πολεμιστῇ (Il. χ, 132.), οὗ δηλαδὴ αἱ τῆς περικεφαλαίας τρίχες ἀΐσσουσι τουτέστι σείονται κατὰ πόλεμον, ὡς δοκεῖν οὕτω τό, τριχάϊκι (scr. κορυθάϊκι) πολεμιστῇ, ἀναγινώσκεσθαι καθ' ὑφέν. ἄλλοι δὲ τοὺς τριλόφους φασίν, οἷς λόφοις τρίχες ἔνεισιν. εἰσὶ δὲ οἳ καὶ κούφους ὀρχηστὰς εἶπον τοὺς τριχάικας, ἐπεὶ καὶ ἀρετὴ Κρητῶν·ἡ κατὰ πόλεμον ὀρχηστική. ὁ δὲ γεωγράφος (l. 10. p. 476.) οὕτω καλεῖσθαι μόνους τοὺς κατὰ τὴν Κρήτην Δωριεῖς ἐμφαίνων, δηλοῖ ὀνομασθῆναι οὕτω οὐ μόνον διὰ τριλοφίαν, καὶ ὅτι τρίχινοι αὐτοῖς οἱ λόφοι, ἀλλὰ καὶ διότι ἐκ Παρνασοῦ ἐλθόντες τρεῖς πόλεις ᾤκισαν. Eust. Τριχάϊκες. ἡ μὲν λέξις τῶν ἅπαξ εἰρημένων. — δηλοῖ δὲ τοὺς μετὰ τῶν ἱππείων τριχῶν ἀΐσσοντας, καθὸ καί, κορυθάϊκι πολεμιστῇ. ἔνιοι δὲ τοὺς τριχόθεν ἀΐξαντας καὶ ὁρμήσαντας ἐκ τῆς λεγομένης τριπόλεως Δωρίδος. βέλτιον δὲ τὸ πρῶτον καὶ Ὁμηρικώτερον. cf. Toll. ad h. l. et Tzschuck. ad Strabon. l. c.

τῇσι δ' ἐνὶ Κνωσός, μεγάλη πόλις· ἔνθα τε Μίνως
ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστής,

δῖοι] οἱ εὐγενέστατοι. Vulg. Πελασγοί] Πελασγοὺς δέ γέ φασι νῦν λέγεσθαι τοὺς μετὰ Κερκάφου εἰς Κρήτην ἀποικισθέντας ἐκ τῆς Φθιώτιδος. Περιώνυμον δὲ τὸ τῶν ἁπλῶς Πελασγῶν φῦλον καὶ πολυσπερὲς διὰ τὸ πλανητικόν. Eust.

V. 178. μεγάλη πόλις] Μεγάλην πόλιν ὁ ποιητὴς ἐπιθετικῶς λέγει, οὐ μὴν κατὰ τὴν ἐν Πελοποννήσῳ ὑφὲν κυριωνύμως οὕτω καλουμένην, ἧς ὁ πολίτης Μεγαλοπολίτης. Eust.

Μίνως] Μυθολογεῖται, τὸν Εὐρώπης καὶ Διὸς Μίνωα ἐν Κρήτῃ οἰκοῦντα διὰ ἐνναετίας ἀφικνεῖσθαι πρὸς τὸν πατέρα παιδευθησόμενον, καὶ ὡς παρὰ σοφιστοῦ μανθάνειν τὰ δέοντα, οὐ μὴν ἀλλὰ καὶ τοῦ χρόνου τὰς ἀποδείξεις διδόναι, ὧν μεμαθήκοι ἐν τῇ προτέρᾳ ἐνναετηρίδι παρὰ τοῦ Διός, ὅθεν καὶ τῶν πάντων αὐτῶν βασιλέα καταστῆσαι. τῇ τε γνώμῃ καὶ τῇ κρίσει διενεγκεῖν, ὥστε ἐν Ἅιδου δικαστὴν γενέσθαι τῶν ἀδίκων ψυχῶν. ἡ δὲ ἱστορία παρὰ Πλάτωνι (Min. fol. 319. v. Boeckh. ad Plat. Min. p. 60.). Vulg. Ὁ Μίνως οὗτος ζηλωτής ἐστιν ἀρχαίου Ῥαδαμάνθυος κατά τινας ὁμωνύμου τῷ οἰκείῳ ἀδελφῷ. ὃν δὴ Ῥαδάμανθυν ἐκεῖνον μιμούμενος ὁ Μίνως, δι' ἐννέα ἐτῶν ἀναβαίνων, ὡς ὁ γεωγράφος φησίν (l. 16. p. 762.), ἐπὶ τὸ τοῦ Διὸς ἄντρον καὶ διατρίβων ἐκεῖ, κατέβαινεν ἔχων συντεταγμένα παραγγέλματα, ἃ ἔλεγεν εἶναι τοῦ Διός, ἵνα δηλαδὴ πείθειν οὕτως ἔχῃ δεισιδαιμονοῦντας τοὺς ὑπηκόους. οἱ καὶ ἄλλως ὡς δικαίῳ αὐτῷ ἔχαιρον, ἐπειδὴ τὴν θάλασσαν ἐξεκάθαιρε λῃστῶν. Eust. (Ceterum Vulg. ed. ant. lemma hujus Scholii ita exhibent: τῇσι δ' ἐνὶ Κνωσσὸς μεγάλη πόλις, ἐνθάδε Μίνως ἐννέωρος βασίλευεν Διὸς μεγάλου ὀαριστύς.)

V. 179. ἐννέωρος] Οἱ μέν, ὅτι διὰ ἐννέα ἐτῶν τῷ πατρὶ συνὼν (ed. ant. συνιὼν) Διῒ παρ' αὐτοῦ ἐμάνθανεν, ἅτινα εἴη δίκαια. οἱ δέ, ὅτι ἐνναετὴς ὢν βασιλεύειν ἤρξατο. οἱ δέ, ὅτι ἐπ' ἐννέα ἔτη ἐβασίλευσεν, ὁμιλητὴς γενόμενος τοῦ Διός. οἱ δέ, ὅτι ἐπ' ἐννέα ἔτη παρὰ τῷ πατρὶ ἐπαιδεύθη. φασὶ δὲ ἕτεροι, ὡς ταῖς τῶν βασιλέων γνώμαις οὐ ῥᾳδίως πείθονται οἱ ὑποτεταγμένοι. ἀνιόντα οὖν αὐτὸν εἰς τὴν Ἴδην διὰ ἐνναετίας συνθεῖναι νόμους, καὶ φέροντα διαβεβαιοῦσθαι, ὡς ὑπὸ τοῦ Διὸς εἶεν δεδομένοι. Vulg. Ἕτεροι τὸ ἐννέωρος συντιθέντες μετὰ τοῦ ὀαριστήν, φασὶν ὅτι ἐπὶ ἐννέα ἔτη παρὰ τῷ πατρὶ Διῒ ἐπαιδεύθη.

πατρὸς ἐμοῖο πατὴρ, μεγαθύμου Δευκαλίωνος.
Δευκαλίων δ' ἐμὲ τίκτε καὶ Ἰδομενῆα ἄνακτα·
ἀλλ' ὁ μὲν ἐν νήεσσι κορωνίσιν Ἴλιον εἴσω
ᾤχεθ' ἅμ' Ἀτρείδῃσιν· ἐμοὶ δ' ὄνομα κλυτὸν Αἴθων,
ὁπλότερος γενεῇ· ὁ δ' ἄρα πρότερος καὶ ἀρείων.
ἔνθ' Ὀδυσῆα ἐγὼν ἰδόμην, καὶ ξείνια δῶκα.
καὶ γὰρ τὸν Κρήτηνδε κατήγαγεν ἲς ἀνέμοιο,
ἱέμενον Τροίηνδε, παραπλάγξασα Μαλειῶν·
στῆσε δ' ἐν Ἀμνισῷ, ὅθι τε σπέος Εἰλειθυίης,
ἐν λιμέσιν χαλεποῖσι· μόγις δ' ὑπάλυξεν ἀέλλας.
αὐτίκα δ' Ἰδομενῆα μετάλλα, ἄστυδ' ἀνελθών.

ἄλλοι δέ, ὅτι ἐννναετὴς ὢν βασιλεύειν ἤρξατο. τινὲς δέ, ὅτι ἐπὶ ἐννέα ἔτη ἐβασίλευσε. τοῦτο γάρ ἐστι Διὸς ὀαριστὴν εἶναι, τὸ βασιλεύειν δηλαδή, ἐπεὶ καὶ Διοτρεφεῖς καὶ Διογενεῖς οἱ βασιλεῖς. Eust. cf. Apollon. sub v. Ἐννέωροι. ὀαριστής (ed. ant. ὀαριστύς) ὁμιλητής. Vulg. Apollon. sub v. Ἐνννέωροι. Ὀαριστής, τουτέστιν ὁμιλητής, φοιτητής. Eust. Ὀαριστὴς συνουσιαστής ἐστιν ἐν λόγοις. Plato l. c.

V. 183. κλυτόν] ᾧ ἐκλυόμην καὶ ἐκαλούμην ὀνόματι. Αἴθων] Ὄνομα κύριον. Vulg. Ὄνομα κλυτόν, ὅπερ ἀκούει τις ἐξ ἁπάντων. σύνθετον δὲ ἐξ αὐτῶν κύριον Ὀνομάκλυτος. Πρὸς δὲ τὸν Αἴθωνα τοῦτον ἡ τοῦ Λυκόφρονος ἀστεϊζομένη Κασάνδρα Αἴθωνος αὐτάδελφον ἐν πλασταῖς γραφαῖς τὸν Ὀδυσσέα καλεῖ, πλαστὰς εἰποῦσα γραφὰς τὰ τοῦ Ὀδυσσέως παρ' Ὁμήρῳ ψεύσματα. Eust.

V. 187. παραπλάγξασα] ἀποπλανήσασα. Vulg. cf. ι, 81.

V. 188. στῆσε δ' ἐν Ἀμνισῷ] προσώρμισε. Κνωσσοῦ δὲ ἐπίνειον Ἀμνισός. ἔστι δὲ καὶ ποταμὸς Κρήτης. Ambr. B. Ἀμνισὸς πόλις καὶ ποταμὸς Κρήτης. Vulg. Μίνω φασὶν ἐπινείῳ χρήσασθαι τῷ Ἀμνισῷ, ὅπου τὸ τῆς Εἰλειθυίας ἱερόν. Strabo l. 10. p. 476. — Εἰλειθυίης] τῆς ἀφωρισμένης ταῖς τικτούσαις θεᾶς. Vulg.

V. 190. μετάλλα] ἐπεζήτει. Vulg.

ξεῖνον γάρ οἱ ἔφασκε φίλον τ' ἔμεν' αἰδοῖόν τε.
τῷ δ' ἤδη δεκάτη ἢ ἑνδεκάτη πέλεν ἠὼς
οἰχομένῳ σὺν νηυσὶ κορωνίσιν Ἴλιον εἴσω.
τὸν μὲν ἐγὼ πρὸς δώματ' ἄγων εὖ ἐξείνισσα,
ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων·
καὶ οἷ, τοῖς τ' ἄλλοις ἑτάροις, οἳ ἅμ' αὐτῷ ἕποντο,
δημόθεν ἄλφιτα δῶκα καὶ αἴθοπα οἶνον ἀγείρας,
καὶ βοῦς ἱρεύσασθαι· ἵνα πλησαίατο θυμόν.
ἔνθα δυώδεκα μὲν μένον ἤματα δῖοι Ἀχαιοί·
εἶλει γὰρ Βορέης ἄνεμος μέγας, οὐδ' ἐπὶ γαίῃ
εἴα ἵστασθαι· χαλεπὸς δέ τις ὦρορε δαίμων·
τῇ τρισκαιδεκάτῃ δ' ἄνεμος πέσε· τοὶ δ' ἀνάγοντο.
Ἴσκε ψεύδεα πολλὰ λέγων, ἐτύμοισιν ὁμοῖα·

V. 194. ἐξείνισα] φιλικῶς ὑπεδεξάμην. Id.

V. 195. φιλέων] φιλοφρονούμενος. Id.

V. 197. δημόθεν] ἐκ τῆς πόλεως. Id. *Τὸ δημόθεν δοῦναι ἄλφιτα καὶ οἶνον καὶ ἑξῆς δηλοῖ ἔθος εἶναι ξενίζεσθαι δημοσίᾳ τοὺς ἀξίους. οὕτω καὶ Ἀλκίνοος καὶ οἱ σὺν αὐτῷ ἄριστοι ἀνδρακὰς δόντες δῶρα τῷ Ὀδυσσεῖ, ὕστερον ἀγειρόμενοι κατὰ δῆμον ἐποίησαν τὰ ῥηθέντα ἐκεῖ.* (ν, 14. sequ.) Eust.

V. 198. ἱερεύσασθαι] ἱερεῦσαι. Vulg. *Βοῦς ἱερεῦσαι καὶ νῦν τὸ σφαγιάσαι.* Eust. v. β, 56. κ, 524. ξ, 74. ρ, 180. 535.

πλησαίατο] πληρώσειαν, κορέσειαν. Vulg. *Τό, πλησαίατο θυμόν, ἶσόν ἐστι τῷ, κορέσαιντο. ἐπῆκται δὲ πρὸς ἑρμηνείαν τοῦ ἱερεύσασθαι, ἵνα μὴ ἐπὶ θυσίας ἡ λέξις νοηθείη, ἀλλ' ἀντὶ τοῦ σφαγιάσασθαι.* Eust.

V. 202. πέσεν] Ἀντὶ τοῦ ἐπαύσατο. Vulg. *Κεῖται τό, ἄνεμος πέσεν, ἀντὶ τοῦ, ἐπαύσατο, κοινότερον φρασθὲν ἀφελῶς πρὸς ἀκολουθίαν τοῦ, ἐστόρεσε δὲ θεὸς πόντον. ἔνθα γὰρ τὸ στορέσαι καὶ στρῶσαι, οἰκεῖον ἐκεῖ καὶ τὸ πεσεῖν.* Eust.

V. 203. ἴσκε] *Τινὲς βούλονται τὸ ἔλεγε* (ita Barn. pro ἔλεγον) *σημαίνειν. ἄλλοι δὲ τὸ ἤϊσκε, τὸ εἴκασεν, ὡμοίου* (ed. ant. ὁμοίου). *τὸ γὰρ ὅλον, πολλὰ ψευδῆ λέγων εἴκαζεν, ὥστε ὅμοια*

τῆς δ᾽ ἄρ᾽ ἀκουούσης ῥέε δάκρυα, τήκετο δὲ χρώς.
ὡς δὲ χιὼν κατατήκετ᾽ ἐν ἀκροπόλοισιν ὄρεσσιν,
ἥντ᾽ Εὖρος κατέτηξεν, ἐπὴν Ζέφυρος καταχεύῃ·
τηκομένης δ᾽ ἄρα τῆς ποταμοὶ πλήθουσι ῥέοντες·
ὣς τῆς τήκετο καλὰ παρήϊα δακρυχεούσης,
κλαιούσης ἑὸν ἄνδρα παρήμενον. αὐτὰρ Ὀδυσ-
σεὺς
θυμῷ μὲν γοόωσαν ἑὴν ἐλέαιρε γυναῖκα,
ὀφθαλμοὶ δ᾽ ὡςεὶ κέρα ἕστασαν, ἠὲ σίδηρος,

εἶναι ἀληθέσιν. ἀπὸ τοῦ εἴδω, ὁ μέλλων εἴσω. Vulg. Τὸ ἴσκεν οἱ μὲν γλωσσογράφοι ἀντὶ τοῦ ἔλεγεν ἐκδέχονται. οἱ δὲ ἀκριβέστεροι ἀντὶ τοῦ ἤϊσκεν, ὅ ἐστιν εἴκαζεν ἀπεικονίζων πρὸς ἀλήθειαν. Eust. Ἴσκεν. εἴκασεν. ὡμοίου. Apollon. Hesych. — ἐτύμοισι] τοῖς ἀληθέσιν. Vulg.

V. 205. ἐν ἀκροπ. ὄρεσσιν] Τό, ἀκροπ. ὀρ., ταυτόν ἐστι τῷ, κορυφαῖς ὀρῶν. Eust.

V. 206. καταχεύῃ] ἄγαν ἐκχέῃ. Vulg.

V. 207. πλήθουσι] πλημμυροῦσιν. Id.

V. 208. παρήϊα] οἱ παρειαί. Id.

V. 211. κέρα] ὡς τόξα τεταμένα, ἐξ οὗ νοεῖται τό, ἀκαμπεῖς, σκληροί, μὴ ἐνδιδόντες τοῖς δάκρυσιν. Ambr. B. τόξα, ἵνα ᾖ, τεταμένους εἶχε τοὺς ὀφθαλμούς, ὥςπερ τόξα. ἢ ἄλλως, τὴν φύσιν τοῦ κέρατος περιέλαβεν (Ms. Barn. ἐλάμβανε). σκληρὸν γάρ. Vulg. Κέρα ἢ αὐτὴν λέγει κατὰ τοὺς παλαιοὺς τὴν φύσιν τοῦ κέρατος σκληρὰν οὖσαν, ἢ ὡς ἐκ μέρους τὰ τόξα. ἵνα λέγῃ, ὡς οἱ ὀφθαλμοὶ τῷ Ὀδυσσεῖ ἵσταντο, εἴτε βούλοιτό τις εἰπεῖν οἷα καὶ σίδηρος, εἴτε καὶ ὡς τεταμένα τόξα, μὴ ἐνδιδόντες δάκρυσιν. — Σημείωσαι δὲ ὡς ἐν τῷ, ὡςεὶ κέρα ἕστασαν ἠὲ σίδηρος, ἀπὸ τοῦ ὑφειμένου μετέβη αὐξητικῶς ἐπὶ τὸ μεῖζον, ἤγουν ἐκ τῶν κεράτων ἐπὶ τὸν σίδηρον. ἐσχημάτισται οὖν τοῦτο ἑτεροίως ἤπερ τό, ὥςτε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης. ἐκεῖ γὰρ ἄλλως ἀπὸ τοῦ κατὰ λαμπρότητα ἡλιακοῦ μεγέθους ἐπὶ τὸ ἔλαττον κατέβη, ὡς ἂν εἴη ὁ λόγος πιθανώτερος. Ὅρα δὲ καὶ ὡς Ὅμηρος μὲν πρὸς κέρας εἴκασε τὸ τῶν ὀφθαλμῶν τοῦ Ὀδυσσέως ἀτενές. ἡ δὲ συνήθεια καὶ χιτῶνά τινα κερατοειδῆ τοῦ

ἀτρέμας ἐν βλεφάροισι· δόλῳ δ' ὅγε δάκρυα κεῦθεν.
ἡ δ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
ἐξαῦτίς μιν ἔπεσσιν ἀμειβομένη προσέειπεν·
Νῦν μὲν δή σευ, ξεῖνέ γ', ὀΐω πειρήσεσθαι,
εἰ ἐτεὸν δὴ κεῖθι σὺν ἀντιθέοις ἑτάροισιν
ξείνισας ἐν μεγάροισιν ἐμὸν πόσιν, ὡς ἀγορεύεις.
εἰπέ μοι, ὁπποῖ' ἄσσα περὶ χροῒ εἵματα ἕστο,
αὐτός θ' οἷος ἔην, καὶ ἑταίρους, οἵ οἱ ἕποντο.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γύναι, ἀργαλέον, τόσσον χρόνον ἀμφὶς ἐόντα
εἰπέμεν· ἤδη γάρ οἱ ἐεικοστὸν ἔτος ἐστίν,
ἐξ οὗ κεῖθεν ἔβη, καὶ ἐμῆς ἀπελήλυθε πάτρης·
ἀλλὰ καὶ ὣς ἐρέω, ὥς μοι ἰνδάλλεται ἦτορ.
χλαῖναν πορφυρέην οὔλην ἔχε δῖος Ὀδυσσεύς,

ὀφθαλμοῦ λέγει, ὅθεν ἴσως καὶ ἡ Ὁμηρικὴ ὥρμηται παραβολή. Eust.

V. 213. τάρφθη (ed. ant. τάρπη)] ἐκορέσθη, ἐτέρφθη. ἢ ἐξετράπη τοῦ γόου. πολυδακρύτοιο] πολλῶν δακρύων αἰτίου. Vulg.

V. 215. πειρήσεσθαι] διάπειραν λήψεσθαι. Id.

V. 217. ξείνισας] ὑπεδέξω. Id.

V. 218. ὁπποῖ' ἄσσα] ὁποῖα, ατινα. Id.

V. 221. ἀμφὶς ἐόντα] χωρὶς ὄντα, ἀπόντα. Id. Mox v. 222. text. Harl. μοι. Γρ. οἱ.

V. 224. ὥς μοι ἰνδάλλεται ἦτορ] ὥς μοι ἀναφέρει ἡ ψυχή, ὡς διαμέμνηται (Barn. et Buttm. διαμέμνημαι). Vulg. ἰνδάλλεται, τουτέστι φαντάζεται. Eust. Ἰνδάλλεται. ὁμοιοῦται, φαίνεται, δοκεῖ, στοχάζεται, ἰσοῦται, σοφίζεται. Hesych.

V. 225. πορφυρέην οὔλην] Ἀντὶ τοῦ, ὁλοπόρφυρον, ἢ ἁπαλήν. Ambr. B. ἤτοι ὁλοπόρφυρον, ἢ τρυφεράν. Vulg. Πορφυρέη μὲν ἡ χλαῖνα διὰ τὸ βασιλικόν. Οὔλην δὲ καὶ νῦν ἢ τὴν

διπλῆν· αὐτάρ οἱ περόνη χρυσοῖο τέτυκτο
αὐλοῖσιν διδύμοισι· πάροιθε δὲ δαίδαλον ἦεν·
ἐν προτέροισι πόδεσσι κύων ἔχε ποικίλον ἐλλόν,

συνεστραμμένην λέγει καὶ εὔκλωστον, ἢ τὴν ὅλην καὶ ὑγιῆ, ἢ τὴν ἁπαλήν. τινὲς δὲ τὸ οὔλην συνάπτοντες μετὰ τοῦ πορφυρέην, φασὶν ἄμφω δηλοῦν τὴν ὁλοπόρφυρον. οὖλον γὰρ πάντως που καὶ τὸ ὅλον. Eust.

ἔχε] Ἀντὶ τοῦ, περιεβέβλητο. Barn. ex Mscr. Τό, ἔχε δῖος Ὀδ., ἀντὶ τοῦ ἐφόρει, ἐξ οὗ τὸ ἀμπέχειν γίνεται. Eust.

V. 226. διπλῆν] Τὸ διπλοῦν αὐτῆς καὶ ἡ μιὰ περόνη μανδυοειδῆ αὐτὴν εἶναι δηλοῖ, οὐ κύκλῳ ἀμπέχουσαν, ἀλλὰ διπλουμένην κατὰ τὸ ἔμπροσθεν καὶ ὄπισθεν διὰ τῶν ἀριστερῶν, ἀφιεῖσαν δὲ ἄνετα, ὡς καὶ προεδηλώθη (v. ad σ, 292.), τὰ δεξιά. — Εἰς δὲ τὸ διπλῆν γράφουσιν οἱ παλαιοί, ὅτι διπλοῦν μὲν κατὰ τὸ μέγεθος. ἱμάτιον γὰρ πτυσσόμενον διπλοῦν λέγεται. διπλάσιον δὲ κατὰ ἀριθμόν. οὕτο γοῦν διπλάσια χρήματα λέγονται. τοῦτο δὲ συντελεῖ καὶ εἰς τό, τριπλῇ τε τετραπλῇ τ᾽ ἀποτίσομεν (Il. α, 128.). Eust.

τοι] Γρ. οἱ. Harl. Vind. 133. versum ita habet: αὐτάρ τοι περόνη χρυσοῖο τέτυκτο φαεινοῦ.

V. 227. αὐλοῖσι] ῥάβδοις εὐθείαις, εἰς ἃς κατακλείονται αἱ περόναι. Vulg. ἀνατάσεσι δυσὶ πρὸ τῆς χλαμίδος, ὅ ἐστιν εἰς τὸ ἔμπροσθεν μέρος τῆς χλαμίδος ἐπάνωθεν τῆς πόρπης ἐξημμένους (scr. ἐξημμέναις). Ambr. B. Αὐτοί φασιν ἐταῦθα ῥαβδοειδεῖς τινες ἀνατάσεις εὐθεῖαι, εἰς ἃς καταλείονται αἱ περόναι, ἃς διὰ τοῦτο καὶ κληῖδας ἐϋγνάμπτους ἔφη πρὸ μικροῦ (σ, 294.). Eust.

διδύμοισι] διπλαῖς ἢ συμφυέσι περόναις. Vulg. Δίδυμοι οἱ τοιοῦτοι ἀντὶ τοῦ διπλοῖ ἢ συμφυεῖς ταῖς περόναις. Eust.

δαίδαλον] κατασκεύασμα ποικίλον. Vulg. Δαίδαλον τὸ δαίδαλμα, τὸ ποίκιλμα, συγκοπὲν ἐκ τοῦ δαιδάλεον. Eust.

V. 228. προτέροισι] τοῖς ἐμπροσθίοις. Vulg. Προτέρους πόδας ἢ τοὺς τοῦ κυνὸς λέγει, ἢ τὸ πρόσθιον μέρος τῶν ποδῶν τοῦ Ὀδυσσέως. Eust.

ἐλλὸν] νεβρόν, νεογνὸν ἔλαφον. Vulg. Τὸν ἐλλὸν καὶ νεβρὸν ὑποκαταβὰς ἔφη, ὃ δηλοῖ νεογνὸν ἔλαφον, νεωστὶ βορὸν ἢ βορᾶς ἁπτόμενον. Eust.

ἀσπαίροντα λάων· τὸ δὲ θαυμάζεσκον ἅπαντες,
ὡς οἱ χρύσεοι ὄντες, ὁ μὲν λάε νεβρὸν ἀπάγχων,
αὐτὰρ ὁ, ἐκφυγέειν μεμαὼς, ἤσπαιρε πόδεσσιν.
τὸν δὲ χιτῶν' ἐνόησα περὶ χροῒ σιγαλόεντα,
οἷόν τε κρομύοιο λοπὸν κάτα ἰσχαλέοιο·
τὼς μὲν ἔην μαλακός· λαμπρὸς δ' ἦν, ἠέλιος ὥς·
ἦ μὲν πολλαί γ' αὐτὸν ἐθηήσαντο γυναῖκες.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
οὐκ οἶδ', εἰ τάδε ἕστο περὶ χροῒ οἴκοθ' Ὀδυσσεύς,

V. 229. *λάων*] Τὸ λάων Ἀρίσταρχος μὲν ἀντὶ τοῦ ἀπολαύων (Vulg. edd. ἀπολαυστικῶς ἔχων), ἀφ' οὗ καὶ λαιμός, καὶ λαυκανία, καὶ αὐτὸ τὸ ἀπολαύειν πλεονασμῷ τοῦ ῡ. ὅθεν καὶ τό, λάε νεβρὸν ἄγχων (scr. ἀπάγχων. v. 230.), ἤγουν ἀπέλαυεν, ἐτρύφα. ἕτεροι δέ, ὧν καὶ Κράτης, ἀντὶ τοῦ βλέπων, οὗ κατὰ στέρησιν ὁ ἀλαός. ἄλλοι δέ, ὑλάων ἤγουν ὑλακτῶν ὡς ἐν σχήματι χάσκοντος, ἀφαιρεθέντος τοῦ ῡ. ἀλλ' εἰ τοῦτο, πῶς ὁ χάσκων κύων εἶχε τὸν ἑλλόν; Eust. (Vulg. addit: ἢ ἀπελαύνων.) Ἀπολαυστικῶς ἐσθίων. ἢ ὑλάων κατ' ἔνδειαν τοῦ ῡ. ἢ βλέπων, ὅθεν καὶ ἀλαός, ὁ τυφλός, κατὰ στέρησιν. Ambr. B. *Λάων*. λέγεται ἐπὶ τῆς ἐντετορνευμένης πόρπης τοῦ Ὀδυσσέως. σημαίνει δὲ τὸ βλέπων. ὁ δὲ Ἀρίσταρχος, ἀπολαυστικῶς ἔχων. βέλτιον δὲ τὸ πρῶτον. Apollon. (Hesych. addit interpretationem: οἱ δέ, λάπτων τῇ γλώττῃ. v. Albert. ad h. v.)

θαυμάζεσκον] ἐξεπλήττοντο. Vulg.

V. 230. *λάε*] Οἱ μέν, ἐπεβλέπετο. οἱ δέ, ἀπολαυστικῶς ἤσθιεν (Pal. ἀπέλαβε. Scr. ἀπέλαυε.). Vulg.

V. 232. *σιγαλόεντα*] ἁπαλόν. Id.

V. 233. *κρομύοιο λοπόν*] Κρομύου λοπός, λέπυρον, παρὰ τὸ λέπω, καὶ τούτου οὐ χλωροῦ, παχὺς γὰρ ὁ τοιοῦτος, ἀλλὰ ἰσχαλέου. τοῦτο δέ φασι πρὸς τὸ εὔτονον ἐῤῥέθη τοῦ χιτῶνος καὶ ἰσχνόν (Vulg. add. παρὰ τὸν ὑμένα τοῦ λεπίσματος). ὁ γὰρ χλωρὸς λοπὸς οὐκ εὐτόνως ἔχει. Ἰστέον δὲ ὅτι τὸ ῥηθὲν λέπυρον καὶ λεπύχανόν φασιν εὑρῆσθαι παρὰ Θεοπόμπῳ τῷ κωμικῷ. — τὸ δ' αὐτὸ καὶ λόπισμα εἴρηται. Eust.

κατὰ ἰσχαλέοιο] κατ' ἰσχνοῦ καὶ λεπτοῦ. Vulg.

ἤ τις ἑταίρων δῶκε θοῆς ἐπὶ νηὸς ἰόντι,
ἤ τίς που καὶ ξεῖνος· ἐπεὶ πολλοῖσιν Ὀδυσσεὺς
ἔσκε φίλος· παῦροι γὰρ Ἀχαιῶν ἦσαν ὁμοῖοι.
καί οἱ ἐγὼ χάλκειον ἄορ καὶ δίπλακα δῶκα
καλὴν, πορφυρέην, καὶ τερμιόεντα χιτῶνα·
αἰδοίως δ' ἀπέπεμπον ἐϋσσέλμου ἐπὶ νηός.
καὶ μέν οἱ κῆρυξ ὀλίγον προγενέστερος αὐτοῦ
εἵπετο· καὶ τόν τοι μυθήσομαι, οἷος ἔην περ.
γυρὸς ἐν ὤμοισιν, μελανόχροος, οὐλοκάρηνος·
Εὐρυβάτης δ' ὄνομ' ἔσκε· τίεν δέ μιν ἔξοχον ἄλλων

V. 241. δίπλακα] διπλοΐδα, διπλῆν χλαῖναν. Barn. ex Hesychio, qui: διπλῆν, μεγάλην διπλοΐδα, ὥστε διπλῆ χρῆσθαι. — Ἡ δίπλαξ ἢ ἡ αὐτή ἐστι τῇ ἐν Ἰλιάδι (γ, 126.) μαρμαρέῃ δίπλακι, ἢ κατὰ τὴν ἀνωτέρω ῥηθεῖσαν χλαῖναν πορφυρέην διπλῆν. δῆλον δὲ ὅτι καὶ δίπλακα δημὸν ἐν Ἰλιάδι (ψ, 243.) φησὶν ὁ ποιητής. Eust.

V. 242. τερμιόεντα] Οἱ μὲν, τέλειον, συναποτερματιζόμενον (scr. συναπαρτιζόμενον v. Eust.) ὅλῳ τῷ σώματι, ποδήρη. οἱ δέ, σύμμετρον, καὶ μήτε ἐνδέοντα, μήτε ὑπέρμετρον. Vulg. ποδήρην. ὡς ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα (Il. π, 803.). Ambr. Q. Χιτὼν τερμιόεις ὁ σύμμετρος καὶ εὐτερμάτιστος, καὶ μήτε ἐνδέων μήτε ὑπέρμετρος ὢν, καθὰ καὶ ἀσπὶς τερμιόεσσα ἡ τοιαύτη. ἕτεροι δὲ τερμιόεντά φασι τὰ ποδήρη. λέγει δὲ καὶ Ἡσίοδος (εργ. v. 535) τερμιόεντα χιτῶνα γεωργῷ πρέποντα, ὅλῳ τῷ σώματι συναπαρτιζόμενον. Eust.

V. 246. γυρὸς ἐν ὤμοισι] περιφερεῖς καὶ στρογγύλους ἔχων τοὺς ὤμους. ἢ κυρτός. ὁ τρόπος εἰκονισμός. Vulg. οὐκ ἐπιμήκης, ἀλλὰ στρογγύλος. Ambr. B. Γυρός, ὁ στρογγύλους ἔχων ὤμους, ὑπόκυρτος, οὐκ εὐμήκης. Eust.

οὐλοκάρηνος] Οὐλοκάρηνος ὁ παρὰ Ἡροδότῳ οὐλόθριξ. καὶ ἔστιν ἐκεῖνο τοῦ παρ' Ὁμήρῳ σαφέστερον. τοῦτο γὰρ διὰ τοῦ ὅλου τὸ μέρος ἔφρασεν. οὐ γὰρ τὸ κάρηνον οὖλον, ἀλλ' αἱ περὶ τὸ κάρηνον τρίχες. Eust.

ὧν ἑτάρων Ὀδυσεύς, ὅτι οἱ φρεσὶν ἄρτια ᾔδη.
Ὣς φάτο· τῇ δ' ἔτι μᾶλλον ὑφ' ἵμερον ὦρσε γόοιο,
σήματ' ἀναγνούσῃ, τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς·
ἡ δ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
καὶ τότε μιν μύθοισιν ἀμειβομένη προσέειπεν·
Νῦν μὲν δή μοι, ξεῖνε, πάρος περ ἐὼν ἐλεεινός,
ἐν μεγάροισιν ἐμοῖσι φίλος τ' ἔσῃ αἰδοῖός τε·
αὐτὴ γὰρ τάδε εἵματ' ἐγὼ πόρον, οἷ' ἀγορεύεις,
πτύξασ' ἐκ θαλάμου· περόνην τ' ἐπέθηκα φαεινήν,
κείνῳ ἄγαλμ' ἔμεναι· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις,
οἴκαδε νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν.
τῷ ῥα κακῇ αἴσῃ κοίλης ἐπὶ νηὸς Ὀδυσσεὺς
ᾤχετ', ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·

V. 248. ἄρτια] ἀσφαλῆ, βέβαια. Vulg.

V. 250. ἀναγνούσῃ] γνωρισάσῃ. Id. ἀναγνωρισάσῃ. Eust.

V. 260. οὐκ ὀνομαστήν] δυςώνυμον. οὐκ ὀνομαστὴν δέ, ἣν οὐδὲ ὀνομάσαι καλόν. Ambr. B. Ὅρα τό, οὐκ ὀνομαστήν, ἑρμηνευτικὸν ὂν τοῦ Κακοΐλιον. οὐ γάρ τι φαυλόφωνον καὶ δυςπροένεκτον ἡ τῆς Ἰλίου κλῆσις ἔχει. ἀλλὰ Κακοΐλιος ἢ οὐδετέρως Κακοΐλιον ἡ Τροία ἐστὶν ὡς μὴ ἀξία ἥκειν τινὶ μηδὲ ἐς μνήμην διὰ τὰ ἐν αὐτῇ κακά. οὕτω καὶ Δύςπαρις ἐν Ἰλιάδι (γ, 36. ν, 769.) ὁ Ἀλέξανδρος, καὶ Αἰνελένη ἡ Ἑλένη, οὐ διὰ φαυλότητα κλήσεων, ἀλλ' ὅτι κακῶν ἐγένοντο αἴτιοι, διὸ ἴσως οὐδὲ μνήμης ἄξιοι οὐδ' ἄχρι κλήσεως. ὅπερ ὕστερον χρόνῳ κατεψηφίσθη τοῦ τῆς Ἐφεσίας Ἀρτέμιδος ἐμπρήσαντος τὸν ναόν. Eust.

ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
μηκέτι νῦν χρόα καλὸν ἐναίρεο, μηδέ τι θυμὸν
τῆκε, πόσιν γοόωσα· νεμεσσῶμαί γε μὲν οὐδέν·
καὶ γάρ τίς τ' ἀλλοῖον ὀδύρεται ἄνδρ' ὀλέσασα
κουρίδιον, τῷ τέκνα τέκῃ φιλότητι μιγεῖσα,
ἢ Ὀδυσῆ', ὅν φασι θεοῖς ἐναλίγκιον εἶναι.
ἀλλὰ γόου μὲν παῦσαι, ἐμεῖο δὲ σύνθεο μῦθον·
νημερτέως γάρ τοι μυθήσομαι, οὐδ' ἐπικεύσω,
ὡς ἤδη Ὀδυσῆος ἐγὼ περὶ νόστου ἄκουσα,
ἀγχοῦ Θεσπρωτῶν ἀνδρῶν ἐν πίονι δήμῳ,
ζωοῦ· αὐτὰρ ἄγει κειμήλια πολλὰ καὶ ἐσθλά,

V. 263. ἐναίρεο] Ἀντὶ τοῦ, ἔναιρε, διάφθειρε. Ambr. B. Q. Ὅρα τὸ ἐναίρεο, τρίτον σημαινόμενον τοῦ ἐναίρειν, παθητικῶς τε λεχθέν, καὶ οὐδὲ τὸ φονεύειν ἢ τὸ σκυλεύειν δηλοῦν, ἀλλὰ τὸ ἀφανίζειν ἢ αἰσχύνειν. οὕτω γὰρ ἐναίρεται χροῦς καλὸς δάκρυσιν, αἰσχρὸς δηλαδὴ ἀντὶ καλοῦ ἤτοι εὐειδοῦς γινόμενος. Eust. ἀναίρεο] κατάφθειραι (ἀφάνιζε add. Barn.). Vulg.

V. 267. ἢ Ὀδυσῆ'] Τό, ἤπερ Ὀδυσσέα, οὐ συνήθως ἀντὶ τοῦ, παρὸ τὸν Ὀδυσσέα. δηλοῖ δὲ μᾶλλον ἐπίτασίν τινα, ὡς εἴ τις εἴποι, πολλῷ δὴ πλέον τὸν Ὀδυσσέα χρὴ κλαίεσθαι. Eust.

V. 271. ἀγχοῦ Θεσπρωτῶν] Μέμνηται ἀνακεφαλαιωτικῶς καὶ νῦν, καθὰ καὶ ἐν τοῖς πρὸς Εὔμαιον (v. ξ, 316. sequ.), τοῦ τῶν Θεσπρωτῶν βασιλέως Φείδωνος. λέγει δὲ καὶ τοὺς τρεῖς στίχους, δι' ὧν ἐκεῖνος ὤμνυε περὶ τοῦ Ὀδυσσέως ἀποσπένδων ἐνὶ οἴκῳ. καὶ τοὺς ἑτέρους δὲ τρεῖς στίχους τοὺς περὶ τῆς δείξεως τῶν τοῦ Ὀδυσσέως κτημάτων καὶ τῆς αὐτῶν ποσότητος. καὶ τοὺς τέσσαρας στίχους τοὺς περὶ τῆς ἐς Δωδώνην ἀπελεύσεως τοῦ Ὀδυσσέως. φράσας μὲν ἀπαραλλάκτως αὐτὰ ἐκεῖνα τὰ ἔπη, μετατάξας δὲ τὰς ἐννοίας, καὶ τὸ μὲν ὕστερον ἐν τοῖς ἐκεῖ τό, ὤμνυε πρὸς ἔμ' αὐτόν, πρῶτον ἐνταῦθα θείς, δεύτερον δὲ τὸ ἐκεῖ πρῶτον, τὴν τῶν κτημάτων δηλαδὴ ὑπόδειξιν, τρίτον δὲ τὸ ἐκεῖσε δεύτερον τὸν περὶ τῆς Δωδώνης λόγον. οἶδε γὰρ ὁ πολὺς ῥήτωρ Ὅμηρος, ὡς διαφορὰν γραφῆς ποιεῖ καὶ ἡ τῶν νοημάτων μετάταξις. Eust.

V. 272. αὐτὰρ ἄγει] Γρ. πολλὰ δ' ἄγει κειμήλια ὅνδε δόμονδε. Harl.

αἰτίζων ἀνὰ δῆμον· ἀτὰρ ἐρίηρας ἑταίρους
ὤλεσε, καὶ νῆα γλαφυρὴν, ἐνὶ οἴνοπι πόντῳ,
Θρινακίης ἄπο νήσου ἰών· ὀδύσαντο γὰρ αὐτῷ
Ζεύς τε καὶ Ἠέλιος· τοῦ γὰρ βόας ἔκταν ἑταῖροι.
οἱ μὲν πάντες ὄλοντο πολυκλύστῳ ἐνὶ πόντῳ·
τὸν δ᾽ ἄρ᾽ ἐπὶ τρόπιος νεὸς ἔκβαλε κῦμ᾽ ἐπὶ χέρσου,
Φαιήκων ἐς γαῖαν, οἳ ἀγχίθεοι γεγάασιν·
οἳ δή μιν πέρι κῆρι, θεὸν ὣς, τιμήσαντο,
καί οἱ πολλὰ δόσαν, πέμπειν τέ μιν ἤθελον αὐτοὶ
οἴκαδ᾽ ἀπήμαντον. καί κεν πάλαι ἐνθάδ᾽ Ὀδυσσεὺς
ἤην· ἀλλ᾽ ἄρα οἱ τόγε κέρδιον εἴσατο θυμῷ,
χρήματ᾽ ἀγυρτάζειν πολλὴν ἐπὶ γαῖαν ἰόντι·
ὣς περὶ κέρδεα πολλὰ καταθνητῶν ἀνθρώπων
οἶδ᾽ Ὀδυσεύς· οὐδ᾽ ἄν τις ἐρίσσειε βροτὸς ἄλλος.
ὥς μοι Θεσπρωτῶν βασιλεὺς μυθήσατο Φείδων·
ὤμνυε δὲ πρὸς ἔμ᾽ αὐτόν, ἀποσπένδων ἐνὶ οἴκῳ,
νῆα κατειρύσθαι, καὶ ἐπαρτέας ἔμμεν᾽ ἑταίρους,

V. 283. ἤην] Ἰστέον ὅτι τὸ ἤην ταυτόν ἐστι τῷ ἦν, πλεονασμὸν τοῦ η παθόν. Eust.

V. 284. ἀγυρτάζειν] ἀθροίζειν. Vulg. Ὅτι τὸ ἀγυρτάζειν, ἐξ οὗ καὶ ὁ ἀγύρτης, αἰτίζειν ἐν τούτοις ἔφη — ἄλλο τι ὂν παρὰ τὸ πτωχεύειν. ἐκεῖνο γὰρ τῶν πάνυ ἀπόρων ἦν, οἷος Ὀδυσσεὺς ὁ φαινόμενος πτωχός, καὶ πρὸ αὐτοῦ ὁ Ἶρος. Ὅτι δὲ τὸ ἀγυρτάζειν καὶ ἀγείρειν λέγεται, δῆλον ἐκ τοῦ, ὅσα ξυναγείρατ᾽ Ὀδυσσεύς (v. 293.). Eust.

V. 285. ὣς περὶ κέρδεα πολλά] Οὕτως περισσῶς συνετὰ οἶδεν ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους, ὡς τό, περὶ πάντων ἔμμεναι ἄλλων (Il. α, 287.). Ambr. B.

V. 288. ἀποσπένδων] Harl. Γρ. ἐπί super ἀπό.

οἵ δή μιν πέμψουσι φίλην ἐς πατρίδα γαῖαν.
ἀλλ' ἐμὲ πρὶν ἀπέπεμψε· τύχησε γὰρ ἐρχομένη νηῦς
ἀνδρῶν Θεσπρωτῶν ἐς Δουλίχιον πολύπυρον.
καί μοι κτήματ' ἔδειξεν, ὅσα ξυναγείρατ' Ὀδυσσεύς·
καί νύ κεν ἐς δεκάτην γενεὴν ἕτερόν γ' ἔτι βόσκοι·
τόσσα οἱ ἐν μεγάροις κειμήλια κεῖτο ἄνακτος.
τὸν δ' ἐς Δωδώνην φάτο βήμεναι, ὄφρα θεοῖο
ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ἐπακούσαι,
ὅππως νοστήσειε φίλην ἐς πατρίδα γαῖαν,
ἤδη δὴν ἀπεών, ἢ ἀμφαδὸν, ἠὲ κρυφηδόν.
ὣς ὁ μὲν οὕτως ἐστὶ σόος, καὶ ἐλεύσεται ἤδη
ἄγχι μάλ'· οὐδ' ἔτι τῆλε φίλων καὶ πατρίδος αἴης
δηρὸν ἀπεσσεῖται· ἔμπης δέ τοι ὅρκια δώσω.
ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,
ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω·
ἦ μέν τοι τάδε πάντα τελείεται, ὡς ἀγορεύω.
τοῦδ' αὐτοῦ λυκάβαντος ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς·

V. 294. ἕτερόν γ' ἔτι βόσκοι] Ἐλλείπει, γένος. Vulg.

V. 299. κρυφηδόν] κρύφα, λαθραίως. Id.

V. 301. ἄγχι μάλ'] Ὅτι κεῖται χρονικὸν ἐνταῦθα τὸ ἄγχι, οἷον, ὡς ὁ μὲν — ἄγχι μάλα, τουτέστιν, ἐγγὺς μετ' ὀλίγον. διὸ καὶ ἑρμηνεύων ἐπάγει, οὐδὲ δηρὸν ἀπεσσεῖται. Eust.

V. 302. ἀπεσσεῖται] Ὅτι Αἰολικὸν τὸ ἐσεῖται ἐν τοῦ ἐσῶ ἐσοῦμαι. Id.

V. 305. ἦ μὲν τῇ (ita edd. ant.)] τούτῳ τῷ τρόπῳ. Vulg. De reliquis v. ad ξ, 158. sequ.

V. 306. λυκάβαντος] v. ad ξ, 161.

τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ᾽ ἱσταμένοιο.
Τὸν δ᾽ αὖτε προςέειπε περίφρων Πηνελόπεια·
αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τετελεσμένον εἴη·
τῷ κε τάχα γνοίης φιλότητά τε, πολλά τε δῶρα,
ἐξ ἐμεῦ, ὡς ἄν τίς σε συναντόμενος μακαρίζοι.
ἀλλά μοι ὧδ᾽ ἀνὰ θυμὸν ὀΐεται, ὡς ἔσεταί περ.
οὔτ᾽ Ὀδυσεὺς ἔτι οἶκον ἐλεύσεται, οὔτε σὺ πομπῆς
τεύξῃ· ἐπεὶ οὐ τοῖοι σημάντορές εἰσ᾽ ἐνὶ οἴκῳ,
οἷος Ὀδυσσεὺς ἔσκε μετ᾽ ἀνδράσιν, εἴποτ᾽ ἔην γε,
ξείνους αἰδοίους ἀποπεμπέμεν ἠδὲ δέχεσθαι.
ἀλλά μιν, ἀμφίπολοι, ἀπονίψατε, κάτθετε δ᾽ εὐνήν,
δέμνια καὶ χλαίνας καὶ ῥήγεα σιγαλόεντα,
ὥς κ᾽ εὖ θαλπιόων χρυσόθρονον Ἠῶ ἵκηται.
ἠῶθεν δὲ μάλ᾽ ἦρι λοέσσαι τε χρῖσαί τε,
ὥς κ᾽ ἔνδον παρὰ Τηλεμάχῳ δείπνοιο μέδηται
ἥμενος ἐν μεγάρῳ· τῷ δ᾽ ἄλγιον, ὅς κεν ἐκείνων
τοῦτον ἀνιάζῃ θυμοφθόρος· οὐδέ τι ἔργον
ἐνθάδ᾽ ἔτι πρήξει, μάλα περ κεχολωμένος αἰνῶς.

V. 309. αἲ γάρ] Ἐνταῦθα κεῖται ὁ γάρ σύνδεσμος οὐκ αἰτιολογῶν, ἀλλὰ πάντῃ ἀργός. Eust.

V. 312. ὀΐεται] ἤγουν φαίνεται. Id.

V. 314. τεύξῃ] Γρ. τεύξεαι. Harl., et ita Vind. 133. ἐπεὶ οὔτοι] Γρ. ἐπεὶ οὐ τοῖοι. Pors. ex Harl.

σημάντορες] οἱ κελευόμενοι, δεσπόται. Vulg. v. ρ, 21.

V. 317. κάτθετε] Ἀντὶ τοῦ, στρώσατε. Vulg.

V. 319. θαλπιόων] θαλπόμενος, θερμαινόμενος. Id.

V. 320. λοέσσαι] λοῦσαι. Id.

V. 323. θυμοφθόρος] ἐφθαρμένος τὴν ψυχήν, φρενοπλήξ. Ambr. B.

πῶς γάρ ἐμεῦ σύ, ξεῖνε, δαήσεαι, εἴ τι γυναικῶν
ἀλλάων περίειμι νόον καὶ ἐπίφρονα μῆτιν,
εἴ κεν ἀϋσταλέος, κακὰ εἱμένος, ἐν μεγάροισιν
δαινύῃ; ἄνθρωποι δὲ μινυνθάδιοι τελέθουσιν.
ὃς μὲν ἀπηνὴς αὐτὸς ἔῃ, καὶ ἀπηνέα εἰδῇ,
τῷ δὲ καταρῶνται πάντες βροτοὶ ἄλγε᾽ ὀπίσσω
ζωῷ· ἀτὰρ τεθνεῶτί γ᾽ ἐφεψιόωνται ἅπαντες·
ὃς δ᾽ ἂν ἀμύμων αὐτὸς ἔῃ, καὶ ἀμύμονα εἰδῇ

V. 325. δαήσεαι] Τὸ δαήσεαι καινῶς γενικῇ συνέταξεν. ποιεῖ δὲ τοῦτο καθ᾽ ὁμοιότητα τοῦ εἰδέναι, ὃ καὶ αὐτὸ γενικῇ ποτε συντάσσεται. Eust.

V. 326. περίειμι] ὑπερβάλλω. Vulg. ἐπίφρονα] Eust. Harl. ἐχέφρονα.

V. 327. ἀϋσταλέος] αὐχμῶν. Vulg. αὐχμηρός, ἠμελημένος. Ambr. B. αὐχμηρός. Apollon. Αὐσταλέος καὶ κατὰ διάλυσιν ἀϋσταλέος, ὁ αὐχμῶν, ἀπὸ τοῦ αὔω, ἐξ οὗ καὶ ὁ αὐχμός καὶ ὁ αὐχμηρός. Eust. κατάξηρος, αὐστηρός, αὐχμηρός, ἀστόλιστος. Hesych.

V. 328. δαινύῃ] εὐωχεῖσθαι μέλλεις. Vulg.

ἄνθρ. δὲ μιν. τελέθουσιν] Τοῦτο πρὸς τὴν εὐφημίαν εἴρηκεν, καὶ ἀναφέρεται ἐπὶ τὸ κλέος. ὀλιγοχρόνιοι δὲ ὑπάρχοντες οἱ ἄνθρωποι ὀφείλουσιν εὖ πράττειν ἐν τῷ βίῳ, καὶ φήμην ἀγαθὴν περὶ ἑαυτῶν ἀπολείπειν. Vulg.

V. 329. ἀπηνέα εἰδῇ] Ὁ ἀπηνέα εἰδὼς ἑτεροῖος τοῦ ἁπλῶς ἀπηνέος ἐστί, καὶ ὁ ἀμύμονα εἰδὼς τοῦ ἁπλῶς ἀμύμονος. ἀπηνέα μὲν γὰρ καὶ ἀμύμονα ἔργα οἶδεν ὁ περὶ τὰ τοιαῦτα ἤδη ἐπιστήμων, ἀπηνὴς δὲ καὶ ἀμύμων οὐκ ἐξ ἀνάγκης ὁ τοιοῦτος, ἀλλὰ καὶ ὁ μήπω τέλειος εἰς τὸ κακόν, μηδὲ κατὰ τὸν ποιητὴν μαθὼν ἔργα κακά. Eust.

V. 331. ἐφεψιόωνται] (ed. ant. ἑψιόωνται) καθάπτονται καὶ λοιδοροῦνται. ἢ ἐπιχαίρουσι καὶ ἐφήδονται. Vulg. ἐπεγγελῶσι, ἐπιμωκῶνται. Ambr. B. Περὶ τοῦ ἑψιᾶσθαι προείρηται (v. ad ρ, 530.), ὅτι λοιδορίαν ἡ λέξις δηλοῖ, ὥστε τοιοῦτον καὶ τὸ ἐφεψιόωνται, ἀντὶ τοῦ, λοιδοροῦνται, ἐμπαίζουσιν, ἐφήδονται. Eust. ἐμπαίζουσιν. Apollon. (cf. ad v. 370.)

τοῦ μέν τε κλέος εὐρὺ διὰ ξεῖνοι φορέουσιν
πάντας ἐπ' ἀνθρώπους· πολλοί τέ μιν ἐσθλὸν ἔειπον.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
ἤτοι ἐμοὶ χλαῖναι καὶ ῥήγεα σιγαλόεντα
ἤχθεθ', ὅτε πρῶτον Κρήτης ὄρεα νιφόεντα
νοσφισάμην ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο.
κείω δ', ὡς τὸ πάρος περ ἀΰπνους νύκτας ἴανον.
πολλὰς γὰρ δὴ νύκτας ἀεικελίῳ ἐνὶ κοίτῃ
ἄεσα, καί τ' ἀνέμεινα ἐΰθρονον Ἠῶ δῖαν.
οὐδέ τί μοι ποδάνιπτρα ποδῶν ἐπιήρανα θυμῷ

V. 333. *φορέουσι*] *διαδιδόασι, διαφημίζονται.* Vulg. *Τό, κλέος διαφορέουσιν, ἀντὶ τοῦ, διαφέρουσι, διακομίζουσι πανταχοῦ. ὅθεν κοὶ συνδιαφέρειν τὸ συνυπομένειν. εἴρηται δὲ ὡς ἐκ μεταφορᾶς τῶν φορτηγῶν.* Eust.

V. 338. *ἤχθεθ'*] *τὸ ἄχος ἐμβάλλει.* Ms. Barn. *Ἀντὶ τοῦ ἠλλοτριώθη. ἀρχὴν γὰρ ἔλαβον τοῦ δυστυχεῖν ἐξελθὼν τῆς πατρίδος. ἐμισήθη φησὶν ἀφ' οὗ κατέλιπον τὴν πατρίδα. ἐμίσησα τὰς χλαίνας, λοιπὸν ἐν ῥάκεσιν ἐθίσας, καὶ νῦν οὐ βούλομαι ἐν τοιούτῳ καθεύδειν, ἀλλὰ καθεύδω ἐν ῥάκει καὶ ἀγρυπνῶ ὡς πρότερον.* Ambr. B. *Τό, χλαῖναι καὶ ῥήγεα ἤχθετο, Αἰολικὸν σχῆμα καὶ Δωρικόν, καί εἰσι παρὰ Πινδάρῳ τοιαῦτα πολλά. Ἀττικὸς δὲ ἀνὴρ οὐκ ἂν οὕτω φράσοι, ἀλλὰ διὰ τὰς χλαίνας, ἐρεῖ ἄν, ἤχθοντο, πληθυντικῶς.* Eust.

V. 339. *νοσφισάμην*] *ἐχωρίσθην.* Vulg. *Τὸ νοσφισάμην ἀντὶ τοῦ ἀφῆκα, νόσφιν ἐποιησάμην.* Eust.

δολιχηρέτμοιο] *μεγάλης, ἐπιμήκους.* Vulg.

V. 340. *κείω*] *κοιμηθήσομαι.* *ἴανον*] *ἀνεπαυόμην.* Id.

V. 341. *ἀεικελίῳ*] *εὐτελεῖ.* Id.

V. 342. *ἄεσα*] *ἐκοιμήθην.* Id. *ἀνέπνευσα.* Eust.

V. 343. *ἐπιήρανα*] *προσηνῆ, ἀπὸ τοῦ ἐρᾶν.* Ambr. B. *Τό, ἐπιήρανα θυμῷ, κρεῖττον οὕτω γράφεσθαι ἤπερ, ἐπίηρ' ἀνὰ*

γίγνεται· οὐδὲ γυνὴ ποδὸς ἅψεται ἡμετέροιο
τάων, αἵ τοι δῶμα κάτα δρήστειραι ἔασιν,
εἰ μή τις γρηῦς ἐστὶ παλαιὴ, κέδν' εἰδυῖα,
ἥτις δὴ τέτληκε τόσα φρεσίν, ὅσσα τ' ἐγώ περ·
τήνδε δ' ἂν οὐ φθονέοιμι ποδῶν ἅψασθαι ἐμεῖο.

θυμῷ. ἡ γὰρ ἀνά πρόθεσις οὐκ εἴωθεν ἁπλῶς ἐπὶ τοιούτων σημαινομένων δοτικῇ συντάσσεσθαι. ἔστι δὲ πρωτότυπον τοῦτο τοῦ ἐπίηρα. ἐντεῦθεν γὰρ ἐκεῖνο γίνεται ἀποκοπέν (v. ad γ, 164. π, 375.). Eust. Ποδάνιπτρα ἢ αὐτὴν λέγει τὴν νίψιν τῶν ποδῶν, ἢ τὸ ὕδωρ ᾧ πόδας νίπτονται, ὃ καὶ ἀπόνιπτρον ἔλεγον. — Ἰστέον δὲ ὅτι καθάπερ ἐν τῷ, βοῶν ἐπιβουκόλος ἀνήρ, περιττεύει τὸ βοῶν, καὶ ἐν τῷ, οἶνον οἰνοχοεῖ, τὸ οἶνον, καὶ ἐν τῷ, αἰπόλος αἰγῶν, τὸ αἰγῶν, αἰπόλος γὰρ οὐδενὸς ἄλλου ζώου λέγεται ἀλλὰ μόνων αἰγῶν, οὕτω καὶ ἐνταῦθα παρέλκει τὸ ποδῶν ἐν τῷ, ποδάνιπτρα ποδῶν. διὸ μετ' ὀλίγα (v. 504.) ἠρκέσθη εἰπών, οἰσομένη ποδάνιπτρα. Id.

V. 344. οὐδὲ γυνὴ π. ἅ.] Διὰ τὸ ὑβριστικὸν τῶν γυναικῶν. Vulg.

V. 345. δρήστειραι] v. κ, 349.

V. 346. εἰ μή τις γρηῦς] Ὀδυσσεὺς μὲν οὐκ ἂν ἴσως δοκοίη σκέψασθαι καλῶς ὑπὸ τοιαύτης γυναικὸς τοὺς πόδας νίψασθαι, οἷα αἱρούμενός φασι τὴν δυναμένην ἐκ τῆς ἐπισήμου γνωρίσαι αὐτὸν οὐλῆς. διὸ καὶ ἀθετεῖται ὁ τοιοῦτος τόπος παρὰ τῶν παλαιῶν. ὁ μέντοι ποιητὴς εὐμεθόδως εἴτουν εὐπλάστως διὰ τοιαύτης γραὸς τὸν Ὀδυσσέα νίψας, αὐτὸν μὲν οὐδὲν βλάψει, πιθανῶς πλάσας τὸ πᾶν, καὶ εὐτυχῶς ἀπαλλάξας αὐτόν. ἦν γὰρ τὸ ὄντι ἀναγκαῖον, ἔχειν καὶ γυναῖκα ἐκ τῶν ἔνδον, ὡς ἐῤῥέθη, συναιρουμένην αὐτῷ. εἰ δ' ἴσως καὶ ἐξ ἱστορίας τοῦτο ἔχει ὁ ποιητής, οὐκ ἂν ἑτέρα εὑρέθη κρείττων εἰς τοιοῦτον ἔργον, ἤπερ ἡ Εὐρύκλεια. Σημείωσαι δὲ καὶ τὸν τόπον τοῦτον εἰς παράδειγμα βουλεύματος οὐκ εὖ μὲν ἐσκεμμένου, εἰς ἀγαθὸν δὲ ἐκβάντος. ἰδοὺ γὰρ Ὀδυσσεύς, εἰ καὶ γραῦν οὐ καλῶς ἐπελέξατο τὴν δυναμένην ἀναγνῶναι αὐτόν, ἀλλ' ὅμως εὐτυχῶς ἔσχεν ἀναγνωρισθεὶς ὑπ' αὐτῆς. πολλὰ γὰρ τῇ μνηστηροκτονίᾳ (l. χ.) καὶ ἡ τοιαύτη συνήνεγκε γραῦς Εὐρύκλεια. Eust. Ἀθετοῦνται οἱ τρεῖς (v. 346—348.) κ. τ. λ. Vulg.

V. 348. οὐ φθονέοιμι] Τό, οὐ φθονέοιμι ποδῶν ἅψα-

Τὸν δ' αὖτε προςέειπε περίφρων Πηνελόπεια·
ξεῖνε φίλ'· οὐ γάρ πώ τις ἀνὴρ πεπνυμένος ὧδε
ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα·
ὡς σὺ μάλ' εὐφραδέως πεπνυμένα πάντ' ἀγορεύεις·
ἔστι δέ μοι γρηῢς, πυκινὰ φρεσὶ μήδε' ἔχουσα,
ἣ κεῖνον δύστηνον ἐῢ τρέφεν ἠδ' ἀτίταλλεν,
δεξαμένη χείρεσσ', ὅτε μιν πρῶτον τέκε μήτηρ,
ἥ σε πόδας νίψει, ὀλιγηπελέουσά περ ἔμπης.
ἀλλ' ἄγε νῦν ἀνστᾶσα, περίφρων Εὐρύκλεια,
νίψον σοῖο ἄνακτος ὁμήλικα· καί που Ὀδυσσεὺς
ἤδη τοιόςδ' ἐστὶ πόδας, τοῖος δέ τε χεῖρας.
αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.

σθαι, ἀντὶ τοῦ, οὐ μεμφοίμην. πολλαχοῦ γὰρ ὁ φθόνος καὶ ἐπὶ μέμψεως ἁπλῶς τίθεται. Eust. v. ad α, 346. λ, 380.

V. 351. τηλεδαπῶν] πόῤῥωθεν ἀφιγμένων. Vulg.

φιλίων] Ὡς ἡδίων, συγκριτικόν, ἀντὶ τοῦ φιλαίτερος. Ambr. B. Ἔστι φιλίων ὁ φίλτερος, καὶ γίνεται ἐκ τοῦ φίλος, ὁμοίως τῷ, κάλλος, καλλίων. κεῖται δέ που καὶ ἀλλαχοῦ παρὰ τῷ ποιητῇ (ω, 268.). τούτου τὸ ὑπερθετικὸν παρὰ Σοφοκλεῖ (Aj. v. 842.) ἐν τῷ, φιλίστων ἐκγόνων. Eust. Ἰστέον δὲ ὅτι ἄρχεται καὶ ὁ ῥηθεὶς λόγος τῷ ποιητῇ ἀπὸ τοῦ γάρ συνδέσμου. ξεῖνε φίλε, οὐ γάρ πώ τις ἀνήρ κ. ἑ., ἡ δὲ ἀπόδοσις αὐτοῦ μετὰ στίχους τρεῖς ἐν τῷ, ἔστι δέ μοι γραῦς τοιάδε ἀπονίψουσά σε. Id.

V. 353. πυκινά] συνετά. Vulg.

V. 356. ὀλιγηπελέουσα] ὀλίγον ἰσχύουσα, ἀσθενοῦσα. Vulg. ὀλίγον ἔτι τοῦ πέλειν ἔχουσα. τούτου δὲ προκατάρχεται ὄνομα τὸ ὀλιγηπελία. Ambr. B. ὀλιγηπελέουσα, τουτέστιν ἀσθενῶς ἔχουσα καὶ ἤδη ὀλίγη πέλουσα κατὰ τὸ εἶναι, καὶ κατά γε τοῦτο τετληκέναι δοκοῦσα φρεσίν, ὅσα καὶ Ὀδυσσεύς. Eust.

V. 358. σοῖο] (ed. rec. σεῖο) τοῦ σοῦ. Vulg. Eust. σεῖο.

V. 360. ἐν κακότητι] ἐν κακώσει καὶ ἐν ταλαιπωρίᾳ, ἀντὶ τοῦ, ἐν κακοῖς. Ambr. B. Ὅρα ὅτι Ὅμηρος μὲν κακότητα νῦν λέγει τὴν κάκωσιν. Ἡσίοδος δὲ ἐπὶ κακίας τὴν λέξιν τίθησιν ἐν τῷ, τὴν μέντοι κακότητα καὶ ἰλαδόν ἐστιν ἑλέσθαι (ἐργ. v. 285.). Eust. cf. ϑ, 182. π, 364. ρ, 318.

Ὣς ἄρ' ἔφη· γρηῢς δὲ κατέσχετο χερσὶ πρόσωπα,
δάκρυα δ' ἔκβαλε θερμά, ἔπος δ' ὀλοφυδνὸν ἔειπεν·
Ὤ μοι ἐγὼ σέο, τέκνον, ἀμήχανος· ἦ σε περὶ Ζεὺς
ἀνθρώπων ἤχθηρε θεουδέα θυμὸν ἔχοντα.
οὐ γάρ πώ τις τόσσα βροτῶν Διῒ τερπικεραύνῳ
πίονα μηρί' ἔκη', οὐδ' ἐξαίτους ἑκατόμβας,
ὅσσα σὺ τῷ ἐδίδως, ἀρώμενος ἕως ἵκοιο
γῆράς τε λιπαρόν, θρέψαιό τε φαίδιμον υἱόν·
νῦν δέ τοι οἴῳ πάμπαν ἀφείλετο νόστιμον ἦμαρ. —
οὕτω που καὶ κείνῳ ἐφεψιόωντο γυναῖκες

V. 361. κατέσχετο] κατέσχε. Vulg. (Ed. ant. κατέσχεθε, κατέσχε).

V. 362. ὀλοφυδνόν] Τοῦ ὀλοφυδνόν ὀλοφύζω ἐστὶ τὸ πρωτότυπον. Eust.

V. 363. ἀμήχανος] πρὸς ὃν, δηλονότι τὸν Δία, οὐκ ἔστιν εὑρεῖν τινα μηχανήν, ἐξ οὗ δεινὸς καὶ χαλεπός ἐστιν. Ms. Barn. (Barn. hoc scholion ad Il. τ, 273. pertinere existimat).

V. 367. ἕως ἵκοιο] v. ad v. 371.

V. 370. ἐφεψιόωντο] καθήπτοντο, ἐλοιδοροῦντο. Vulg. προσπαίζουσιν (respicit scripturam ἐφεψιόωνται, de qua v. mox Eust.) ἴσως, φησί, καὶ αὐτὸς οὕτως ὑβρίζεται πλανώμενος, ὥσπερ σὺ νῦν ὑβρίζῃ παρὰ τῶν δουλίδων. Ambr. B. Ὅρα καὶ νῦν (v. ad v. 331. et ad ρ, 530.) ἐν τῷ ἐφεψιόωντο καὶ καθεψιόωνται, ὡς λέξις ἐστὶ τὸ ἑψιᾶσθαι καιρία κατὰ ποίησιν, δηλοῦσα διάθεσιν παιγνήμονα, ἐπεὶ καὶ ἕψιά φασι τὰ παίγνια, ὅθεν τὸ ἑψιᾶσθαι. ταυτὸν δὲ ἐφεψιᾶσθαι καὶ καθεψιᾶσθαι, ἐπεί, ὡς καὶ προεσημειώθη, ἐν πολλοῖς ἡ ἐπί πρόθεσις τῇ κατά ἰσοδυναμεῖ. Τὸ δὲ ἐφεψιόωντο ἢ χρόνος ἐστὶ παρῳχημένος ἀντὶ ἐνεστῶτος, ἢ ἐμφαίνει ἀπηλπικέναι τὴν γραῦν ζῆν τὸν Ὀδυσσέα, διὸ πάλαι ποτὲ αὐτὸν ἐφεψιᾶσθαί φησιν. εἰ δὲ γράφεται, ἐφεψιόωνται, δυσμετρίαν ἔχει. Eust.

ξείνων τηλεδαπῶν, ὅτε τευ κλυτὰ δώμαθ᾽ ἵκοιτο,
ὡς σέθεν αἱ κύνες αἵδε καθεψιόωνται ἅπασαι·
τάων νῦν λώβην τε καὶ αἴσχεα πόλλ᾽ ἀλεείνων,
οὐκ ἐάᾳς νίζειν· ἐμὲ δ᾽ οὐκ ἀέκουσαν ἄνωγεν
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια.
τῷ σε πόδας νίψω, ἅμα τ᾽ αὐτῆς Πηνελοπείης
καὶ σέθεν εἵνεκ᾽· ἐπεί μοι ὀρώρεται ἔνδοθι θυμὸς
κήδεσιν. ἀλλ᾽ ἄγε νῦν ξυνίει ἔπος, ὅ,ττι κεν εἴπω·
πολλοὶ δὴ ξεῖνοι ταλαπείριοι ἐνθάδ᾽ ἵκοντο,
ἀλλ᾽ οὔπω τινά φημι ἐοικότα ὧδε ἰδέσθαι,
ὡς σὺ δέμας, φωνήν τε πόδας τ᾽, Ὀδυσῆϊ ἔοικας.

V. 371. *ὅτε — ἵκοιτο*] Τό, ἕως ἵκοιτο, ἀντὶ τοῦ, ὅπως, καὶ νῦν Ἀττικῶς. τὸ γὰρ κοινόν, ὡς ἵκοιτο, ἤγουν, ἵνα καταλάβῃ. ἀλλαχοῦ δὲ τὸ αὐτὸ καὶ εἵως εὕρηται, ὡς τό, τέως τείως. Eust. Patet, hanc notam pertinere ad v. 367., et legendum esse: ἕως ἵκοιο, et mox: ἵνα καταλάβῃς.

V. 372. *κύνες*] ἀναιδεῖς. Vulg.

V. 374. *νίζειν*] πλύνειν. Id.

V. 376. *τῷ σε πόδας νίψω*] διό σου νίψω τοὺς πόδας. Id. Τό, σὲ πόδας νίψω, ὅμοιον τῷ, κέ σε φρένας ἵκετο πένθος, καὶ τοῖς ὁμοίοις. λέγει γὰρ ἤ, ὅτι σε κατὰ τοὺς πόδας νίψω, ἤ, σὲ ἤγουν τοὺς πόδας οὐ μὴν ὅλον τὸν ξένον, ἢ κατ᾽ ἀντίπτωσιν, νίψω σου τοὺς πόδας. Eust.

V. 377. *σέθεν εἵνεκ᾽*] Τό, σέθεν εἵνεκα, ἤγουν διὰ σέ, ὡς ἐοικότα δηλαδὴ τῷ Ὀδυσσεῖ, ὅπερ ἐδήλου ἀνωτέρω (v. 374.) καὶ ἐν τῷ, οὐκ ἀέκουσαν. Eust.

ὀρώρεται] τετάρακται. Vulg. Τοῦ ὀρώρεται ὁ ἐνεστὼς ἀναδρομὴν ἔχει παρακειμένου εἰς ἐνεστῶτα. ἐκ τοῦ ὄρωρα γὰρ τὸ ὀρώρω, ἐξ οὗ τὸ ὀρώρεται. οὕτω δὲ καὶ τὸ προσαρήρεται ἐν Ἡσιόδῳ (εργ. v. 429.) ἐκ τοῦ ἄρηρα ἀρήρω γίνεται. ὁμοίως καὶ ἐκ τοῦ ὄλωλα τὸ ὀλώλω, ὅθεν τό, ὅταν ποτ᾽ ὀλώλῃ Ἴλιος (Il. δ, 164. ζ, 448.). Eust.

V. 378. *κήδεσιν*] Ἀντὶ τοῦ, διὰ τὰ σὰ κήδεα. Ambr. B.

V. 379. *ταλαπείριοι*] ταλαίπωροι. Vulg.

Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γρηῦ, οὕτω φασίν, ὅσοι ἴδον ὀφθαλμοῖσιν
ἡμέας ἀμφοτέρους, μάλα εἰκέλω ἀλλήλοιϊν
ἔμμεναι· ὡς σύ περ αὐτὴ ἐπιφρονέουσ' ἀγορεύεις.
Ὣς ἄρ' ἔφη· γρηῦς δὲ λέβηθ' ἕλε παμφανόωντα,
τῷ πόδας ἐξαπένιζεν, ὕδωρ δ' ἐνεχεύατο πουλὺ
ψυχρόν· ἔπειτα δὲ θερμὸν ἐπήφυσεν. αὐτὰρ Ὀδυσσεὺς
ἷζεν ἐπ' ἐσχαρόφιν, ποτὶ δὲ σκότον ἐτράπετ' αἶψα·

V. 384. *ἰκέλω*] ὁμοίους. *ἀλλήλοιϊν*] ἀλλήλοις. Id. Etiam Eust. ἰκέλω.

V. 385. *ἐπιφρονέουσα*] Τὸ ἐπιφρονέουσα κολακικῶς οἷον ῥηθὲν ταυτόν ἐστι τῷ περίφρων. τοιοῦτον γάρ ποτε καὶ ἡ ἐπί πρόθεσις ἀφ' ἧς καὶ ἐπιόψεσθαι (v. ad β, 294.), τὸ ἀκριβῶς ἐπισκέψασθαι. Eust.

V. 386. *λέβητα*] Νῦν, τὴν λεκάνην. Vulg.

V. 387. *ἐξαπένιζεν*] ἀπένιπτεν. Id. Ὅρα τό, ᾧ πόδας ἐξαπένιζεν, ὡς καὶ εἰς ἄλλά τινα τῶν λεβήτων χρησιμευόντων, οἷον καὶ εἰς λοετρά. ἔνθα καὶ οἱ λοετροχόοι τρίποδες χρήσιμοι, ὡς εἶναι τηνικαῦτα, ὅπερ τὴν πρόχοον τῷ τῆς τραπέζης λέβητι, τοῦτο καὶ τὸν λοετροχόον τρίποδα τῷ τοῦ νίπτεσθαι λέβητι. Ἐν δὲ τῷ, ὕδωρ ἐνεχεύατο πολύ (scr. πουλύ), συστέλλει τὸ ὕδωρ τὴν ἄρχουσαν. μετ' ὀλίγα μέντοι ἐν τῷ, ἐπὶ χθονὸς ἐξέχυθ' ὕδωρ (v. 470.), ἐκτείνει αὐτήν. Eust.

V. 388. *ἐπήφυσεν*] ἐπήντλησεν. Vulg. Τὸ ἐπήφυσεν ἀντὶ τοῦ ἐπήντλησε διά τινος δηλαδὴ ἀγγείου, ὃ καὶ σιγᾷ. οὐ θερμῷ δὲ ψυχρὸν ἐπαφύσσεται κατὰ τὸ ὕστερον ἔθος, ἀλλ' ἀνάπαλιν. Eust.

V. 389. *ποτὶ δὲ σκότον ἐτράπετο*] ἤγουν ἀπεστράφη πρὸς τὸ σκοτεινόν. — Τὸν δὲ ῥηθέντα σκότον οἱ μεθ' Ὅμηρον καὶ σκότος φασίν, ὡς τεῖχος καὶ βέλος. καὶ διφορεῖται, μὲν παρ αὐτοῖς, τὰ πλείω δὲ κατὰ γένος ἀρσενικὸν προάγεται, ὡς δηλοῖ καὶ τὸ, οὐδὲ σκότον φρίσσουσι τὸν συνεργάτην (Eurip. Hippol. v. 417.). Eust.

αὐτίκα γὰρ κατὰ θυμὸν ὀΐσατο, μή ἑ λαβοῦσα
οὐλὴν ἀμφράσσαιτο, καὶ ἀμφαδὰ ἔργα γένοιτο.
νίζε δ' ἄρ' ἄσσον ἰοῦσα ἄναχθ' ἑόν· αὐτίκα δ' ἔγνω
οὐλήν, τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι,
Παρνησόνδ' ἐλθόντα, μετ' Αὐτόλυκόν τε καὶ υἷας,
μητρὸς ἑῆς πατέρ' ἐσθλόν, ὃς ἀνθρώπους ἐκέκαστο
κλεπτοσύνῃ θ' ὅρκῳ τε· θεὸς δέ οἱ αὐτὸς ἔδωκεν,

V. 390. *λαβοῦσα*] *κατασχοῦσα.* Vulg.

V. 391. *οὐλήν*] *τὸ ὑγιασθὲν τραῦμα.* Id. *Ἀττικοὶ τὸ θεραπευθὲν τραῦμα ὠτειλήν φασι. παρὰ δὲ Ὁμήρῳ ὠτειλὴ μὲν τὸ ἀθεράπευτον, οὐλὴ δὲ τὸ θεραπευθέν.* Ambr. B. *Ὅτι ἡ οὐλὴ παρὰ τὸ ὅλον γίνεται, ὡς ἐπιγινομένη ἢ ἕλκει ὁλωθέντι τουτέστιν εἰς ὁλότητα ἐλθόντι, δῆλον. καὶ ὅτι ψιλοῦται διὰ τὴν Ἰωνικὴν τοῦ υ ἐπένθεσιν, καὶ ὅτι ὀξύνεται πρὸς διαστολὴν τῆς οὔλης τριχός, καὶ ὅτι ἀπ' αὐτῆς τὸ ὕπουλον γίνεται.* Eust.

ἀμφράσσαιτο] *ἐπιγνῷ.* Vulg. *ἀνανοήσοι.* Eust.

ἀμφαδά] *ἔκδηλα, προφανῆ.* Vulg.

V. 393. *ἤλασε*] *τύψας ἐποίησε.* Ambr. B.

V. 394. *Παρνησσόνδε*] *εἰς τὸν Παρνασσόν. Παρνασσὸς δὲ ὄρος Δελφῶν.* Eust.

V. 395. *ἐκέκαστο*] *ἐνίκα.* Id. v. *β*, 158.

V. 396. *κλεπτοσύνῃ*] *θ' ὅρκῳ τε*] *Οὐκ ἐπιορκῶν, ἀλλὰ σοφιζόμενος τοὺς ὅρκους αὐτὸς μὲν εὔορκος διέμεινε, τοὺς δὲ ἐγκαλοῦντας διὰ τῆς ἐπινοίας ἔπειθεν.* Ambr. B. *Ἐνταῦθα ἔστι μὲν μαθεῖν κλεπτοσύνην οὐ κακήν, καὶ ὅρκον δὲ οὐ φαῦλον, εἴτε καὶ ἐσθλὸς λέγεται ὁ ταῦτα διαχειριζόμενος, ὡς δηλοῖ τό, μητρὸς πατέρα ἐσθλόν, καὶ ἐναβρύνεται δὲ αὐτοῖς, τοιοῦτον γάρ τι τὸ κεκάσθαι ὅ ἐστι κεκοσμῆσθαι, καὶ θεόθεν δὲ αὐτὰ ἔχει δοθέντα ὡς οἷα δῶρα θεόσδοτα. ἔστι δὲ γνῶναι καὶ Ἑρμῆν κλεπτικῆς ὡς ἐῤῥέθη ἐπιστάτην, καὶ ὅρκων δὲ τῶν ἐπ' αὐτῇ, μάλιστα μὲν τῶν ἐπὶ καλῷ, ἤδη δέ που καὶ τῶν ἀνάπαλιν, ᾧ λόγος ἐστὶ καὶ ἐκ γενετῆς συγκεκληρῶσθαι τὴν κλεπτοσύνην. — Ὅρκος δὲ νῦν οὐχὶ ὁ κατ' ἐπιορκίαν, τοῦτο γὰρ οὔτε ἐσθλοῦ ἀνδρός, οὔτε κοσμεῖ ἄνθρωπον, καὶ οὐδὲ θεὸς δίδωσιν, ἀλλὰ ὁ ἐν καιρῷ σοφιζόμενος, ὅτι δηλαδὴ αὐτὸς μέν τις εὐορκῶν ἐστι, τοὺς δὲ ἐπικλόπῳ*

Ἑρμείας· τῷ γὰρ κεχαρισμένα μηρία καῖεν
ἀρνῶν ἠδ' ἐρίφων· ὁ δέ οἱ πρόφρων ἅμ' ὀπήδει.
Αὐτόλυκος δ' ἐλθὼν Ἰθάκης ἐς πίονα δῆμον,
παῖδα νέον γεγαῶτα κιχήσατο θυγατέρος ἧς·
τόν ῥά οἱ Εὐρύκλεια φίλοις ἐπὶ γούνασι θῆκεν,
παυομένῳ δόρποιο· ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Αὐτόλυκ', αὐτὸς νῦν ὄνομ' εὕρεο, ὅ,ττι κε θείης
παιδὸς παιδὶ φίλῳ· πολυάρητος δέ τοί ἐστιν.
Τὴν δ' αὖτ' Αὐτόλυκος ἀπαμείβετο, φώνησέν τε·
γαμβρὸς ἐμὸς, θυγάτηρ τὲ, τίθεσθ' ὄνομ', ὅ,ττι κεν εἴπω·
πολλοῖσιν γὰρ ἔγωγε ὀδυσσάμενος τόδ' ἱκάνω,
ἀνδράσιν ἠδὲ γυναιξὶν, ἀνὰ χθόνα πουλυβότειραν·

αὐτῷ ἐγκαλοῦντας παραλογίζεται οἷα μὴ ἔχοντας νοεῖν τὸ σόφισμα. Eust.

V. 401. Εὐρύκλεια] Γρ. Ἀντίκλεια. Harl.

V. 403. εὕρεο] Ἐν τῷ, ὄνομα εὕρεο, δῆλον ὡς Ὅμηρος κατῆρξε τοῦ εὑρέσεις λέγεσθαι τὰς ἐπὶ τοῖς ἀδήλοις μεθόδους. παθητικῶς δὲ τὸ εὕρεο, κατ' ἀκολουθίαν τοῦ εὑρέσθαι καὶ τοῦ εὑρόμην. κοινῶς μέντοι εὑρέ καὶ εὑρεῖν, καὶ τοιαῦτά τινα. Eust.

V. 404. πολυάρητος] μετὰ πολλῶν εὐχῶν γενόμενος. Vulg. v. ζ, 280.

V. 406. γαμβρὸς ἐμός] Τό, γαμβρὸς ἐμός, ἀντὶ τοῦ, ὦ γαμβρέ μοι (scr. μου), ὡς δηλοῖ καὶ τό, θύγατερ, ἐπαχθέν. κωλύει δὲ τὸ εἰπεῖν, γαμβρέ, κατὰ κλητικήν, ἡ ἐμός ἀντωνυμία, ἧς οὐκ ἔστι κλητικὴ διὰ τὴν συνέμπτωσιν τὴν πρὸς ἑτέραν ἀντωνυμίαν αἰτιατικὴν τὴν ἐμέ. Eust.

V. 407. ὀδυσσάμενος] μισηθείς, ἢ ὀργὴν ἀγαγών, ἢ βλάψας. Vulg. Τό, πολλοῖσι γὰρ ἔγωγε ὀδυσσάμενος, λέγει μὲν τὸ, πολλοῖς μισηθεὶς καὶ δι' ὀργῆς ἐλθών, παθητικῶς, οὐ μὴν κατ' ἐνέργειαν, ὁποῖον τό, τί νύ οἱ τόσον ὠδύσαο Ζεῦ (α, 62.); ἔχει δὲ τὸν γάρ σύνδεσμον προτεθειμένον, κατὰ συνήθειαν Ὁμηρικὴν

τῷ δ' Ὀδυσεὺς ὄνομ' ἔστω ἐπώνυμον. αὐτὰρ ἔγωγε,
ὁππότ' ἂν ἡβήσας μητρώϊον ἐς μέγα δῶμα
ἔλθῃ Παρνησόνδ', ὅθι πού μοι κτήματ' ἔασιν·
τῶν οἱ ἐγὼ δώσω, καί μιν χαίροντ' ἀποπέμψω.
Τῶν ἕνεκ' ἦλθ' Ὀδυσεύς, ἵνα οἱ πόροι ἀγλαὰ δῶρα.
τὸν μὲν ἄρ' Αὐτόλυκός τε καὶ υἱέες Αὐτολύκοιο
χερσίν τ' ἠσπάζοντο, ἔπεσσί τε μειλιχίοισιν·
μήτηρ δ' Ἀμφιθέη μητρός, περιφῦσ' Ὀδυσῆϊ,
κύσσ' ἄρα μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά.
Αὐτόλυκος δ' υἱοῖσιν ἐκέκλετο κυδαλίμοισιν,
δεῖπνον ἐφοπλίσσαι· τοὶ δ' ὀτρύνοντος ἄκουσαν·
αὐτίκα δ' εἰσάγαγον βοῦν ἄρσενα πενταέτηρον·
τὸν δέρον, ἀμφί θ' ἕπον καί μιν διέχευαν ἅπαντα,

ἐμπερίβολον. τὸ μέντοι σαφὲς καὶ ὀρθώτερον οὕτω· τῷ δ' Ὀδυσσεὺς ὄνομα ἔστω, πολλοῖς γὰρ ἔγωγε ὀδυσσάμενος τόδ' ἱκάνω, ἀντὶ τοῦ ἐνταῦθα. Eust.

V. 409. ἐπώνυμον] φερώνυμον. Vulg. Ἐπώνυμον καὶ νῦν, ὡς καὶ ἐν ἄλλοις, τὸ φερώνυμον, οὐχ ὅτι μέντοι αὐτὸς ὁ παῖς παρώργησέ (scr. παρώργισέ) τινας, ἀλλ' ὅτι ὁ πάππος, ὁποῖα καὶ ἄλλα τοιαῦτα δεδήλωται. καὶ ὅμως, εἴ τις διὰ τὸν πάππον ὀδώδυσται καὶ τῷ ἐγγόνῳ παιδί, εἴη ἂν πως καὶ ὁ παῖς ἐπωνύμως δι' ἑαυτὸν Ὀδυσσεύς. Eust. v. ad η, 54.

V. 410. ἡβήσας] ἐν ἀκμῇ ἡλικίας γενόμενος (quam addunt vocem edd. ant. ὀδυσσάμενος, ea ex scholio ad v. 407. huc translata videtur). Vulg.

V. 411. κτήματα] Κτήματα καὶ νῦν ἁπλῶς τὰ ἐν κτήσει, ἐξ ὧν καὶ τὰ δῶρα δίδονται, ὡς δηλοῖ ἐπαγόμενον τό, ἦλθεν Ὀδυσσεύς, ἵνα οἱ πόροι ἀγλαὰ δῶρα. Eust.

V. 416. μήτηρ — μητρός] Τό, μήτηρ μητρός, παραφράζει τὴν μάμμην, καθὰ καὶ πρὸ αὐτοῦ τὸν ἔγγονον τό, παιδὸς παιδὶ φίλῳ (v. 404.). Id. Ἀμφιθέη] Ἀντικλείας μήτηρ. περιφῦσα] περιπλακεῖσα. Vulg.

μίστυλλόν τ' ἄρ' ἐπισταμένως, πεῖράν τ' ὀβελοῖσιν,
ὤπτησάν τε περιφραδέως, δάσσαντό τε μοίρας.
ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
δαίνυντ'· οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθεν,
δὴ τότε κοιμήσαντο, καὶ ὕπνου δῶρον ἕλοντο.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
βάν ῥ' ἴμεν ἐς θήρην, ἠμὲν κύνες, ἠδὲ καὶ αὐτοὶ
υἱέες Αὐτολύκου· μετὰ τοῖσι δὲ δῖος Ὀδυσσεὺς
ἤϊεν· αἰπὺ δ' ὄρος προσέβαν καταειμένον ὕλῃ
Παρνησοῦ· τάχα δ' ἵκανον πτύχας ἠνεμοέσσας.
Ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας,
ἐξ ἀκαλαῤῥείταο βαθυῤῥόου Ὠκεανοῖο.
οἱ δ' ἐς βῆσσαν ἵκανον ἐπακτῆρες· πρὸ δ' ἄρ' αὐτῶν

V. 431. ὄρος — καταειμένον ὕλῃ] Ὄρος καταειμένον ὕλῃ, τὸ δασὺ καὶ οἷον ἐνδεδυμένον φυτῶν πυκνότητι καὶ κεκαλυμμένον. ὅθεν καὶ εἴνω τὸ καλύπτω, οὗ παράγωγον τὸ εἰνύω, ὡς τό, θριξὶ δὲ πάντα νέκυν καταείνυον (Il. ψ, 135.). Τὸ δὲ ὄρος νῦν μέν, ὡς καὶ ἀλλαχοῦ ποτε, κοινῶς προήνεκται, τὰ πλείω δὲ ἰάζεται, ὡς καὶ ἐν τῷ, κατ' οὔρεος εἶσι, καί, οὔρεά τε σκιόεντα. — Ἰστέον δὲ ὅτι ἐκ τοῦ, ὄρος ἐνδεδυμένον ὕλῃ, ληφθῆναι δοκεῖ καὶ τὸ ὕδωρ ἀμφιέννυσθαι τὸν δύντα καθ' ὕδατος, καὶ πυρὶ σπαργανοῦσθαι τὸν πυρούμενον. ἐντεῦθεν δὲ καὶ ἱμάτια πόλεως ὁ τειχισμός. τῇ ῥηθείσῃ δὲ Ὁμηρικῇ ἐννοίᾳ συγγενὲς καὶ τὸ λάϊνον ἕσασθαι χιτῶνα τὸν λίθοις χωσθέντα. Eust. cf. ν, 351. προσέβαν] Ἀντὶ τοῦ, ἀνῆλθον. Vulg.

V. 432. πτύχας] τὰς ἀποκλίσεις. Vulg.

V. 434. ἐξ ἀκαλαῤῥείταο] ἐξ ἡσύχως ῥέοντος. Id. Ἀκαλαῤῥείτης Ὠκεανὸς κατὰ τοὺς σοφοὺς ὁ ἀκαλῶς καὶ ἡσύχως ῥέων ὅ ἐστι πλημύρων, ὡς καὶ ἐν ἄλλοις ἐδηλώθη (ad Il. η, 422.). τὰς γὰρ ἐπιβάσεις φασὶ τῶν πλημυρίδων, ἃς πολλαχοῦ ποιεῖ, πρᾳείας ποεῖ καὶ οὐ τελείως ῥοώδεις. Eust. Ἀκαλαῤῥείτης. πρᾴως ῥέων. ἄκαλον γὰρ τὸ ἥσυχον. Apollon.

V. 435. βῆσσαν] τὴν πρόσβασιν τοῦ ὄρους. Vulg.

ἴχνι' ἐρευνῶντες κύνες ἤϊσαν· αὐτὰρ ὄπισθεν
υἱέες Αὐτολύκου· μετὰ τοῖσι δὲ δῖος Ὀδυσσεὺς
ἤϊεν ἄγχι κυνῶν, κραδάων δολιχόσκιον ἔγχος.
ἔνθα δ' ἄρ' ἐν λόχμῃ πυκινῇ κατέκειτο μέγας σῦς·
τὴν μὲν ἄρ' οὔτ' ἀνέμων διάει μένος ὑγρὸν ἀέντων,
οὔτε μιν Ἠέλιος φαέθων ἀκτῖσιν ἔβαλλεν,
οὔτ' ὄμβρος περάασκε διαμπερές· ὥς ἄρα πυκνὴ
ἦεν· ἀτὰρ φύλλων ἐνέην χύσις ἤλιθα πολλή.
τὸν δ' ἀνδρῶν τε κυνῶν τε περὶ κτύπος ἦλθε ποδοῖϊν,
ὡς ἐπάγοντες ἐπῆσαν· ὁ δ' ἀντίος ἐκ ξυλόχοιο,

ἐπακτῆρες] Ἐπακτῆρες, οἱ κυνηγοί. καὶ ὡς μὲν ἐκ τοῦ ἐπάγειν ἡ λέξις γίνεται, δηλοῖ ὁ ποιητὴς μετ' ὀλίγα ἐν τῷ, ὡς ἐπάγοντες ἐπῆσαν (v. 445.). διττὴ δὲ τῆς λέξεως ἔννοια. ἢ γὰρ διότι ἐπάγονται κύνας, ὅθεν καὶ συνθέτως κυνηγοὶ λέγονται, ἢ ὅτι ἐπὶ τοῖς κυσὶν ἤγουν μετὰ τοὺς κύνας ἄγονται εἰς θήραν, διὰ τὸ ἐκείνους προϊέναι, ὡς δηλοῖ τό, ἵκανον ἐπακτῆρες, πρὸ δ' ἄρ' αὐτῶν κύνες ἤϊσαν. ὧν παράφρασις τό, ὡς ἐπάγοντες ἐπῆσαν, ἤγουν μετ' ἐκείνους καὶ ἤϊσαν. δῆλον δὲ ὅτι ἐκ τοῦ ἤϊσαν τὸ ἐπῆσαν συνῄρηται. Eust. Ἐπακτῆρες. θηρευταί, οἱ τοὺς κύνας ἐπάγοντες ταῖς τῶν θηρίων κοίταις. Apollon.

V. 436. ἤϊσαν] ἐπορεύοντο. Vulg.

V. 439. λόχμῃ] συνδένδρῳ τόπῳ. Id. ὑλώδει χωρίῳ, πρὸς κοίτης (scr. κοίτας) ἐπιτηδείῳ, ἀπὸ τοῦ λέξασθαι. Ambr. B.

V. 440. διάει] διέπνει. Vulg.

V. 443. ἤλιθα] Γίνεται ἐκ τοῦ ἀλίζω, τὸ συναθροίζω, ἀθροίσεως ἐπίῤῥημα, σημαίνει τὸ ἀθρόως. τάττεται δὲ καὶ ἀντὶ τοῦ ματαίως, οἷον· Ἐπέχραον ἤλιθα χερσίν, ἀντὶ τοῦ, ματαίως (Apoll. Rh. 2, 283.). Vulg. Ἤλιθα. ἀθρόως καὶ χύδην. ἤλιθα πολλή. Apollon. cf. ε, 483. ι, 330.

V. 444. ποδοῖϊν] Ἐν τῷ, κτύπος ποδοῖϊν, ὅρα ὡς ἀπὸ μέρους τοῦ κατ' ἄνδρας ἔφρασε τὸ ποδοῖϊν, οὐ προςλογισάμενος καὶ τοὺς τετράποδας κύνας. Eust.

V. 445. ἐπῆσαν] ἐπήρχοντο. Vulg.

φρίξας εὖ λοφιήν, πῦρ δ' ὀφθαλμοῖσι δεδορκώς,
στῆ ῥ' αὐτῶν σχεδόθεν· ὁ δ' ἄρα πρώτιστος Ὀδυσσεὺς
ἔσσυτ', ἀνασχόμενος δολιχὸν δόρυ χειρὶ παχείῃ,
οὐτάμεναι μεμαώς· ὁ δέ μιν φθάμενος ἔλασεν σῦς
γουνὸς ὕπερ· πολλὸν δὲ διήφυσε σαρκὸς ὀδόντι
λικριφὶς ἀΐξας, οὐδ' ὀστέον ἵκετο φωτός.
τὸν δ' Ὀδυσεὺς οὔτησε τυχὼν κατὰ δεξιὸν ὦμον,
ἀντικρὺ δὲ διῆλθε φαεινοῦ δουρὸς ἀκωκή·
κὰδ δ' ἔπεσ' ἐν κονίῃσι μακών, ἀπὸ δ' ἔπτατο θυμός.
τὸν μὲν ἄρ' Αὐτολύκου παῖδες φίλοι ἀμφεπένοντο·

V. 446. *λοφιήν*] τένοντα. Vulg. Τὸ φρίσσειν ὅτι κυρίως τριχῶν δηλοῖ ὄρθωσιν, πολλαχοῦ δεδήλωται, διὸ πάνυ κυριολεκτεῖται ἐνταῦθα τό, φρίξας λοφιάν. Λοφιὰ δὲ ἐπὶ συὸς κυριολεκτεῖται, καθάπερ ἡ χαίτη ἐπὶ ἵππου καὶ λέοντος. ἴσως δὲ ἡ λοφιὰ καὶ ἐπὶ τοιούτων λέγεται, ὡς δηλοῖ ὁ γράφων, ζῶα λόφουρα τὰ ὥς φασί τινες ἔχοντα λόφους καὶ οὐράς. πρὸς ὃ ἔστιν εἰπεῖν, ὡς διαφέρει λόφος καὶ λοφιά. λέγεται δὲ λοφιά, ὡς ἐν τῷ λόφῳ οὖσα ἤγουν τῷ περὶ τὸν αὐχένα τόπῳ. Eust.

V. 448. *ἀνασχόμενος*] τουτέστιν, ἀνατείνας. Eust.

V. 450. *γουνὸς ὕπερ*] ὑπεράνω τοῦ γόνατος. Vulg. κατὰ τὴν ἀρχὴν τοῦ μηροῦ. Ambr. B.

διήφυσε] διέκοψε, διέσχισεν. Vulg. Τὸ διήφυσε βάθος δηλοῖ τῆς πληγῆς ἕως ἐγγὺς τοῦ ὀστέου. — ἀστείως δὲ ἐῤῥέθη τὸ διήφυσε καὶ ἀσφαλῶς, ὡς πολλῆς ἐκεῖθεν ὑγρᾶς σαρκὸς οἷον ἐξαντληθείσης. διάφορον δὲ τὸ διήφυσε πρὸς τὸ ἐπήφυσε τὸ πρὸ βραχέων ῥηθέν (v. 388.). Eust.

V. 451. *λικριφίς*] πλαγίως. Ms. Barn. Διὰ τοῦ λικριφίς δηλοῖ, ὅτι οὐ μέχρι τῶν ὀστέων καθίκετο. ἐτυμολογοῦσι δὲ τὸ λικριφίς, οἷον λίαν κεκρυμμένως. οἱ δέ, περὶ τὰ ἰκρία, ὅ ἐστι τὰ πλάγια ξύλα, καὶ τὸ λίαν. Ambr. B. *Λικριφής* (scr. φίς). ἐκ πλαγίων. καὶ λέχριον, τὸ πλάγιον. ὁ δὲ Ἀπίων, λοξῶς. Apollon.

V. 455. *τὸν — ἀμφεπένοντο*] τουτέστι, περὶ αὐτὸν ἐπονοῦντο, ἤτοι περὶ Ὀδυσσέα. ἴσως δὲ καὶ περὶ τὸν σῦν. Eust.

ὠτειλὴν δ' Ὀδυσῆος ἀμύμονος, ἀντιθέοιο,
δῆσαν ἐπισταμένως· ἐπαοιδῇ δ' αἷμα κελαινὸν
ἔσχεθον· αἶψα δ' ἵκοντο φίλου πρὸς δώματα πα-
τρός.
τὸν μὲν ἄρ' Αὐτόλυκός τε καὶ υἱέες Αὐτολύκοιο
εὖ ἰησάμενοι, ἠδ' ἀγλαὰ δῶρα πορόντες,
καρπαλίμως χαίροντα φίλην χαίροντες ἔπεμπον
εἰς Ἰθάκην· τῷ μέν ῥα πατὴρ καὶ πότνια μήτηρ
χαῖρον νοστήσαντι, καὶ ἐξερέεινον ἕκαστα,
οὐλὴν ὅ,ττι πάθοι· ὁ δ' ἄρα σφίσιν εὖ κατέλεξεν,
ὥς μιν θηρεύοντ' ἔλασεν σῦς λευκῷ ὀδόντι,
Παρνησόνδ' ἐλθόντα σὺν υἱάσιν Αὐτολύκοιο.
Τὴν γρηῢς χείρεσσι καταπρηνέσσι λαβοῦσα,
γνῶ ῥ' ἐπιμασσαμένη, πόδα δὲ προέηκε φέρεσθαι·
ἐν δὲ λέβητι πέσε κνήμη· κανάχησε δὲ χαλκός,

V. 457. ἐπαοιδῇ δ' αἷμα] Διοκλῆς ἐπαοιδὴν παρέδωκε τὴν παρηγορίαν· ἴσχαιμον γὰρ εἶναι ταύτην, ὅταν τὸ πνεῦμα τοῦ τετρωμένου προςεχὲς ᾖ καὶ ὥςπερ προςηρτημένον τῷ παρηγοροῦντι. ὡς καὶ δι' ἑτέρων, ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω (Il. ο, 401.). Vulg. Ἰστέον ὅτι ἀρχαία ἐστὶν ἡ διὰ τῆς ἐπαοιδῆς θεραπεία, ὥςτε καὶ Πίνδαρος (Pyth. 3, 91.) ἐπὶ τοῦ Ἀσκληπιου: μαλακαῖς ἐπαοιδαῖς, λέγει. Ms. Barn. cf. Etymol. M. Ἐν τῷ, ἐπαοιδῇ δ' αἷμα ἔσχεθον, ἔστι νοεῖν ὅτι καθάπερ τὰ περίαπτα, τοιοῦτον γάρ τι ὁ κεστὸς ὁ ἐν Ἰλιάδι, οὕτω καὶ τὴν δι' ἐπαοιδῶν θεραπείαν οἶδεν ὁ ποιητής. Eust.

V. 458. ἔσχεθον] Ἀντὶ τοῦ, ἔπαυσαν. Vulg.

V. 460. πορόντες] δόντες, παρασχόντες. Id.

V. 466. Παρνησόνδ'] Ὁ Παρνησός, ὃν ἡ κοινὴ χρῆσις διὰ τοῦ ᾱ λέγει Παρνασόν, πολὺς ἐν ταῖς ἱστορίαις, φυλάσσων μέχρι καὶ νῦν παρὰ Βοιωτοῖς ὑποβάρβαρον τὸ ἀρχαῖον ὄνομα. Ταρνεσὸν γὰρ αὐτὸν παραλαλοῦντές φασιν οἱ ἐγχώριοι. ἡ δὲ διὰ τῶν δύο σσ γραφὴ τοῦ Παρνησσοῦ κατήργηται παρὰ τοῖς ὕστερον. Eust.

V. 468. ἐπιμασσαμένη] Ἀντὶ τοῦ, ἐφαψαμένη. Vulg.

ἂψ δ' ἑτέρωσ' ἐκλίθη· τὸ δ' ἐπὶ χθονὸς ἐξέχυθ' ὕδωρ.
τὴν δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα· τὼ δέ οἱ ὄσσε
δακρυόφι πλῆσθεν· θαλερὴ δέ οἱ ἔσχετο φωνή.
ἁψαμένη δὲ γενείου Ὀδυσσῆα προσέειπεν·
Ἦ μάλ' Ὀδυσσεύς ἐσσι, φίλον τέκος· οὐδέ σ' ἔγωγε
πρὶν ἔγνων, πρὶν πάντα ἄνακτ' ἐμὸν ἀμφαφάασθαι.
Ἦ, καὶ Πηνελόπειαν ἐσέδρακεν ὀφθαλμοῖσιν,
πεφραδέειν ἐθέλουσα φίλον πόσιν ἔνδον ἐόντα.
ἡ δ' οὔτ' ἀθρῆσαι δύνατ' ἀντίη, οὔτε νοῆσαι·
τῇ γὰρ Ἀθηναίη νόον ἔτραπεν· αὐτὰρ Ὀδυσσεὺς
χείρ' ἐπιμασσάμενος φάρυγος λάβε δεξιτερῆφιν,
τῇ δ' ἑτέρῃ ἕθεν ἆσσον ἐρύσσατο, φώνησέν τε·
Μαῖα, τίη μ' ἐθέλεις ὀλέσαι; σὺ δέ μ' ἔτρεφες αὐτὴ
τῷ σῷ ἐπὶ μαζῷ· νῦν δ' ἄλγεα πολλὰ μογήσας
ἤλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
ἀλλ' ἐπεὶ ἐφράσθης, καί τοι θεὸς ἔμβαλε θυμῷ,

V. 471. χάρμα καὶ ἄλγος] Ὅθεν λαβών φασι Σοφοκλῆς ἔφη ὡς, χάρμα ὑφέρπει δάκρυον ἐκκαλούμενον (Vulg. ed. ant. ἐκκαλουμένη). Eust.

V. 477. πεφραδέειν] ἐπιδεῖξαι, εἰπεῖν. Vulg.

V. 479. ἔτραπεν] ἔτρεψεν. Id.

V. 480. φάρυγος] Ὅρα τὸ φάρυγος δι' ἑνὸς γ γραφὲν κἀνταῦθα, καθὰ καὶ ἐν τῷ, φάρυγος δ' ἐξέσσυτο οἶνος (ι, 373.), ὡς ἀπὸ τοῦ φάρυξ ὡς δοῖδυξ, εἰ καὶ διὰ τοῦ κ ἐκεῖνο κλίνεται. καὶ δοκεῖ τοῦτο εἶναι φυσικώτερον, καθὰ καὶ τὸ ἴϋξ τοῦ ἴϋγξ ἴϋγγος. Eust. φάρυγος] τοῦ στόματος. Vulg.

V. 485. ἐφράσθης] ἐπέγνως. Vulg.

σίγα, μήτις τ' ἄλλος ἐνὶ μεγάροισι πύθηται.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
εἴ χ' ὑπ' ἐμοίγε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς,
οὐδὲ τροφοῦ οὔσης σεῦ ἀφέξομαι, ὁππότ' ἂν ἄλλας
δμωὰς ἐν μεγάροισιν ἐμοῖς κτείνωμι γυναῖκας.
Τὸν δ' αὖτε προσέειπε περίφρων Εὐρύκλεια·
τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων!
οἶσθα μέν, οἷον ἐμὸν μένος ἔμπεδον, οὐδ' ἐπιει-
κτόν·
ἕξω δ', ὡς ὅτε τις στερεὴ λίθος ἠὲ σίδηρος.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
εἴ χ' ὑπὸ σοίγε θεὸς δαμάσῃ μνηστῆρας ἀγαυούς,
δὴ τότε τοι καταλέξω ἐνὶ μεγάροισι γυναῖκας,
αἵ τέ σ' ἀτιμάζουσι, καὶ αἳ νηλιτεῖς εἰσίν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις
Ὀδυσσεύς·
μαῖα, τίη δὲ σὺ τὰς μυθήσεαι; οὐδέ τί σε χρή.
εὖ νυ καὶ αὐτὸς ἐγὼ φράσομαι καὶ εἴσομ' ἑκάστην·
ἀλλ' ἔχε σιγῇ μῦθον, ἐπίτρεψον δὲ θεοῖσιν.

V. 489. ἀφέξομαι] ἀπόσχωμαι, φείσομαι. Id.

V. 490. κτείνωμι] Γρ. τείναιμι (scr. κτείναιμι). Harl.

V. 493. οὐδ' ἐπιεικτόν] Ἔστι ἐπιεικτὸν κυρίως τὸ εἶκον ἀφῇ ὡς μαλακόν, οὐκ ἐπιεικτὸν δὲ τὸ ἀνάπαλιν. Eust.

V. 494. ἕξω] ἐν ἐμαυτῇ (ed. ant. ἑαυτῇ) κατάσχω. Vulg. Τὸ ἕξω ἀντὶ τοῦ κατάσχω τὸ πρᾶγμα, σιγήσω, κατὰ τό, ἀλλ' ἔχε σιγῇ μῦθον, ὃ κατωτέρω κεῖται (v. 502). ἢ καὶ ἄλλως κοινότερον ἀντὶ τοῦ, διατεθῶ ἐφ' οἷς παραγγέλλεις. Eust.

στερεὴ λίθος] Ὅρα τὸ λίθος θηλυκῶς λεχθέν. Eust.

V. 497. καταλέξω] ἑκάστην εἴπω. Vulg.

V. 498. νηλητεῖς] (ita Barnes., ed. ant. νηλιτεῖς) λίαν ἁμαρτωλαί, ἄλλοι ἀπέδοσαν, τοῦ νη ἐπιτατικοῦ ὄντος, ὡς ἐν τῷ, νήχυτος ὄρπηξ (Nicandr. Ther. 33.). ἄμεινον δέ, τὰς ἀναμαρτή-

Ὣς ἄρ' ἔφη· γρηῢς δὲ δι' ἐκ μεγάροιο βεβήκει,
οἰσομένη ποδάνιπτρα· τὰ γὰρ πρότερ' ἔκχυτο πάντα.
αὐτὰρ ἐπεὶ νίψεν τε καὶ ἤλειψεν λίπ' ἐλαίῳ,
αὖτις ἄρ' ἀσσοτέρω πυρὸς ἕλκετο δίφρον Ὀδυσσεὺς
θερσόμενος, οὐλὴν δὲ κατὰ ῥακέεσσι κάλυψεν.
τοῖσι δὲ μύθων ἦρχε περίφρων Πηνελόπεια·
Ξεῖνε, τὸ μέν σ' ἔτι τυτθὸν ἐγὼν εἰρήσομαι αὐτή·
καὶ γὰρ δὴ κοίτοιο τάχ' ἔσσεται ἡδέος ὥρη,
ὅντινά γ' ὕπνος ἕλοι γλυκερὸς, καὶ κηδόμενόν περ.
αὐτὰρ ἐμοὶ καὶ πένθος ἀμέτρητον πόρε δαίμων·
ἤματα μὲν γὰρ τέρπομ' ὀδυρομένη, γοόωσα,
ἔς τ' ἐμὰ ἔργ' ὁρόωσα καὶ ἀμφιπόλων ἐνὶ οἴκῳ·
αὐτὰρ ἐπὴν νὺξ ἔλθῃ, ἕλῃσί τε κοῖτος ἅπαντας,
κεῖμαι ἐνὶ λέκτρῳ, πυκιναὶ δέ μοι ἀμφ' ἀδινὸν κῆρ

τους, συγκειμένης τῆς λέξεως ἐκ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ ἀλιταίνειν, ἵν' ᾖ, ὅσαι ἁμαρτάνουσαι, καὶ ὅσαι οὔ. Vulg. Παρὰ τὸ ἀλιτεῖν. Ἀρίσταρχος δὲ τοὺς πολυαμαρτήτους, τοῦ νη ἐπιτατικοῦ ὄντος. ἄμεινον δέ, τοὺς ἀναμαρτήτους. Ambr. B. Νηλιτεῖς, ἢ νηλίτιδες ἀπὸ εὐθείας βαρυτόνου καθ' ἑτέραν γραφήν. Eust. cf. ad π, 317. (Lectionem νηλίτιδες exhibet lemma Ambrosiani.) et Eust. ad υ, 121.

V. 504. ποδάνιπτρα] v. ad v. 343. Ὅτι καὶ τοὺς πόδας ἀπονιπτόμενοι ἐλαίῳ ἤλειφοντο οἱ παλαιοί. Eust.

V. 507. θερσόμενος] θερμανθησόμενος. Vulg. Eust.

V. 510. κοίτοιο — ὥρη] ἤγουν, ταχὺ ἔσται εὐνασθῆναι καιρός. Eust.

V. 511. ὅντινά γ' ὕπνος ἕλοι] Οἷον, ἐμὲ μὲν γὰρ οὐχ αἱρεῖ. Vulg.

V. 515. ἦλθεν] Γράφεται, ἔλθῃ. Ambr. B.

κοῖτος] Ἀντὶ τοῦ, ὕπνος. Vulg.

V. 516. πυκιναί] συνεχεῖς. Id. Κῆρ ἀδινόν, ἢ τὸ οἰ-

ὀξεῖαι μελεδῶναι ὀδυρομένην ἐρέθουσιν.
ὡς δ' ὅτε Πανδαρέου κούρη, χλωρηῒς Ἀηδών,

κτρόν, ἢ τὸ πυκινόν. τοιοῦτον γὰρ τὸ τῆς καρδίας σπλάγχνον. Eust.

V. 517. μελεδῶναι] μέριμναι. Vulg. Ὅρα τὸ μελεδῶναι, οὗ ἡ εὐθεῖα ἡ μελεδώνη. ὅτι δὲ καὶ τρισυλλάβως ἔστιν ἡ μελεδών, οὐκ ἔστιν ἀμφιβαλεῖν. γίνονται δὲ ἀμφότερα παρὰ τὸ τὰ μέλη ἔδειν. Eust.

V. 518. ὡς δ' ὅτε Πανδαρέου κούρη] Ἰστέον ὅτι ἡ ῥηθεῖσα παραβολὴ οὐ τοσοῦτον διὰ τὸ πένθος παρείληπται, ὅσον διὰ τὸ τρέπεσθαι τὴν γυναῖκα εἰς πολλοὺς λογισμούς, καθὰ καὶ ἡ ἀηδὼν θαμὰ τρωπῶσα χέει φωνήν. διὸ καὶ ἡ ἀπίδοσις τῆς παραβολῆς δίχα φησὶν αὐτῇ ὀρώρεσθαι ἤγουν ὀρίνεσθαι τὴν ψυχὴν ἔνθα καὶ ἔνθα (v. 524.). Τὸν δὲ περὶ τῆς ἀηδόνος μῦθον διαφόρως ἤτοι ἀνομοίως τοῖς νεωτέροις μεταχειρίζεται ὁ ποιητής. οὔτε γὰρ Πανδίονος ὁμοίως αὐτοῖς μέμνηται, εἰ μὴ ἄρα διώνυμος ἐκεῖνος ἦν Πανδάρεός τε καὶ Πανδίων καλούμενος, οὔτε Πρόκνης, οὔτε Τειρέως. καὶ τὸν παρὰ τοῖς νεωτέροις δὲ Ἴτυν Ἴτυλον αὐτὸς λέγει. — εὕρηται δὲ γραφὴ παλαιὰ καὶ τὸν παρὰ τῷ ποιητῇ Ζῆθον Ζήτην γράφουσα, οἷον, κοῦρον Ζήταο ἄνακτος, καὶ τὸν Ἴτυλον βουλομένη Ἀήτυλον εἶναι, κατὰ ἀφαίρεσιν δὲ τοῦ α Ἤτυλον διὰ τοῦ η, ὡς οἱονεὶ ἐξ ἀητοῦ γένος ἕλκοντα, ὅθεν καὶ ὁ πατὴρ Ζήτης. Βορέου γὰρ ἐκεῖνος υἱός. — ἃ δὲ κοινῶς οἱ μεθ' Ὅμηρον περὶ ἀηδόνος γράφουσι, τοιαῦτά ἐστι. Πανδίονος Ἀττικοῦ τυράννου γίνεται Πρόκνη καὶ Φιλομήλα. τούτων ἡ Φιλομήλα γαμεῖται Τηρεῖ τῷ Θρακί, καὶ γίνεται τῷ μετοικισμῷ ἐξ Ἀττικῆς γυναικὸς Θρακική. μέλλοντα δέ ποτε Ἀθήναζε τὸν Τηρέα ἥκειν ἱκέτευεν ἡ γυνή, τὴν ἀδελφὴν Πρόκνην ἐν τῷ ἐπανήκειν συνενέγκασθαι. ὁ δὲ ποιεῖ μὲν τοῦτο, περὶ δὲ τὴν ὁδὸν βιάζεται τὴν κόρην, καὶ φθείρας γλωσσοτομεῖ, ὡς ἂν μὴ ἔχοι τῇ ἀδελφῇ ἐκλαλῆσαι τὸ πάθος. ἀλλ' ἡ Πρόκνη ἐν ἱστῷ ἐξυφαίνει τὴν βίαν, καὶ ἐπεὶ μὴ εἶχε τῇ γλώττῃ, ἐκφαίνει τῇ χειρί. καὶ ἡ Φιλομήλα, τὴν τῆς ἀδελφῆς γλῶτταν ἀντισταθμᾶται τοῦ παιδός, καὶ ἀνελοῦσα τὸν υἱὸν Ἴτυν παραβάλλει τῷ ἀνδρὶ φαγεῖν. ὁ δὲ παθὼν τὴν βρῶσιν, ἀλλ' ὕστερον γνωρίζει τὸν παῖδα λειψάνοις μικροῖς τεκμηράμενος, καὶ διώκει τὰς ἀδελφάς, τῷ παιδὶ συγκαταθύσων αὐτάς. αἱ δὲ φεύγουσι, καὶ τοὺς κρείττονας αἰτησάμεναι πτερύσσονται, εἰς χελιδόνα μὲν ἡ Φιλομήλα, Πρόκνη δὲ εἰς ἀηδόνα. διὸ τραχύφωνος μέν ἐστιν ἡ χελιδὼν καὶ ἀηδὴς τὸ μέλος

οἷα κολουσθεῖσα τῆς γλώττης, καὶ συχνὰ τὸν Τηρέα ὑποτραυλίζουσα κατὰ στόμα προφέρει. ἀηδὼν δὲ τὸν Ἴτυν τοῦ μέλους προβάλλεται. Τηρεὺς δὲ εἰς ἔποπα μορφωθείς, ποῦ ἄρα εἰσίν, ἀναφωνεῖ συχνά. καὶ οὕτω μὲν οἱ τοιοῦτοί φασιν. τοῖς δὲ περὶ τὸν ποιητὴν ἑτεροῖα δοκεῖ. Πανδαρέου, ᾧ πατὴρ Μέροψ ὁ Μιλήσιος, κούρας οἴδασι Μερόπην, Κλεοθήραν, καὶ Ἀηδόνα. τούτων ἡ πρεσβυτάτη Ἀηδὼν Ζήθῳ τῷ Ἀμφίονος ἀδελφῷ φασι γαμηθεῖσα ἔσχεν υἱὸν ἕνα τὸν Ἴτυλον. φθονοῦσα δὲ τῇ τοῦ δαέρος Ἀμφίονος πολυτεκνίᾳ, συχνοὶ γὰρ αὐτῷ ἐγίνοντο παῖδες ἐκ Νιόβης τῆς Ταντάλου, ἢ Ἱππομεδούσης, ἐπεὶ ἑώρα τὸν υἱὸν Ἴτυλον συναθύροντα ἐκείνοις καί ποτε καὶ συνανακλινόμενον, παραγγέλλει κατὰ καιρὸν τῷ παιδὶ ἰδίᾳ κοιτασθῆναι, ἢ κατά τινας τὴν ἐνδοτέρω κοίτην ἑλέσθαι, ὡς ἂν ἀωρὶ νυκτὸς αὐτὴ ἐπελθοῦσα τὸν πρῶτον ἀποσφάξῃ τῶν Ἀμφίονος παίδων. ὁ δὲ ἦν ὁ Ἀμαλεύς. τοῦ δὲ Ἰτύλου ἐκλαθομένου ἢ ἄλλως μὴ ὑπακούσαντος, ἐπεισφρήσουσα νυκτὸς ἡ Ἀηδὼν ἀποσφάττει τὸν παῖδα Ἴτυλον, εἰς τὸν Ἀμαλέα δοκοῦσα βάπτειν τὸ ξίφος. ὡς δὲ τὸ τοῦ φθόνου κακὸν οὕτω κατέσκηψεν εἰς τὸν Ἴτυλον, κάτοχος ἡ μήτηρ γενομένη τῷ πένθει αἰτεῖ θεοὺς ἐξ ἀνθρώπων γενέσθαι. καὶ ἀλλαγεῖσα εἰς ἀηδόνα τὴν φαινομένην, τὸ τοῦ Ἰτύλου πένθος ὅμως οὐ μετήλλαξεν, ἀλλ' ἐπὶ τὸ στόμα ἔχει αὐτὸν ᾄδουσα. — Ἄλλοι δὲ τὴν ἄνθρωπον Ἀηδόνα οὐκ ἀγνοοῦσάν φασι τὸν Ἴτυλον ἀνελεῖν, ἀλλὰ ἑκοῦσαν. κτείνασα γάρ φασι τὸν τοῦ Ἀμφίονος Ἀμαλέα, εἶτα δὴ φόβῳ τῆς ἐκείνου γυναικὸς καὶ τὸν ἴδιον Ἴτυλον ἐπέσφαξε, φθάνουσα τὴν ἐλπιζομένην ἐκ τῆς δυσμενοῦς κόλασιν. — Περὶ δὲ τοῦ ῥηθέντος Πανδαρέου φέρεται λόγος, ὅτι κύνα κλέψας χρυσοῦν ἐν Κρήτῃ, Ἡφαίστου ἔργον ἔμψυχον, ἐκ τοῦ Διὸς τεμένους, παρακατέθετο Ταντάλῳ. Διὸς δὲ ἀπαιτοῦντος τὸ κλέμμα δι' Ἑρμοῦ, ὤμοσεν ὁ Τάνταλος μὴ ἔχειν. καὶ Ζεὺς μὲν τὸν κύνα Ἑρμοῦ ὑφελομένου ἀπολαβών, κατέστρεψε τῷ Ταντάλῳ ὄρος τὸ Σίπυλον, ὁ δὲ Πανδάρης ἢ Πανδάρεος φυγὼν εἰς Ἀθήνας, ἐκεῖσε (scr. ἐκεῖθεν) εἰς Σικελίαν διέβη, ἔνθα διεφθάρη φασὶ μετὰ τῆς γυναικὸς Ἁρμοθόης. Eust. v. etiam ad υ, 66.

Πανδαρέου] Τὸ Πανδαρέου ὅμοιον τῷ Τυνδαρέου, ὃ κεῖται παρὰ τῷ ποιητῇ ὁμοίως τῷ Πηνελέου. κούρη δὲ Πανδαρέου τὸ πτηνὸν ἡ ἀηδών, κατά τινα τρόπον μετωνυμίας ἢ μεταλήψεως. οὐ γὰρ ἡ ὄρνις Πανδαρέου θυγάτηρ. δι' ἐκείνην δὲ ὅμως τὴν ποτὲ ζῶσαν καὶ θυγατέρα λέγεται οὕτω καὶ τὸ ᾠδικὸν πτηνόν, εἰς ὃ μυθικῶς ἐκείνη μετέπεσε. πολὺς δὲ ὁ τοιοῦτος τρόπος μάλιστα παρὰ Πινδάρῳ, ληφθεὶς ὡς εἰκὸς ἐκ τοῦ ποιητοῦ. ἐκεῖνος γὰρ τόπους πολλοὺς ἐξ ἡρωΐδων κληθέντας ἱστορῶν, λαλεῖ περὶ τῶν τόπων, ὡς εἴ γε προσώπων ἐμέμνητο. Id.

καλὸν ἀείδησιν, ἔαρος νέον ἱσταμένοιο,
δενδρέων ἐν πετάλοισι καθεζομένη πυκινοῖσιν,
ἥτε θαμὰ τρωπῶσα χέει πολυηχέα φωνήν,
παῖδ' ὀλοφυρομένη Ἴτυλον φίλον, ὅν ποτε χαλκῷ
κτεῖνε δι' ἀφραδίας, κοῦρον Ζήθοιο ἄνακτος·
ὣς καὶ ἐμοὶ δίχα θυμὸς ὀρώρεται ἔνθα καὶ ἔνθα,
ἠὲ μένω παρὰ παιδί, καὶ ἔμπεδα πάντα φυλάσσω,

χλωρηῒς] ἤτοι ἐν χλωροῖς διατρίβουσα, ἢ ἅμα τοῖς χλωροῖς φαινομένη. ἔαρος γὰρ φαίνεται. ἢ διὰ τὸ χρῶμα. καὶ παρὰ Σιμωνίδην (scr. δη) δὲ χλωραύχενες λέγονται αἱ ἀηδόνες.

V. 519. ἔαρος νέον ἱσταμένοιο] Ἐν τῷ, ἔαρος νέου ἱσταμ., δηλοῖ, τότε μάλιστα ᾠδικὸν εἶναι τοὐρνίθιον. παρακμάζοντος γὰρ ἔαρος ἀνίεται καὶ τὸ μέλος. Eust.

V. 520. ἐν πετάλοισι] Τό, ἐν πετάλοισιν, ἢ τὴν κουφότητα τοῦ ζωϋφίου δηλοῖ, ὡς οἵου τε ὄντος καὶ φύλλοις ἐνιζάνειν. ἢ καὶ τὸ κλαδίον ἐστὶ τοῖς φύλλοις συνεπινοεῖν, ἵνα ἐκ μέρους νοεῖται τὸ πᾶν. τοιοῦτον δέ τι καὶ ἐν Ἰλιάδι (β, 312.) τό, πετάλοις ὑποπεπτηῶτες. Τὸ δὲ πυκινοῖσιν ἢ ἁπλῶς οὕτω κεῖται, ἢ κατὰ ἰδιότητα ζώου χαίροντος φύλλων δασύτητι διὰ τὸ δυσεπιβούλευτον. Id.

V. 521. θαμὰ τρωπῶσα] Τό, θαμὰ τρωπῶσα, καὶ ἡ πολυηχὴς φωνὴ τὸ πόριμον ἐν φωναῖς τῆς ἀηδόνος δηλοῖ. ἐντεῦθεν δὲ λαβὼν Εὐριπίδης ἔφη τό, πάσας φθογγὰς ἱεῖσα ὥστ' ἀηδόνος στόμα (Hecub. v. 337.). Τοῦ δὲ τρωπῶ τὸ παθητικὸν ἤγουν τὸ τρωπᾶσθαι κεῖται ἐν τοῖς ἐφεξῆς (ω, 537.) ἐπὶ φυγῆς κατὰ πόλεμον. ἐκτείνεται δὲ ἡ τῆς τοιαύτης λέξεως ἄρχουσα κατὰ τὸ στρωφῶ καὶ νωμῶ καὶ τρωχῶ. Id.

πολυηχέα] πολλὰς μεταβολὰς ποιουμένην. Vulg. Τό, χέει φωνήν, ὅμοιόν ἐστι τῷ, ῥέει αὐδήν, ὅπερ ἐν Ἰλιάδι κεῖται. Τὸ δὲ τὴν Πηνελόπην ἐπὶ ἀνδρὸς πενθοῦσαν παραλαβεῖν εἰς παραβολὴν τὴν ἐπὶ τέκνῳ θρηνοῦσαν, εἰ καὶ ἄλλως ἀνομοίως ἔχει κατὰ τὸ πενθούμενον πρόσωπον, ἀλλ' εἰς ποιότητα θρήνου οἰκείως ἔχει. οὐδὲν γὰρ ἧττον φιλάνδρου γυναικὸς πενθούσης ἐπὶ θανάτῳ ἀνδρὸς θρηνεῖ μήτηρ φιλόπαις μηκέτ' ὄντος τοῦ παιδός. Eust.

V. 523. δι' ἀφραδίας] ἤτοι κακοφραδμοσύνας. Eust.

V. 524. ὀρώρεται] κεκίνηται, τετάρακται, μεταβάλλεται, ὡς ἡ τοῦ ὀρνέου φωνή. Ambr. B.

κτῆσιν ἐμὴν, δμωάς τε καὶ ὑψερεφὲς μέγα δῶμα,
εὐνήν τ' αἰδομένη πόσιος, δήμοιό τε φῆμιν·
ἢ ἤδη ἅμ' ἕπωμαι Ἀχαιῶν ὅςτις ἄριστος
μνᾶται ἐνὶ μεγάροισι, πορὼν ἀπερείσια ἕδνα.
παῖς δ' ἐμός, ἕως μὲν ἔην ἔτι νήπιος ἠδὲ χαλί-
φρων,
γήμασθ' οὔ μ' εἴα πόσιος κατὰ δῶμα λιποῦσαν·
νῦν δ' ὅτε δὴ μέγας ἐστί, καὶ ἥβης μέτρον ἱκάνει,
καὶ δή μ' ἀρᾶται πάλιν ἐλθέμεν ἐκ μεγάροιο,
κτήσιος ἀσχαλόων, τήν οἱ κατέδουσιν Ἀχαιοί.
ἀλλ' ἄγε μοι τὸν ὄνειρον ὑπόκριναι, καὶ ἄκουσον.
χῆνές μοι κατὰ οἶκον ἐείκοσι πυρὸν ἔδουσιν

V. 530. *χαλίφρων*] κεχαλασμένας ἔχων τὰς φρένας, ἀσύνετος καὶ ἄφρων, ἐναντίος τῷ πυκινὰ φρεσὶ μήδε' ἔχοντι (v. 353.). ἔνιοι δὲ χαλίφρονα τὸν ἀκρατήφρονα (Barn. ἀκρατόφρονα, quod ed. ant. inferius falso loco inserunt). χάλις (ed. ant. χάμε, rec. χάλιξ) γὰρ ὁ οἶνος ὁ ἀναχαλῶν τὰς φρένας. ἐναντίον οὖν τό, φρεσὶ γὰρ κέχρηται ἀγαθῇσι (γ, 266.). τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ, χαλιφροσύναι γ' ἐμ' ἔχουσι (π, 310.), δηλοῦται, οἷον ἀφρόσυνα (scr. ἀφροσύνη). Vulg. *Χαλίφρων*, κυρίως ὁ ἐν μέθῃ ἀφραίνων. χάλις γὰρ ὁ ἄκρατος οἶνος, παρὰ τὸ χαλᾶν καὶ ἀνιέναι ἀραρυίας τὰς φρένας. ἢ ὁ εὐήθης, παρὰ τὸ κεχαλᾶσθαι τὰς φρένας. Etym. M. v. ad δ, 371. et π, 310.

V. 533. *καὶ δή μ' ἀρᾶται*] Περιττεύει ὁ καί σύνδεσμος Ἀττικῶς. Eust.

πάλιν ἐλθέμεν] τουτέστιν, ἀνάπαλιν ἐλθεῖν, ὅ ἐστιν, ἔξω τοῦ μεγάρου, ὅθεν ἦλθον. Eust., qui πάλιν ἐλθεῖν, ut Vind. 133.

V. 534. *ἀσχαλόων*] Γρ. ἀσχάλλων. Harl.

V. 535. *ὑπόκριναι*] Ἀντὶ τοῦ, κρῖνον. Vulg. Ὑποκρίνασθαι ἐν Ἰλιάδι μὲν (Il. η, 407. cf. ad Od. β, 111.) τὸ ἁπλῶς ἀποκρίνασθαι, ὧδε δὲ τὸ ἐπὶ ὀνείρου λύσει θέσθαι ἀπόκρισιν. Eust.

V. 536. *χῆνες*] Ἀρσενικῶς νῦν οἱ χῆνες προφέρονται, ὡς δηλοῖ τό, πᾶσιν αὐχένας ἦξε, καί, κέχυντο ἀθρόοι, καί, πυρὸν ἐρεπτομένους. καὶ ἔστιν Ἰωνικὸν μὲν ἡ χήν, κοινὸν δὲ οἱ χῆνες.

ἐξ ὕδατος, καί τέ σφιν ἰαίνομαι εἰσορόωσα·
ἐλθὼν δ' ἐξ ὄρεος μέγας αἰετὸς ἀγκυλοχείλης
πᾶσι κατ' αὐχένας ἦξε, καὶ ἔκτανεν· οἱ δ' ἐκέχυντο
ἀθρόοι ἐν μεγάροις· ὁ δ' ἐς αἰθέρα δῖαν ἀέρθη.
αὐτὰρ ἐγὼ κλαῖον καὶ ἐκώκυον, ἔν περ ὀνείρῳ·
ἀμφὶ δ' ἔμ' ἠγερέθοντο ἐϋπλοκαμῖδες Ἀχαιαί,
οἴκτρ' ὀλοφυρομένην, ὅ μοι αἰετὸς ἔκτανε χῆνας.
ἂψ δ' ἐλθὼν κατ' ἄρ' ἕζετ' ἐπὶ προὔχοντι μελάθρῳ·
φωνῇ δὲ βροτέῃ κατερήτυε, φώνησέν τε·
Θάρσει, Ἰκαρίου κούρη τηλεκλειτοῖο·

ἤδη δὲ καὶ οἰκεῖον καὶ αὐτὸ τοῖς καὶ ὑπερφιάλοις καὶ ἀγήνορσι μνηστῆρσιν. Eust.

V. 537. ἐξ ὕδατος] ἔξω καὶ χωρὶς ὕδατος. Vulg. ἢ ἀντὶ τοῦ, βεβρεγμένον ὕδατι σῖτον, ἢ ἐξιόντες τοῦ ὕδατος, ἔνθα διατρίβουσιν. Ambr. B. Pal.

ἰαίνομαι] v. ζ, 157. ο, 165.

V. 538. ἀγκυλοχείλης] ἐπικαμπῆ ἔχων χεῖλη. Vulg.

V. 539. ἦξε] ἔκλασεν. Vulg. Τό, αὐχένας ἦξε, διαλυθὲν σαφέστερον φράζεται, οἷον αὐχένας ἔαξεν. ἄλλως μέντοι συνέμπτωσιν ἔχει πρὸς ἀόριστον τὸν δηλοῦντα τὸ ἤγαγε. Eust.

ἐκέχυντο] ἔκειντο. Vulg. Τό, οἱ δ' ἐκέχυντο, πάνυ καιρίως ἔχει. κεχύσθαι γὰρ κατὰ γῆς δοκεῖ τὰ παρειμένα σώματα. Eust.

V. 540. αἰθέρα] Ὅρα καὶ τὸ αἰθέρα ἢ ἠέρα θηλυκῶς λεχθέν, ὡς καὶ ἐν ἄλλοις γίνεται. Eust. v. Il. π, 365.

ἀέρθη] ἐπήρθη. Vulg.

V. 542. ἐϋπλοκαμῖδες] εὔκοσμοι, ἀπὸ μέρους. Id.

V. 544. μελάθρῳ] Μέλαθρον κατὰ τοὺς παλαιοὺς τὸ ἐξέχον τῆς δοκοῦ μέρος, οὕτω λεγόμενον διὰ τὸ μελαίνεσθαι καὶ θέρεσθαι ὑπὸ ἡλίου. Eust. cf. θ, 279. λ, 277.

V. 545. βροτέῃ] ἀνθρωπίνη. Vulg.

οὐκ ὄναρ, ἀλλ᾿ ὕπαρ ἐσθλόν, ὅ τοι τετελεσμένον ἔσται.
χῆνες μὲν μνηστῆρες· ἐγὼ δέ τοι αἰετὸς ὄρνις
ἦα πάρος, νῦν αὖτε τεὸς-πόσις εἰλήλουθα,
ὃς πᾶσι μνηστῆρσιν ἀεικέα πότμον ἐφήσω.
Ὣς ἔφατ᾿· αὐτὰρ ἐμὲ μελιηδὴς ὕπνος ἀνῆκεν.
παπτήνασα δὲ χῆνας ἐνὶ μεγάροισι νόησα,
πυρὸν ἐρεπτομένους παρὰ πύελον, ἧχι πάρος περ.
Τὴν δ᾿ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γύναι, οὔπως ἔστιν ὑποκρίνασθαι ὄνειρον,
ἄλλῃ ἀποκλίναντ᾿· ἐπειή ῥά τοι αὐτὸς Ὀδυσσεὺς

V. 547. ὕπαρ] τὸ μεθ᾿ ἡμέραν φαινόμενον ἐνύπνιον. Id. Ἀντίκειται τὸ ὄναρ καὶ τὸ ὕπαρ. καὶ γίνεται ὄναρ μὲν παρὰ τὸ ὂν καὶ τὸ αἴρειν, ὕπαρ δὲ παρὰ τὸν ὕπνον καὶ τὸ αἴρειν, ἵνα εἴη ὕπαρ μὲν ὕπνου ἄρσις διὰ τὴν ἐγρήγορσιν, ὡς οἱονεὶ ὕπναρ, ὄναρ δὲ παρὰ τὴν τοῦ ὄντος ἄρσιν. φαντασίᾳ γὰρ τὰ καθ᾿ ὕπνους καὶ οὐκ ἐν ὀντότητι. Eust.

V. 550. πότμον ἐφήσω] Ἢ ἀντὶ τοῦ ἐπιπέμψω, διά τινων δηλαδὴ βολῶν, ὡς ἀπὸ τοῦ ἵημι ἥσω, ἀφ᾿ οὗ καὶ ἥμων ὁ ἀκοντιστής. ἢ ἀστειότερον ἀντὶ τοῦ ἐντελοῦμαι, ἀπὸ τοῦ ἐφίημι, ὅθεν καὶ ἐφετμή, ἡ ἐντολή. ἵνα λέγῃ, ὅτι ὄλεθρον ἐντελοῦμαι αὐτοῖς, ὁποῖον ἐπετείλατό τισι Παλλὰς Ἀθήνη ἐν τοῖς πρὸ τούτων. Eust. cf. ἄεθλον τ. ἐφήσω. v. 576.

V. 553. πύελον] Πύελος συνήθως ἡ λεκανίς. οὐκ ἂν δὲ ἴσως αὕτη παρὰ τὸ πτύειν γίνοιτο, ἀλλὰ παρὰ τὸν πυόν, ὅς ἐστιν ἀπάνθισμα γάλακτος, ὡς τοιούτων ἴσως ἀγγείων ξυλίνων χρησιμευόντων εἰς ὑποδοχὴν πυοῦ τοῖς νομεῦσι κατὰ τοὺς προῤῥηθέντας γαυλούς (v. ι, 223.). Eust. (Vind. 133. πίελον, supra scr. υ, ad quam formam pertinere videtur scholion Ambr. B. παρὰ τὸ ἄγγος, ἐν ᾧ αὐταῖς βάλε (scr. ἐς ὃ - ἔβαλε) πιεῖν).

V. 555. ὑποκρίνασθαι] ἀποκρίνασθαι. Vulg. v. ad v. 535.

V. 556. ἀποκλίναντα] ἔξω τῆς ἀληθείας εἰπόντα. Vulg. Τό, ἄλλῃ ἀποκλίναντα, πρωτότυπόν τί ἐστι τοῦ παρακλιδόν ἐκῤ-

πέφραδ᾽, ὅπως τελέει· μνηστῆρσι δὲ φαίνετ᾽ ὄλεθρος
πᾶσι μάλ᾽· οὐδέ κέ τις θάνατον καὶ Κῆρας ἀλύξει.
Τὸν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
ξεῖν᾽, ἤτοι μὲν ὄνειροι ἀμήχανοι ἀκριτόμυθοι
γίγνοντ᾽, οὐδέ τι πάντα τελείεται ἀνθρώποισιν.
δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων·

ῥήματος, οὗ χρῆσις ἐν τῷ, οὐκ ἂν ἄλλα εἴποιμι παρακλιδὸν (v. δ, 348. ρ, 139.), ἤγουν ἀποκλίνας τῆς ἀληθείας. Eust.

V. 558. ἀλύξει] Cod. Vind. 50. et 133. addunt versus: μνηστήρων, οἳ δῶμα κατ᾽ ἀντιθέου Ὀδυσῆος ἀνέρες ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται.

V. 560. ἀμήχανοι] πρὸς οὓς μηχανὴν εὑρεῖν οὐκ ἔστιν. Vulg. πρὸς οὓς οὐκ ἔστι κρίσιν τινὰ ὡρισμένην τεχνήσασθαι ἤτοι μηχανήσασθαι. Eust.

ἀκριτόμυθοι] ἄκριτα καὶ ἀδιάτακτα καὶ ἀδιάσταλτα λέγοντες. Vulg. Σαφεστέρα τούτου ἑρμηνεία τό, οὐδέ τι πάντα τελείεται ἀνθρώποις, ἀλλ᾽ εἰσίν, οἳ καὶ μάτην ἁπλῶς οὕτω βλέπονται, ἀμηχανίαν ἐμποιοῦντες καὶ ἀκριτομυθίαν τοῖς κατασκεπτομένοις αὐτούς. Eust.

V. 562. δοιαὶ γάρ τε πύλαι — ὀνείρων] Οἱ μὲν ἀκολουθοῦντες τῷ ποιητῇ καὶ ἐξ αὐτοῦ ἔχοντες ἀφορμὰς οὕτω πως τὰς τοιαύτας ὑπανοίγουσι θύρας τοῖς ἐθέλουσι θεωρεῖν τὰ κατ᾽ αὐτάς, λέγοντες αἴνιγμα τὸν λόγον εἶναι, βουλόμενον εἰπεῖν, ὡς οὐ πάντες οἱ ὄνειροι ἀληθεῖς, ἀλλ᾽ οἱ μὲν αὐτῶν τοιοῦτοι, οἱ δὲ ψευδεῖς. διὸ λέγειν τὸν ποιητὴν κερατίνην μὲν πύλην, ὅθεν οἱ ἀληθεῖς καὶ ἔτυμα κραίνοντες, παρηχουμένου πως τοῦ κραίνειν τοῖς κέρασιν, ὡς ἐκ τοῦ κέρας κεραίνω καὶ κραίνω, ἐλεφαντίνην δέ, ὅθεν οἱ ψευδεῖς καὶ ἐλεφαιρόμενοι, ὅ ἐστι παραλογιζόμενοι, ἀπατῶντες, καὶ ἔλπεσθαι μόνον ποιοῦντες. ἐντεῦθεν γὰρ τὸ ἐλεφαίρω, ὡς οἷον εἰπεῖν ἐλπαίρω, οὗ χρῆσις καὶ ἐν Ἰλιάδι, οὐδ᾽ ἄρ᾽ Ἀθηναίην ἐλεφηράμενος λάθ᾽ Ἀπόλλων (Il. ψ, 388.), ὅ ἐστιν ἀπατήσας, βλάψας. — Ἕτεροι δὲ ὁμοίως μέν, κατὰ δὲ ἀλλοίαν ἐπιβολὴν κερατίνην μέν φασι τὴν ἀληθῆ καὶ διαφανῆ, ἐλεφαντίνην δὲ τὴν ἀσαφῆ καὶ συγκεχυμένην, ἐπεὶ διὰ κέρατος μὲν ἔστιν ἰδεῖν ἐνοπτρισάμενον, δι᾽ ἐλέφαντος δὲ οὔ, ὡς οὐδὲ διὰ γάλακτος. Τινὲς δὲ συμβολικώτερον ἄλλως ἐκδεξάμενοι τὸν λόγον, κερατίνην

αἱ μὲν γὰρ κεράεσσι τετεύχαται, αἱ δ' ἐλέφαντι·
τῶν οἳ μέν κ' ἔλθωσι διὰ πριστοῦ ἐλέφαντος,
οἵ ῥ' ἐλεφαίρονται, ἔπε' ἀκράαντα φέροντες·

μὲν πύλην τοὺς ὀφθαλμοὺς ἀπέδωκαν, κατὰ τὴν ἐκ μέρους συνεκδοχὴν ὅ ἐστι σύλληψιν, ἐπεὶ κερατοειδὴς ὁ πρῶτος χιτὼν τοῦ ὀφθαλμοῦ, ἐλεφαντίνην δὲ τὸ στόμα διὰ τοὺς ἐλεφαντόχρωτάς φασιν ὀδόντας, ἵνα λέγῃ συμβολικῶς ἡ σοφὴ Πηνελόπη, πιστότερα τῶν ἁπλῶς οὕτω λεγομένων εἶναι τὰ ἐξ ἀποτελέσματος ὁρώμενα, διὸ καὶ τοῖς περὶ Ὀδυσσέως ὀνειροκριτικῶς λεγομένοις πιστεύειν δηλαδή, ὅτε ἂν ἴδοι αὐτά. Ἄλλοι δὲ κέρασι μὲν εἴκασαν τοὺς οὐρανίους ὀνείρους, οὓς καὶ διοπέμπτους ἔλεγον καὶ ἀληθεῖς, ἐπεὶ καὶ τὰ κέρατα εἰς ὕψος ἀνέχουσιν, ἐλέφαντι δὲ τοὺς χθονίους, τὰ γὰρ τῶν ἐλεφάντων κέρατα κάτω νεύει. δηλοῖ δὲ καὶ ἀλλαχοῦ ὁ ποιητὴς τοὺς μὲν οὐρανίους ἐν τῷ, καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστι (Il. α, 63.), τοὺς δὲ χθονίους ἐν τῷ, Λευκάδα πέτραν καὶ Ἠελίου πύλας καὶ δῆμον ὀνείρων (Od. ω, 12.). ἐθέλει οὖν εἰπεῖν ἡ γυνή, ὡς ἐμοὶ ὁ θεαθεὶς ὄνειρος οὐκ ἦν ἐκ Διός, ἀλλά ποθεν κάτωθεν. Εἰσὶ δὲ οἳ καὶ οὕτως ἐνόησαν, ὡς ὅσα μέν τις ἴδοι πλησάμενος τροφῆς, ᾗ καθυπουργοῦσιν οἱ ἐλεφαντοφανεῖς ὀδόντες, ταῦτα ψεύδονται, ὅσα δὲ φαντασθείη ὁ νήφων καὶ ἀναπεπταμένος ὑψοῦ καὶ ἄνω νεύων κατὰ τὸ κέρας τὸ ἀγχιστεῦον τῷ τῆς κεφαλῆς ἡγεμονικῷ, ταῦτα δὲ ἀληθῆ εἰσι. — ἐθέλει τοίνυν εἰπεῖν κατὰ τὸν λόγον τοῦτον ἡ Πηνελόπη, ὡς ὁ περὶ τῶν χηνῶν ὄνειρος οὐ νήφοντος ἦν λογισμοῦ, ἀλλὰ δηλαδὴ τῶν ἀνάπαλιν, ἤτοι ὡς εἰπεῖν ἐξ ὀδόντων. ὅπερ ὤκνησεν εἰπεῖν ὡς μὴ αὐτῆς ἄξιον, εἰποῦσα μὲν τὴν ἄρσιν, τὸ μὴ ἐκ τοῦ κατὰ κεφαλὴν ἡγεμονικοῦ τὸν ὄνειρον εἶναι, σιγήσασα δὲ τὴν θέσιν τό, ἀλλ' ἐκ πλησμίου τροφῆς. Eust.

ἀμενηνῶν] ἀνυποστάτων. φαντασίαι γάρ εἰσιν ὀνείρων. Ambr. B. Ἀμενηνοὶ ὄνειροι, οἱ φαντασιοῦντες μὴ στερεμνίως τὰ βλεπόμενα καὶ ὡς εἰπεῖν μετά τινος μένους. εἴρηται δὲ καθ' ὁμοιότητα ἐν Ἅιδου εἰδώλων τῶν ἐν τῇ νεκυίᾳ (v. ad κ, 521.), διὰ καὶ τὸ συγγενῶς ἐκεῖνα πρὸς τοὺς ὀνείρους ἔχειν, κατὰ τό, ψυχὴ δ' ἠΰτ' ὄνειρος ἀποπταμένη πεπότηται (λ, 221.). Eust.

V. 563. τετεύχαται] κατεσκευασμέναι εἰσί. Vulg.

V. 565. ἐλεφαίρονται] ἐξαπατῶσιν. Id. v. Eust. ad v. 562.

ἀκράαντα] Τοῦ ἀκράαντα τὸ ῥῆμα κραιαίνω, ὥσπερ τὸ κραίνω τοῦ ἄκραντα, οἷον, ἄκραντα γαρύετον. Eust.

οἱ δὲ διὰ ξεστῶν κεράων ἔλθωσι θύραζε,
οἵ ῥ' ἔτυμα κραίνουσι, βροτῶν ὅτε κέν τις ἴδηται.
ἀλλ' ἐμοὶ οὐκ ἐντεῦθεν ὀΐομαι αἰνὸν ὄνειρον
ἐλθέμεν· ἦ κ' ἀσπαστὸν ἐμοὶ καὶ παιδὶ γένοιτο.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
ἥδε δὴ ἠὼς εἶσι δυςώνυμος, ἥ μ' Ὀδυσῆος
οἴκου ἀποσχήσει· νῦν γὰρ καταθήσω ἄεθλον,
τοὺς πελέκεας, τοὺς κεῖνος ἐνὶ μεγάροισιν ἑοῖσιν
ἵστασχ' ἑξείης, δρυόχους ὥς, δώδεκα πάντας·

V. 567. ἔτυμα] ἀληθῆ. Vulg.

V. 568. αἰνόν] Αἰνὸν ὄνειρον ἢ τὸν σκοτεινόν, ὡς καὶ ἐπαινὴ περσεφόνεια (Il. ι, 457. Od. κ, 491.), ἡ αἰανή, ἢ τὸν αἰνιγματώδη, παρὰ τὸ αἶνος, ὃς δηλοῖ ποτε καὶ τὸ αἴνιγμα. Eust.

V. 571. δυςώνυμος] Δυςώνυμον ἠῶ τὴν τοῦ γάμου ἡ Πηνελόπη φησί, καθὰ καὶ τὴν Ἴλιον Κακοΐλιον εἶπεν οὐκ ὀνομαστήν (v. 260. 597.). ἄλλως γὰρ οὐ δύςφημον οὐδὲ τὸ τῆς ἠοῦς ὄνομα. συντελεῖ δὲ ἐνταῦθα καὶ τό, νὺξ ἔσται ὅτε στυγερὸς γάμος ἀντιβολήσει (σ, 272.). οὐ βούλεται οὖν οὐδ' ὀνομάζειν ἡμέραν, ἧς ἀνθαιρεῖται νύκτα. Ἰστέον δὲ ὅτι οὐκ ἀφυῶς ἄν τις τὴν δυςώνυμον ταύτην ἠῶ καὶ ἀποφράδα ἐρεῖ. ἡ γὰρ δυςώνυμος πάντως καὶ δυςφραδής, ὅμοιόν δὲ εἰπεῖν ἀποφράς. Eust.

V. 572. ἀποσχήσει] πόῤῥω καθέξει. Vulg. Τό, οἴκου ἀποσχήσει, ἀντὶ τοῦ, πόῤῥω ἕξει, ἐκβαλεῖ, ἀφέξει, οὗ ἐναντίον τὸ παρέξειν καὶ τὸ παρασχεῖν. Eust.

V. 573. πελέκεας] τὰ σιδήρια τετρυπημένα. Vulg.

V. 574. ἵστασχ'] ἵστα. Vulg.

δρυόχους ὥς] Δρύοχοι κυρίως πάσσαλοι, ἐφ' ὧν στοιχηδὸν διατεθειμένων ἡ τρόπις ἵσταται τῶν καινουργουμένων πλοίων διὰ ἰσότητα. καὶ ἄλλως δὲ εἰπεῖν, δρύοχοι πάτταλοι ἐκ δρυός, ὅ ἐστιν ἁπλῶς ξύλον, καθιστῶντες τὴν τρόπιν ἐν τῷ πέριξ αὐτὴν συνέχειν, ὡς δῆλον ἐκ τοῦ, πῶς δὲ κατὰ δρυόχων ἐπάγη σανίς; ἢ τίνι γόμφοι τμηθέντες πελέκει τοῦτ' ἔκαμον τὸ κύτος; (ex epigramm. apud Athen. l. 5. p. 209. cf. Jacobs Anim. ad Anthol. Vol. II. P. I. p. 190. sequ.) — γίνονται δὲ δρύοχοι παρὰ τὸ τὴν δρῦν ὅ ἐστι τὴν τρόπιν συνέχειν ἑκατέρωθεν, ἢ καὶ ἄλλως, παρὰ τὸ ξύλα συνεκτικὰ εἶναι τρόπεως. Σημείωσαι δ' ἐνταῦθα καὶ ὅτι

στὰς δ᾽ ὅγε πολλὸν ἄνευθε, διαῤῥίπτασκεν ὀϊστόν.
νῦν δὲ μνηστήρεσσιν ἄεθλον τοῦτον ἐφήσω·
ὃς δέ κε ῥηΐτατ᾽ ἐντανύσῃ βιὸν ἐν παλάμῃσιν,
καὶ διοϊστεύσῃ πελέκεων δυοκαίδεκα πάντων,
τῷ κεν ἅμ᾽ ἑσποίμην, νοσφισσαμένη τόδε δῶμα
κουρίδιον, μάλα καλὸν, ἐνίπλειον βιότοιο·

ταὐτὸν μὲν δρῦς καὶ ξύλον, οὐ ταὐτὸν δὲ ὅμως δρύοχοι καὶ ξύλοχοι. δρύοχοι μὲν γὰρ ξύλα, ἐφ᾽ ὧν ἡ τρόπις ἵσταται, ξύλοχοι δὲ δάσος δένδρων ἐν ὄρει. τὸ γοῦν, δρυόχους ὥς, ἀντὶ τοῦ, κατὰ τάξιν καὶ στοῖχον, ὁποῖον ἔχουσι καὶ δρύοχοι. κατὰ στοῖχον γὰρ ἀκριβῆ καὶ οἱ πελέκεις ἵσταντο, ἵνα ὁ τῆς πρώτης στειλειᾶς ἤγουν ὀπῆς ἐπιτυχὼν διαμπερὲς ἔχῃ ὀϊστεῦσαι διὰ πάντων. πελέκεις γὰρ νῦν μόνος ὁ τούτων σίδηρος δίχα τῶν στειλειῶν. Ἰστέον δὲ ὅτι τινὲς ἔγραψαν, δρυόχους ὡς δώδεκα. οἳ δρυόχους μὲν εἶπον πελέκεις, οἷς διὰ τῶν τρημάτων δρυΐνους στειλειοὺς ἔστιν ἐνέχεσθαι· τὸ δὲ, ὡς δώδεκα, ἐνόησαν ῥηθῆναι ἀντὶ τοῦ, ὡσεὶ δώδεκα, κατὰ σχῆμα εἰκασμοῦ. εἴη δὲ ἂν κρεῖττον τὸ πρῶτον. Eust. δώδεκα πάντας] v. ad ϑ, 258.

V. 575. διαῤῥίπτασκεν] ἔῤῥιπτεν, ἐτόξευεν. Vulg.

V. 576. ἄεθλον τοῦτον ἐφ.] Τό, ἄεθλον τοῦτο ἐφήσω, δυνατὸν μὲν γράφειν καί, ἄεθλον τοῦτον ἐφήσω, ὡς δηλοῖ ἑξῆς τό, μηκέτι ἀνάβαλλε τοῦτον ἄεθλον (v. 584.). ἔδοξε δὲ ὅμως τῷ ποιητῇ, τὸν ἄεθλον ἐνταῦθα οὐδετέρως εἰπεῖν τὸ ἄεθλον, ὁμοίως τῷ, ὁ λύχνος τὸ λύχνον, καὶ τοῖς τοιούτοις. Eust. v. ad ϑ, 160. — ἐφήσω] Apollon. ἐπισκέψω (Toll. corr. ἐπισκήψω v. ἐπιτρέψω), ἐντελοῦμαι. v. Eust. ad v. 550.

V. 577. ῥηΐτατα] ῥᾳδίως, εὐκόλως. Vulg.

V. 578. διοϊστεύσῃ] (ed. ant. διοϊστεύσει) τοξεύσει, διαπεράσει. Id. διοϊστεύσῃ] Γρ. διοϊστεύσει. Harl. ἐντανύσει et διοϊστεύσει etiam Eust.

V. 579. ἑσποίμην (ed. ant. ἑποίμην)] ἀκολουθήσαιμι. Vulg.

νοσφισαμένη] καταλιποῦσα. Id. τουτέστιν ἀφεῖσα. Eust.

V. 580. ἐνίπλειον] Δῆλον ὅτι ἀρχαϊκὸν μὲν τὸ ἐνίπλειον καὶ τὰ κατ᾽ αὐτό, τῆς ὑστέρας δὲ Ἀτθίδος τὸ ἔμπλεων καὶ τὰ οὕτω σύστοιχα. Eust. cf. ξ, 113. ρ, 300.

τοῦ ποτὲ μεμνήσεσθαι ὀΐομαι, ἔν περ ὀνείρῳ.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γύναι αἰδοίη Λαερτιάδεω Ὀδυσῆος,
μηκέτι νῦν ἀνάβαλλε δόμοις ἔνι τοῦτον ἄεθλον·
πρὶν γάρ τοι πολύμητις ἐλεύσεται ἐνθάδ' Ὀδυσσεύς,
πρὶν τούτους τόδε τόξον ἐΰξοον ἀμφαφόωντας
νευρήν τ' ἐντανύσαι, διοϊστεῦσαί τε σιδήρου.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
εἴ κ' ἐθέλοις μοι, ξεῖνε, παρήμενος ἐν μεγάροισιν
τέρπειν, οὔ κέ μοι ὕπνος ἐπὶ βλεφάροισι χυθείη.
ἀλλ' οὐ γάρ πως ἔστιν ἀΰπνους ἔμμεναι αἰεὶ
ἀνθρώπους· ἐπὶ γάρ τοι ἑκάστῳ μοῖραν ἔθηκαν
ἀθάνατοι θνητοῖσιν ἐπὶ ζείδωρον ἄρουραν.
ἀλλ' ἤτοι μὲν ἐγὼν, ὑπερώϊον εἰςαναβᾶσα,

V. 584. ἀνάβαλλε] ὑπερτίθου. Vulg. Τὸ ἀνάβαλλε ἀντὶ τοῦ ἀναβάλλου, ὑπερτίθεσο. καὶ σημείωσαι ὅτι ἀσυνήθως ἐκπεφώνηται κατ' ἐνέργειαν. παθητικῶς γὰρ ἄλλως ἡ λέξις τέτριπται. Eust.

V. 586. τόδε τόξον] Ἀντὶ βιοῦ τόξον. Eust. Τὸ ἑξῆς, πρὶν γὰρ τούτους νευρὴν ἐντανύσαι, πρότερον ἐλεύσεται Ὀδυσσεύς. Ambr. B. τόδε] Γρ. ποτέ. Harl.

V. 590. χυθείη] ἐπιχυθῇ, ἐπέλθῃ. Vulg.

V. 591. ἀλλ' οὐ γάρ] Ὅρα καὶ νῦν ὅτι ἀρξάμενος ἀπὸ τοῦ γάρ συνδέσμου ἀπέδωκεν εἰς τὸ ἀλλά. οἷον, ἀλλ' οὐ γάρ πως ἔστιν ἀΰπνους εἶναι, ἀλλὰ λέξομαι εἰς εὐνήν, τουτέστι κοιμηθήσομαι δή, ὡς τοῦ δευτέρου ἀλλά ἰσοδυναμοῦντος τῷ δή. Eust.

V. 592. μοῖραν] Μοῖράν φησι τὴν καθ' εἱρμὸν βίου διανέμησιν, οἷον, μοῖρα τῷ ἐργωμένῳ κοπιᾶν, τῷ βαδίζοντι κινεῖσθαι, τῷ ὑπνοῦντι ἐγρηγορέναι, οὕτω δὲ καὶ τῷ ἐγρηγορότι ζώῳ τὸ ἀπονυστάζειν καὶ διὰ τοῦτο ἀκολούθως ὑπνοῦν. Τὸ δέ, ἐπὶ ζείδωρον ἄρουραν, πρόςκειται διὰ τὸ θεῖα ἔξω μοίρας κεῖσθαι. Eust.

λέξομαι εἰς εὐνήν, ἥ μοι στονόεσσα τέτυκται,
αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχετ', ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
ἔνθα κε λεξαίμην· σὺ δὲ λέξεο τῷδ' ἐνὶ οἴκῳ,
ἢ χαμάδις στορέσας, ἤτοι κατὰ δέμνια θέντων.
Ὣς εἰποῦσ' ἀνέβαιν' ὑπερώϊα σιγαλόεντα,
οὐκ οἴη· ἅμα τῇγε καὶ ἀμφίπολοι κίον ἄλλαι.
ἐς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶν,
κλαῖεν ἔπειτ' Ὀδυσῆα, φίλον πόσιν· ὄφρα οἱ ὕπνον
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.

V. 598. λέξεο] Τὸ λέξεο προστακτικὸν πάνυ καινῶς ἔχει, γίνεται δὲ ἀπὸ τοῦ λέγω, λέξω, οὗ ἀναδραμόντος εἰς ἐνεστῶτα, ἔστιν αὐτοῦ παθητικὸν τὸ λέξομαι, οὗ παρατικὸς ἐλεξόμην, τὸ τρίτον λέξετο, καὶ ἐξ αὐτοῦ προστακτικὸν τὸ λέξεο. εἰ δέ γε καὶ εὐκτικόν που εὑρεθείη ἐν ἀντιγράφοις, εὔοδον καὶ οὕτω τὸ μέτρον ἔσται διὰ συνιζήσεως. Eust.

V. 599. χαμάδις] Τὸ χαμάδι ἔστι μὲν ὡς τὸ πολλάκι. δύναται δὲ καὶ διὰ τοῦ σ. γράφεσθαι χαμάδις, ὡς πολλάκις. οὕτω δὲ καὶ δηθάκις δηθάκι, καὶ αὖθις αὖθι, καὶ χωρὶς χωρί. Eust.

θέντων] ἀποθεμένων, δηλονότι τῶν θεραπαινῶν. Vulg. Τό, ἢ κατὰ δέμνια θέντων, ἀλλαγή ἐστι σχήματος. ἦν γὰρ τὸ ἀκόλουθον, ἢ χαμάδι στορέσας, ἢ ἐν δεμνίοις. ὁ δὲ ἔφη, ἢ χαμαὶ στορέσας, ἢ δέμνια θέτωσαν, αἱ δουλίδες δηλαδή. Eust.

V. 600. σιγαλόεντα] Κεῖται καὶ ἐν τούτοις ὑπερώϊα σιγαλόεντα, τὰ ἐκπληκτικά. Eust. v. π, 449. σ, 206.

ΤΗΣ ΤΟΥ ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ
ΡΑΨΩΙΔΙΑ Η ΓΡΑΜΜΑ Υ.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Υ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Βουληθεὶς ἀνελεῖν Ὀδυσσεὺς τὰς μιγνυμένας τοῖς μνηστῆρσι θεραπαινίδας, καὶ μεταγνοὺς, διὰ τῶν ἑξῆς πρὸς Εὔμαιον καὶ Φιλοίτιον διαλέγεται. ἐν ᾧ καὶ τῶν μνηστήρων γίνεται ὁμιλία. Eust. Vulg. Pal. Ambr. Q.

Ἐ π ι γ ρ α φ α ί.

Τὰ πρὸ τῆς μνηστηροφονίας.

Ἄ λ λ ω ς.

Υ, βρονταῖς Ζεὺς θάρσυν' Ὀδυσσέα καὶ σχέθ' Ἀχαιούς.

Ἄ λ λ ω ς.

Υ δὲ Θεοκλύμενος κακὰ δὴ μαντεύετ' Ἀχαιοῖς.
Vind. 133.

Αὐτὰρ ὁ ἐν προδόμῳ εὐνάζετο δῖος Ὀδυσσεύς·
κὰμ μὲν ἀδέψητον βοέην στόρεσ', αὐτὰρ ὕπερθεν

V. 1. εὐνάζετο] ἀνεπαύετο, ἑαυτῷ εὐνὴν παρεσκεύαζεν. Vulg.

V. 2. καμμὲν] κατὰ μέν. ἀδέψητον] ἀνέργαστον.

κώεα πόλλ' οἴων, τοὺς ἱρεύεσκον Ἀχαιοί·
Εὐρυνόμη δ' ἄρ' ἐπὶ χλαῖναν βάλε κοιμηθέντι.
ἔνθ' Ὀδυσεὺς, μνηστῆρσι κακὰ φρονέων ἐνὶ θυμῷ,
κεῖτ' ἐγρηγορόων· ταὶ δ' ἐκ μεγάροιο γυναῖκες
ἤϊσαν, αἳ μνηστῆρσιν ἐμισγέσκοντο πάρος περ,
ἀλλήλῃσι γέλω τε καὶ εὐφροσύνην παρέχουσαι.
τοῦ δ' ὠρίνετο θυμὸς ἐνὶ στήθεσσι φίλοισιν·
πολλὰ δὲ μερμήριζε κατὰ φρένα καὶ κατὰ θυμόν,
ἠὲ μεταΐξας θάνατον τεύξειεν ἑκάστῃ,

ἀμάλακτον (Ms. Barn. addit: ἀβύρσευτον). Id. Ἀδέψητον βοέην λέγει καθ' ὁμοίοτητα τοῦ, βόας αὔας, ἤγουν ξηράς. τὸ μὲν γὰρ ἀδέψητον, ἤτοι ἀμάλακτον καὶ ἀκατέργαστον, αὖον ἂν εἴη. Βοέη, ἡ βοῦς ὅ ἐστι βύρσα, ἣν βοείην ἐντελῶς μετ' ὀλίγα ἐρεῖ (v. 96.). Ἀδέψητος γοῦν βοέη, ἡ ξηρὰ βύρσα. γίνεται δὲ ἀδέψητος οὕτως. δέφω δέψω, τὸ μαλάσσω καὶ κατεργάζομαι. οὗ ὁ μέλλων δέψω, καὶ δωρικῶς ἢ αἰολικῶς δεψῶ, καὶ κατὰ ἀναδρομὴν τὴν εἰς ἐνεστῶτα δεψῶ δεψήσω, ἀφ' οὗ ἀδέψητος. ἀπὸ μέντοι τοῦ δέφω δέψω βυρσοδέψης καὶ σκυτοδέψης. Eust.

V. 4. κοιμηθέντι] κατακλιθέντι, οὐ πάντως ὑπνώσαντι. Vulg. εὐνασθέντι. Eust.

V. 6. ἐγρηγορόων] Ὅρα τὸ ἐγρηγορόων, ἐκ τοῦ ἐγρήγορα, μέσου παρακειμένου, γενόμενον. ἐγείρω γάρ, μέλλων ἐγερῶ, παρακείμενος ἤγερκα, μέσος ἤγορα, καὶ ἀττικῶς ἐγήγορα, καὶ πλεονασμῷ ἐγρήγορα. ὅθεν τὸ ἐγρηγορῶ μετὰ τῆς πρωτοτύπου αὐξήσεως, ὁμοίως τῷ πέποιθα πεποιθῶ πεποιθήσω, ἐξ οὗ ἡ πεποίθησις, ὡς ἐγρηγόρησις ἐγρήγορσις. καὶ Ὅμηρος μὲν τετρασυλλάβως οἶδεν ἐγρηγορῶ, οἱ δὲ ὕστερον καὶ γρηγορῶ τρισυλλάβως, ὅπερ οὐ φιλεῖται τοῖς ῥήτορσιν. Eust.

V. 8. γέλω τε καὶ εὐφροσύνην] Ἰστέον ὅτι τό, γέλωτα καὶ εὐφροσύνην, εὕρηται ἔν τισιν ἀντιγράφοις, γέλω τε καὶ εὐφροσύνην, ἀποκοπὲν ἴσως καὶ αὐτό, ὁμοίως τῷ, γέλω ἔκθανον (σ. 100.). τοιαύτη δὲ ἀποκοπὴ καὶ ἐν τῷ ἱδρῶτα ἱδρῶ (Il, κ, 572.). Eust.

V. 9. ὠρίνετο θυμός] ἐθυμοῦτο. Vulg. (Ed. ant. ὀρίνετο.)

ἢ ἔτ' ἐῷ μνηστῆρσιν ὑπερφιάλοισι μιγῆναι
ὕστατα καὶ πύματα· κραδίη δέ οἱ ἔνδον ὑλάκτει.
ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα,
ἄνδρ' ἀγνοιήσασ' ὑλάει, μέμονέν τε μάχεσθαι·
ὥς ῥα τοῦ ἔνδον ὑλάκτει ἀγαιομένου κακὰ ἔργα·
στῆθος δὲ πλήξας, κραδίην ἠνίπαπε μύθῳ·

V. 12. ἐῷ] Τοῦ, ἐῷ μν. μιγῆναι, τὸ πρῶτον εὐκτικὸν ἐάοιμι ἐῷμι, ὡς βοάοιμι βοῷμι, τὸ δεύτερον ἐῷς, καὶ τρίτον ἐῷ μετὰ προσγεγραμμένου τοῦ ι πρὸς διαστολὴν τοῦ ἐῶ ἐνεστῶτος. ἐκ δὲ τούτων τὸ ἐῴην ἐῴης ἐῴη. τοιαύτης δὲ ἀκολουθίας καὶ τὸ ὁράοιμι ὁρῷμι, ὁράοις ὁρῷς, ὁράοι ὁρῷ, μετὰ προσγραφῆς τοῦ ι. πληθυντικὸν δεύτερον ὁράοιτε ὁρῷτε, καὶ ἐπενθέσει τοῦ ο μικροῦ ὁρόῳτε ἐν Ἰλιάδι, οἷον, νῦν δὲ φίλως χ' ὁρόῳτε (Il. δ, 347.), ἤγουν ἡδέως ἂν βλέποιτε. Eust.

V. 13. ὑλάκτει] συνεχῶς ἐκινεῖτο. Vulg. Ὑλακτεῖν καὶ ὑλάειν δῆλον ὅτι ἀδιάφορά εἰσι. πρωτότυπον δὲ τὸ ὑλάειν, δεύτερον δὲ ἀπ' αὐτοῦ τὸ ὑλάσσειν, ἐξ οὗ ὄνομα ὑλακτός, καὶ ἀπ' αὐτοῦ ῥῆμα τὸ ὑλακτεῖν, ὁμοίως τῷ τάσσω ἄτακτος ἀτακτῶ. Eust.

V. 14. ἀμαλῇσι] ἁπαλαῖς. Vulg. Ἀμαλήν. ἁπαλήν, νέαν, (cit. Il. χ, 310.) Apollon. — βεβῶσα] ἑστῶσα. Vulg.

V. 15. ἀγνοιήσασα] ἀγνοούμενον ἰδοῦσα. Vulg. Τὸ ἀγνοιήσασα γίνεται μὲν διὰ χρησιμότητα μέτρου πλεονασμῷ τοῦ ι ἐκ τοῦ ἀγνοεῖν, παράγει δὲ ἀναλόγως τὴν ἄγνοιαν. Eust.

V. 16. ἀγαιομένου] ἄγαν θαυμάζοντος ἢ χαλεπαίνοντος. Vulg. μεμφομένου ἢ ἐκπληττομένου. Ambr. B. Ἀγαιόμενος κακὰ ἔργα, ὁ μεμφόμενος, ἐκ τοῦ ἀγῶ ἀγαίω, ὡς γῶ γαίω, τὸ γαυριῶ. ὅτι δὲ τὸ ἀγαιομένου καὶ ἀταιομένου γράφεται, ὡς ἀπὸ τοῦ ἀτῶ ἀταίνω τὸ βλάπτω, οἱ παλαιοὶ δηλοῦσι κριτικοί. Eust. Ἀταίω, τὸ θαυμάζω καὶ ἐκπλήττομαι. ἀταιομένου κακὰ ἔργα. Etymol. M. Contra Apollon. Ἀγαιομένου. καταπλησσομένου. cit. n. 1.

V. 17. ἠνίπαπε] ἐνουθέτησεν. Vulg. Τὸ ἠνίπαπε πλεονασμὸν ἔχει ποιητικόν. τὸ γὰρ κοινὸν ἤνιπα, μέσος παρακείμενος τοῦ ἐνίπω. Eust.

Τέτλαθι δή, κραδίη· καὶ κύντερον ἄλλο ποτ' ἔτλης,
ἤματι τῷ, ὅτε μοι μένος ἄσχετος ἤσθιε Κύκλωψ
ἰφθίμους ἑτάρους· σὺ δ' ἐτόλμας, ὄφρα σε μῆτις
ἐξάγαγ' ἐξ ἄντροιο, ὀϊόμενον θανέεσθαι.
Ὣς ἔφατ', ἐν στήθεσσι καθαπτόμενος φίλον ἦτορ·
τῷ δὲ μάλ' ἐν πείσῃ κραδίη μένε τετληυῖα
νωλεμέως· ἀτὰρ αὐτὸς ἑλίσσετο ἔνθα καὶ ἔνθα.
ὡς δ' ὅτε γαστέρ' ἀνήρ, πολέος πυρὸς αἰθομένοιο,
ἐμπλείην κνίσσης τε καὶ αἵματος, ἔνθα καὶ ἔνθα
αἰόλλῃ, μάλα δ' ὦκα λιλαίεται ὀπτηθῆναι·

V. 18. *τέτλαθι — κραδίη*] *Τό, τέτλαθι κραδίη, ἀπὸ μέρους ἀντὶ τοῦ, σὺ ὦ Ὀδυσσεῦ. διὸ καὶ ὑποκαταβὰς ἔφη, ὀϊόμενον θανέεσθαι, σὲ δηλονότι τὸν Ὀδυσσέα.* Eust.

κύντερον] v. ad *η*, 216. *λ*, 427.

V. 22. *καθαπτόμενος φίλον ἦτορ*] *καταστέλλων, τὴν ἀπότασιν ποιούμενος εἰς τὴν ψυχήν, ὥστε αὐτῆς ἅψασθαι τὰ λεγόμενα.* Vulg. *Ὅτι καὶ ἐνταῦθα καθάπτεσθαι τὸ λογικῶς αποτείνεσθαι, οἷον, ἐν στήθεσσι καθαπτόμενος φίλον ἦτορ, τουτέστιν, ὡς πρὸς τὴν καρδίαν ἀποτεινόμενος.* Eust.

V. 23. *ἐν πείσῃ*] *Ἀντὶ τοῦ, κατὰ χώραν. οὐκέτι ἦν ἐν κινήσει, ἀλλ' ἐν δεσμοῖς ἔμενεν, ἢ ἐν οἷς ἐπέπειστο καὶ ἐγνώκει, οἷον, οὐκ ἔμελεν αὐτῷ.* Vulg. ex emend. Barn. *Ἔστι τὸ πείσῃ ἀντὶ τοῦ πειθοῖ, ἀπ' εὐθείας τῆς ἡ πεῖσα. ἅπαξ δὲ καὶ τοῦτο ἐνταῦθα κεῖται.* Eust. *Πείσῃ. πείσματι καὶ χώρᾳ.* Hesych.

τετληυῖα] *καρτεροῦσα.* Vulg.

V. 24. *νωλεμέως*] *συνεχῶς.* *ἐλίσσετο*] *ἐκυλίετο, ἐστρέφετο.* Id.

V. 27. *αἰόλλῃ*] *ποικίλως στρέφῃ ἢ κινεῖ* (scr. *κινῇ*). Vulg. *κινῇ, παρὰ ἄελλαν, ὅθεν καί, πόδας αἰόλος ἵππος* (Il. *τ*, 404.), *ὁ εὐκίνητος τοὺς πόδας. καί, κορυθαίολος, ὃν ἀλλαχοῦ κορυθάϊκα εἶπε* (Il. *χ*, 132.). *καί, αἰόλαι εὐναί* (scr. *εὐλαί.* Il. *χ*,

ὣς ἄρ' ὅγ' ἔνθα καὶ ἔνθα ἑλίσσετο, μερμηρίζων,
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει,
μοῦνος ἐὼν πολέσι. σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη,
οὐρανόθεν καταβᾶσα· δέμας δ' ἤϊκτο γυναικί·
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
Τίπτ' αὖτ' ἐγρήσσεις, πάντων περὶ κάμμορε φωτῶν;
οἶκος μέν τοι ὅδ' ἐστί, γυνὴ δέ τοι ἥδ' ἐνὶ οἴκῳ,
καὶ παῖς, οἷόν πού τις ἐέλδεται ἔμμεναι υἷα.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ναὶ δὴ ταῦτά γε πάντα, θεά, κατὰ μοῖραν ἔειπες·
ἀλλά τί μοι τόδε θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει,
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσω,
μοῦνος ἐών· οἱ δ' αἰὲν ἀολλέες ἔνδον ἔασιν.
πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶ μερμηρίζω·
εἴπερ γὰρ κτείναιμι, Διός τε σέθεν τε ἕκητι,

509.), καί, αἰολοπώλους (Il. γ, 185.), καί, σφῆκες μέσον αἰόλοι (Il. μ, 167.). Ambr. B. Q. Αἰολλεῖν ἁπλῶς τὸ κινεῖν, ἐνταῦθα δὲ τὸ κατὰ εἴλησιν. δοκεῖ δὲ τοῖς παλαιοῖς γίνεσθαι παρὰ τὴν ἄελλαν τὸ αἰόλλειν, ὅ ἐστι ποικίλως καὶ πυκνῶς καὶ ταχέως στρέφειν καὶ κινεῖν. Eust. qui n. l. legit αἰόλλει.

V. 33. ἐγρήσσεις] γρηγορεῖς. Vulg. Τὸ ἐγρήσσεις δὶς μὲν ἐνταῦθα κεῖται, εὕρηται δὲ καὶ ἐν ἄλλοις, ποιητικὸν δέ ἐστι, καὶ γίνεται ἀπὸ τοῦ ἐγείρω κατὰ συγκοπὴν ἔγρω· ἐξ οὗ ἐγρήσσω, ὥσπερ πέλω πλῶ πλήσσω, πέτω πτῶ πτήσσω. Eust., cujus scholion antea: ἐγρήγορας.

πάντων περὶ κάμμορε φ.] ἤγουν, ἀνδρῶν πάντων λίαν κακοτυχέστατε. Eust.

V. 40. ἀολλέες] Ἀντὶ τοῦ, πολλοί. Vulg.

πῇ κεν ὑπεκπροφύγοιμι; τὰ σὲ φράζεσθαι ἄνωγα.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
σχέτλιε, καὶ μέν τίς τε χερείονι πείθεθ' ἑταίρῳ,
ὅσπερ θνητός τ' ἐστί, καὶ οὐ τόσα μήδεα οἶδεν·
αὐτὰρ ἐγὼ θεός εἰμι, διαμπερὲς ἥ σε φυλάσσω
ἐν πάντεσσι πόνοις· ἐρέω δέ τοι ἐξαναφανδόν·
εἴπερ πεντήκοντα λόχοι μερόπων ἀνθρώπων
νῶϊ περισταῖεν, κτεῖναι μεμαῶτες Ἄρηϊ,
καί κεν τῶν ἐλάσαιο βόας καὶ ἴφια μῆλα.
ἀλλ' ἑλέτω σε καὶ ὕπνος· ἀνίη καὶ τὸ φυλάσσειν
πάννυχον ἐγρήσσοντα· κακῶν δ' ὑποδύσεαι ἤδη.
Ὣς φάτο· καί ῥά οἱ ὕπνον ἐπὶ βλεφάροισιν ἔχευεν·
αὐτὴ δ' ἂψ ἐς Ὄλυμπον ἀφίκετο δῖα θεάων,
εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ,
λυσιμελής. ἄλοχος δ' ἄρ' ἐπέγρετο κέδν' εἰδυῖα·

V. 49. λόχοι] τῶν πολεμίων συστήματα. Id. Ὁ λόχος ἐξ ἀνδρῶν λ'. οἱ ν' λόχοι ἐκ τοσούτων ἀνδρῶν συνάγουσι μίαν ἡμίσειαν χιλιάδα. Ambr. B.

V. 50. Ἄρηϊ] Ἄρης νῦν ὁ σίδηρος. Vulg.

V. 52. ἑλέτω σε καὶ ὕπνος] Ἀντὶ τοῦ, κοιμήθητι. ἀνίη καὶ τὸ φυλάσσειν] Ἀνία ἐστὶ καὶ τὸ δι' ὅλης νυκτὸς ἀγρυπνεῖν. Id. Τό, ἀνίη — ἐγρήσσοντα, γνωμικῶς τε εἴρηται, καὶ ἐκ μεταφορᾶς τῶν ἀγρυπνούντων ἔν τινι φυλακῇ, πόλεως τυχὸν ἢ ἀγροῦ ἤ τινος τοιούτου. Eust.

V. 55. κακῶν δ' ὑποδύσεαι] τουτέστιν, ὑπὸ τῆς κακώσεως μικρὸν ὅσον δυσμὰς ἂν βίου ἴδοις. ἢ καὶ ἄλλως, οἰχήσῃ καταδὺς ὡς εἰς βυθόν. Eust. κάκωσιν ὑπεισέλθῃς (Barn. emend. κακώσεως ὑπεξέλθῃς). ἤδη] παραυτίκα. Vulg. Ἢ κοιμηθεὶς ἀπαλλαγήσῃ τῶν κακῶν, ἢ μὴ κοιμηθεὶς κακώσῃ. Ὑπεισέλθῃς. Ἀντὶ τοῦ, κακωθήσῃ, βλαβήσῃ. Ambr. B. Q.

V. 56. ἔμαρπτε] κατέλαβεν. Vulg.

κλαῖε δ' ἄρ' ἐν λέκτροισι καθεζομένη μαλακοῖσιν.
αὐτὰρ ἐπεὶ κλαίουσα κορέσσατο ὃν κατὰ θυμόν,
Ἀρτέμιδι πρώτιστον ἐπεύξατο δῖα γυναικῶν·
Ἄρτεμι, πότνια θεά, θύγατερ Διός, αἴθε μοι ἤδη
ἰὸν ἐνὶ στήθεσσι βαλοῦσ' ἐκ θυμὸν ἕλοιο,
αὐτίκα νῦν· ἢ ἔπειτά μ' ἀναρπάξασα θύελλα
οἴχοιτο προφέρουσα κατ' ἠερόεντα κέλευθα,
ἐν προχοῇς δὲ βάλοι ἀψοῤῥόου Ὠκεανοῖο.
ὡς δ' ὅτε Πανδαρέου κούρας ἀνέλοντο θύελλαι·

V. 63. ἢ ἔπειτα] (ed. ant. ἢ καὶ ἔπειτα) Νῦν ἀντὶ τοῦ παραυτίκα. Vulg.

V. 64. ἠερόεντα κέλευθα] τὸν ἀέρα, ἢ τὸν Ἅιδην. Id. Ἰστέον ὅτι κέλευθα ἠερόεντα ἢ τὰ πρὸς δύσιν καὶ Ἅιδην, ἢ καὶ ἁπλῶς τὰ περὶ ἀέρα. ἔνθα καὶ ὅρα ὡς καὶ τὴν δι' ἀέρος φορὰν κέλευθον εἶπεν. Eust.

V. 65. προχοῇς] τοῖς ῥεύμασιν. ἀψοῤῥόου Ὠκ.] τοῦ κύκλῳ περινοστοῦντος τὴν γῆν, καὶ ἂψ πάλιν ἐπὶ τὰ αὐτὰ ἀφικνουμένου. Vulg. Ἀψόῤῥοος Ὠκεανός, ὁ κύκλῳ τῆς γῆς περινοστῶν καὶ ἂψ πάλιν ἐπὶ τὸ αὐτὸ ἱκνούμενος κατὰ τό, περιτελλομένων ἐνιαυτῶν. οἱ δὲ παλαιοὶ φράζουσι καὶ οὕτως· ἀψόῤῥοος, ὁ εἰς ἑαυτὸν ἀναλύων ἐν τῷ εἱλεῖσθαι κύκλῳ περὶ τὴν γῆν. τινὲς δὲ ἀψόῤῥούν φασι τὸν ταχὺ ῥέοντα, ὡς οἷον αἰψόῤῥοον. Eust. Ἀψοῤῥόου. ἀνάπαλιν ῥέοντος. Apollon.

V. 66. Πανδαρέου κούρας] v. Eust. ad τ, 518., ubi: Ἐν δὲ τῇ ἑξῆς ῥαψωδίᾳ ἡ Πηνελόπη λέγει, ὡς τὰς λοιπὰς δύο Πανδαρέου κούρας ὀρφανὰς τοκέων λειφθείσας ἐκόμισεν Ἀφροδίτη, ὡραίας δὲ γάμου γενομένας ἀνηρείψαντο Ἅρπυιαι, καὶ παρεδόθησαν Ἐριννύσιν ἀμφιπολεύειν. ἴσως γὰρ περικαλεῖς μὲν οὖσαι, δι' ὀρφανίαν δὲ δυςπραγοῦσαι καὶ εἰς ὑποδύςκολον καὶ ὡς οἷον εἰπεῖν ἐριννυῶδες ἦθος μεταβληθεῖσαι τῇ λύπῃ ᾤχοντο ἀνώνυμοι. καὶ διὰ τοῦτο καὶ ἀνέμοις ἐπαχθῆναι καὶ Ἐριννύσι παραδοθῆναι μυθεύονται. (cf. Pausan. l. 10. c. 3.) Id. ad n. l. Μερόπη δὲ καὶ Κλαιοθήρα (scr. Κλεοθήρα) ἦσαν αἱ ἐνταῦθα τοῦ Πανδαρέου κοῦραι, ἃς οἱ μὲν βρεφόθεν ὀρφανισθῆναί φασιν, ὡς ἐντεῦθεν ἀνάγκην εἶναι τυρῷ καὶ μέλιτι καὶ τοιούτοις τισὶ βρεφο-

τῆσι τοκῆας μὲν φθῖσαν θεοί· αἱ δ' ἐλίποντο
ὀρφαναὶ ἐν μεγάροισι, κόμισσε δὲ δῖ' Ἀφροδίτη
τυρῷ καὶ μέλιτι γλυκερῷ καὶ ἡδέϊ οἴνῳ·
Ἥρη δ' αὐτῇσιν περὶ πασέων δῶκε γυναικῶν
εἶδος καὶ πινυτήν, μῆκος δ' ἔπορ' Ἄρτεμις ἁγνή,
ἔργα δ' Ἀθηναίη δέδαε κλυτὰ ἐργάζεσθαι.

κομεῖσθαι αὐτάς. ἕτεροι δὲ μὴ ὀρφανισθείσας οὕτως ἐκτραφῆναί φασιν, ἀλλὰ πρὸ τῆς ὀρφανίας, οἷα φιλουμένας τῇ Ἀφροδίτῃ. δοκοῦσι δέ, ὡς καὶ προεγράφη, οὐ φαῦλαί τινες εἶναι κορίσκαι, ἀλλὰ καὶ περικαλεῖς καὶ ὡς εἰπεῖν ἐπαφρόδιτοι, καὶ συνεταὶ δέ, ὡς νῦν ὁ ποιητὴς λέγει, καὶ ἐργατικαί, ἤδη δὲ ἴσως καὶ δειναὶ προσενεχθῆναι καὶ οὐ προσηνεῖς, ἀποβῆναι δὲ δυστυχεῖς ἔς γε τὸ μακρόβιον, ἢ καὶ εἰς τὸ κατὰ βίον περιφανὲς καὶ εὔδαιμον. διὸ μυθευθῆναι, ἁρπαγῆναι μὲν ἀέλλαις διὰ τὸ ὁπωσοῦν ἀφανές, Ἐριννύσι δὲ παραδοθῆναι ἀμφιπολεύειν, ἐξ οὗ δὴ ῥήματος αἱ ἀμφίπολοι. ὡς δὲ ἀγρίως εἶχον αἱ Ἐριννύες, καὶ ὡς στυγεραὶ ἦσαν ἤγουν στυγηταὶ ἢ στυγναί, καὶ ὡς οἱ περὶ αὐτὰς ἐριννυώδεις καὶ αὐτοί, δῆλον ἐκ τῶν μύθων, οἳ καὶ Ἥραν μὲν δότειραν οἴδασιν εἴδους καὶ πινυτότητος, εἰ καὶ ἄλλως κοινότερον ἡ Ἀθηνᾶ τοῖς πινυτοῖς ἐπιστατεῖ, Ἄρτεμιν δὲ μεγέθους τοῦ κατὰ γυναῖκας, Ἀθηνᾶν δὲ ταῖς γυναικείαις ἐφιστᾶσι τέχναις, Ἀφροδίτην δὲ γάμοις, εἰ καὶ ἑτέρως Ἥρα γάμων ἐπιστατεῖν λέγεται.

V. 67. αἱ δὲ λίποντο ὀρφαναί] Προσέθηκε τὸ κεφάλαιον. ὕστερον γὰρ συνέβη. καὶ γὰρ οὐκ ὀρφανὰς αὐτὰς ἀνεθρέψατο Ἀφροδίτη, ἀλλὰ πρὸ τῆς ὀρφανίας. τὸ δὲ ἑξῆς τοῦ λόγου (Ambr. οὕτω συντακτέον)· τῇσι τοκῆας (Ambr. Q. γονῆας) μὲν φθῖσαν θεοί. Ἀφροδίτη δὲ πρὸς τὸν Δία αἰτήσουσα αὐταῖς γάμον παρεγένετο. ἐν δὲ τούτῳ Ἅρπυιαι αὐτὰς ἀνηρείψαντο. Δι' ἔλεον δὲ αὐτὰς αἱ θεαὶ ἀνεθρέψαντο ἀγνοοῦσαι τὸ πεπρωμένον. μόνος γὰρ ὁ Ζεὺς οἶδε μοῖράν τ' ἀμμορίην τε ὁμοίως (v. 76.). Vulg. Ambr. Q.

V. 71. μῆκος δ' ἔπορ' Ἄρτεμις ἁ.] Κουροτρόφος γὰρ ἡ θεός, ὁμοίως τῷ ἀδελφῷ Ἀπόλλωνι. Vulg.

V. 72. δέδαε] Ἰστέον ὅτι καὶ τὸ δέδαε μέση λέξις ἐστί. καὶ νῦν μὲν ἀντὶ τοῦ ἐδίδαξε κεῖται, ὡς τὰ πολλὰ δὲ ἀντὶ τοῦ ἔμαθεν, ἤτοι ἔγνω ἀπὸ μαθήσεως. οὕτω καὶ τὸ μανθάνειν μέσως

εὖτ' Ἀφροδίτη δῖα προσέστιχε μακρὸν Ὄλυμπον,
κούρῃς αἰτήσουσα τέλος θαλεροῖο γάμοιο,
ἐς Δία τερπικέραυνον – ὁ γάρ τ' εὖ οἶδεν ἅπαντα,
μοῖράν τ' ἀμμορίην τε καταθνητῶν ἀνθρώπων –
τόφρα δὲ τὰς κούρας Ἅρπυιαι ἀνηρείψαντο,
καί ῥ' ἔδοσαν στυγερῇσιν Ἐριννύσιν ἀμφιπολεύειν·
ὣς ἔμ' ἀϊστώσειαν Ὀλύμπια δώματ' ἔχοντες,
ἢ ἔμ' ἐϋπλόκαμος βάλοι Ἄρτεμις, ὄφρ' Ὀδυσῆα
ὀσσομένη καὶ γαῖαν ὕπο στυγερὴν ἀφικοίμην,

ἔχει παρὰ τοῖς μεθ' Ὅμηρον, ὡς δηλοῖ τό, μανθάνει γράμματα παρὰ τοῖς σοφισταῖς. Eust.

V. 74. τέλος — γάμοιο] Τέλος γάμου ἢ ὁ γάμος περιφραστικῶς, ἢ ἡ τεκνοποιΐα. Θαλερὸν δὲ γάμον λέγει διὰ τὸ ἐκεῖθεν ἄρχεσθαι τοὺς ἀνθρώπους εἰς γενεάν, ὧν ἑκάστῳ καὶ θάλος τὸ γεννηθὲν λογίζεται, ὡς τό, τοιόνδε θάλος χορὸν ἐσοιχνεῦσαν (ζ, 157.). Eust.

V. 76. μοῖραν] εὐμοιρίαν, εὐδαιμονίαν. ἀμμορίην] κακομμορίην, ὅ ἐστι κακομοιρίαν. Vulg. Μοῖραν φανερῶς τὴν εὐδαιμονίαν καὶ εὐτυχίαν φησίν, ἧς αἴτιος Ζεὺς ἐδόκει εἶναι ὁ καθ' εἱμαρμένην. ὁ δὲ τοιοῦτος Ὁμηρικὸς τόπος δοκεῖ ἀρχὴν ἐνδοῦναι τοῦ εἰς εἱμαρμένην ἀλληγορεῖσθαι τὸν Δία. Eust.

V. 77. Ἅρπυιαι ἀνηρείψαντο] Τό, Ἅρπυιαι ἀνηρείψαντο, ταυτὸν τῷ, ἀνέλοντο θύελλαι, ὃ ἐν ἀρχῇ κεῖται τῆς παραβολῆς (v. 66.). Id.

V. 78. στυγερῇσιν] στυγνότητος αἰτίαις. ἀμφιπολεύειν] ἐνεργεῖν. Vulg. Τὸ ἀμφιπολεύειν οὐκ ἐξ ἀνάγκης δουλική ἐστι λέξις· τί γὰρ σεμνὸν ταῖς θεοφιλέσι κόραις, τὸ δούλαις γενέσθαι; ἀλλ' ἁπλῶς τὸ συμπεριοδεύειν δηλοῖ. Eust, cf. σ, 254.

V. 80. ἠέ μ' ἐϋπλόκαμος βάλοι] Τὸ ἑξῆς, ἵνα καὶ γαῖαν ὑπὸ στυγερὴν ἀφικοίμην θεασαμένη Ὀδυσσέα. Ambr. B. Γαῖα δὲ στυγερή, ἡ κατὰ τὸν Ἅιδην, ἡ γὰρ ἄνω φίλη μήτηρ, καὶ διὰ τοῦτο Δήμητρος τόπος. καὶ ἄλλως δὲ ὁ τάφος εἴη ἂν γαῖα στυγερή, ὡς καὶ Ἐριννύες στυγεραί (v. 78.). Eust.

μηδέ τι χείρονος ἀνδρὸς ἐϋφραίνοιμι νόημα.
ἀλλὰ τὸ μὲν καὶ ἀνεκτὸν ἔχει κακόν, ὁππότε κέν τις
ἤματα μὲν κλαίῃ, πυκινῶς ἀκαχήμενος ἦτορ,
νύκτας δ᾽ ὕπνος ἔχῃσιν – ὁ γάρ τ᾽ ἐπέλησεν ἁπάντων,
ἐσθλῶν ἠδὲ κακῶν, ἐπεὶ ἂρ βλέφαρ᾽ ἀμφικαλύψει –
αὐτὰρ ἐμοὶ καὶ ὀνείρατ᾽ ἐπέσσευεν κακὰ δαίμων.
τῇδε γὰρ αὖ μοι νυκτὶ παρέδραθεν εἴκελος αὐτῷ,
τοῖος ἐών, οἷος ἦεν ἅμα στρατῷ· αὐτὰρ ἐμὸν κῆρ
χαῖρ᾽, ἐπεὶ οὐκ ἐφάμην ὄναρ ἔμμεναι, ἀλλ᾽ ὕπαρ ἤδη.
Ὣς ἔφατ᾽· αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν Ἠώς.
τῆς δ᾽ ἄρα κλαιούσης ὄπα σύνθετο δῖος Ὀδυσσεύς·
μερμήριζε δ᾽ ἔπειτα, δόκησε δέ οἱ κατὰ θυμὸν
ἤδη γιγνώσκουσα παρεστάμεναι κεφαλῆφιν.
χλαῖναν μὲν συνελὼν καὶ κώεα, τοῖσιν ἐνεῦδεν,

V. 82. *ἀνδρὸς ἐϋφραίνοιμι νόημα*] *Μηδὲ ἄλλῳ τινὶ συμμιγείην ἀνδρί.* Ambr. Q.

V. 83. *ἀνεκτόν*] *ἀνασχετόν.* Vulg.

V. 85. *ἐπέλησεν*] *λήθην ἐπήγαγεν,* Id.

V. 86. *ἀμφικαλύψει*] *Τὸ ἀμφικαλύψει ὡς ἀπὸ δικτύων μετήνεκται, ἃ καταπετασθέντα ὀρνίθων καλύπτει αὐτὰ ἔσω.* Eust.

V. 89. *ἦεν*] *τουτέστιν ἤϊεν ἤτοι ἀπήει.* Id.

V. 90. *ὕπαρ*] v. ad *τ*, 547.

V. 95. *συνελών*] *συναγαγών.* Vulg. *Τὸ συνελὼν ἀντὶ τοῦ συνάξας, συνειλήσας. καὶ κεῖται ἡ λέξις καὶ ἐν Ἰλιάδι ἐν τῷ, ἀμφοτέρας ὀφρῦς σύνελε λίθος (π, 740.). ἐντεῦθεν δὲ εἴληπται καὶ τό, συνελόντα φάναι, παρὰ τοῖς ὕστερον, καὶ τὰ παρὰ τοῖς*

ἐς μέγαρον κατέθηκεν ἐπὶ θρόνου· ἐκ δὲ βοείην
θῆκε θύραζε φέρων· Διῒ δ' εὔξατο χεῖρας ἀνασχών·
Ζεῦ πάτερ, εἴ μ' ἐθέλοντες ἐπὶ τραφερήν τε καὶ ὑγρὴν
ἤγετ' ἐμὴν ἐς γαῖαν, ἐπεί μ' ἐκακώσατε λίην,
φήμην τίς μοι φάσθω ἐγειρομένων ἀνθρώπων
ἔνδοθεν· ἔκτοσθεν δὲ Διὸς τέρας ἄλλο φανήτω.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε μητίετα Ζεύς·
αὐτίκα δ' ἐβρόντησεν ἀπ' αἰγλήεντος Ὀλύμπου,
ὑψόθεν ἐκ νεφέων· γήθησε δὲ δῖος Ὀδυσσεύς.

γραμματικοῖς συνῃρημένα, καὶ ἡ συναίρεσις, δι' ἧς αἱ λέξεις ἐκ πλατυτέρων καὶ ἀναπεπταμένων συνάγονται εἰς βραχύτερον. Eust.

τοῖσιν ἐνεῦδεν] Τό, οἷς ἐνεῦδε, διασαφητικὸν τῶν ἐνευναίων (π, 35.) ἤγουν ἐγκοιτίων ἐστί. δῆλον γὰρ ὅτι ἐνεύναιον, ᾧ ἐνεύδει τις ἤτοι ἐγκοιμᾶται. Eust.

V. 97. θύραζε φέρων] τουτέστιν, ἐξέθηκε θύραζε, ἢ ἐκφέρων ἔθηκε θύραζε. Eust. Ἐνταῦθα οἱ μνηστῆρες. Vulg.

V. 100. φήμην] κληδόνα, οἰωνόν. Vulg. Ἰστέον ὅτι καὶ ἐνταῦθα τὴν φήμην πολλὰ τῶν ἀντιγράφων διὰ τοῦ ι ἔχουσι, λέγοντα Ἰωνικὴν εἶναι τὴν λέξιν. ἔστι δὲ καινὸν τὸ λεγόμενον. δοκεῖ γὰρ ἄλλως τοῖς πλείοσιν ἡ μὲν φῆμις, ὡς ἡ μῆτις καὶ ἡ μῆνις, ἀνθρώπινον λόγον δηλοῦν, ὡς ἐν πολλοῖς ἐφάνη (v. ξ. 239. ο, 467.), ἡ δὲ φήμη, ὡς ἡ κνήμη, θειότερον. Eust.

φάσθω] εἰπάτω. Vulg.

V. 101. Διὸς τέρας] Διὸς τέρας ἀλληγορικῶς μὲν τὸ ἐξ ἀέρος. τοιοῦτον γὰρ ἡ δίχα νέφους βροντή. ἄλλως δέ, διὰ τὸ πᾶν τέρας ἀνάγεσθαι εἰς ἐκεῖνον, καθὰ καὶ πᾶσαν ὀμφήν. διὸ καὶ πανομφαῖος ἐλέγετο Ζεύς. Eust.

V. 104. ὑψόθεν ἐκ νεφέων] ἐκ τοῦ τόπου, ὅπου εἰώθασιν εἶναι τὰ νέφη. ἐπιφέρει γὰρ ἡ ἀλετρίς (v. 114.), οὐδέ ποθι νέφος ἐστι. Ambr. B. Q. Ὅτι νέφος οὐ προῆν τῆς βροντῆς, δῆλον ἐκ τοῦ, οὐδέ ποθι νέφος ἐστί. διὸ καὶ ἡ γραῦς τέρας τινὶ τόδε φαίνεσθαι νοεῖ. εἰ δὲ δοκεῖ τοῦτο ἐναντιοῦσθαι

φήμην δ' ἐξ οἴκοιο γυνὴ προέηκεν ἀλετρὶς
πλησίον, ἔνθ' ἄρα οἱ μύλαι εἵατο ποιμένι λαῶν·
τῇσιν δώδεκα πᾶσαι ἐπεῤῥώοντο γυναῖκες,
ἄλφιτα τεύχουσαι καὶ ἀλείατα, μυελὸν ἀνδρῶν.

τῷ, ἐβρόντησε Ζεὺς ὑψόθεν ἐκ νεφέων, ἔστιν εἰπεῖν ἀληθῶς, ὡς νέφη νῦν Ἀττικῶς ὁ τῶν νεφῶν τόπος κατ' οὐρανόν. ἄλλως γὰρ νῦν καὶ αἰγλήεις καὶ ἀστερόεις ὁ Ὄλυμπος, ὡς δηλοῖ τό, ἐβρόντησεν ἀπ' αἰγλήεντος Ὀλύμπου, καί, ἐβρόντησας ἀπ' οὐρανοῦ ἀστερόεντος (v. 113.). ἰδοὺ τοίνυν καὶ τέρας ἔξωθεν τῷ Ὀδυσσεῖ τὸ διὰ βροντῆς ἀνεφέλου, καὶ φήμη ἔνδοθεν διὰ τῆς κακοτυχοῦς γραός. Eust.

V. 105. ἀλετρίς] Ἀλετρὶς γυνή, παρὰ τὸ ἀλέω τὸ ἀλήθω, ἐξ οὗ καὶ ἀλετός, ᾧ ἡ τοιαύτη ἐπιστατεῖ. ἐκ δὲ τοῦ τοιούτου ἀλέω, οὗ τὸ ἀλήθω παράγωγον, καὶ ἄλειαρ, τὸ ἀπὸ πυρῶν ἄλευρον, καθάπερ ἄλφιτον τὸ ἀπὸ κριθῆς, ὡς ἐν πολλοῖς δηλοῦται, καὶ αὐτὸ δὲ τὸ ἄλευρον ἐκ τοῦ ἀλέω γίνεται πλεονασμῷ συνήθει τοῦ υ. Eust.

V. 106. πλησίον] Τὸ πλησίον ἢ χρονικόν ἐστι, καθάπερ ἀλλαχοῦ τὸ ἄγχι, καὶ ἔστιν, ὥσπερ αὐτίκα ἐβρόντησεν, οὕτω καὶ ἡ γυνὴ ἐλάλησε πλησίον ἤγουν εὐθύς. ἢ καὶ ἄλλως, πλησίον τοῦ Ὀδυσσέως. οὕτω γὰρ καὶ ἠκούσθη. ὃν τρόπον καὶ τὴν βροντὴν μεγάλην πλάττει ἐν τῷ, μεγάλ' ἐβρόντησας (v. 113.), ἵνα ἡ γραῦς ἀκούσῃ ἐντός. ἄλλως γὰρ οὐκ ἂν ἤκουσεν ἀντιβομβούσης παρ' αὐτῇ τῆς μύλης. Id.

εἵατο] Ψιλῶς, ἵν' ᾖ, ἦσαν. Vulg. Τό, μύλαι εἵατο, ἀντὶ τοῦ, ἐκάθηντο, ἔκειντο. ταυτὰ γάρ πως τῷ γένει ἄμφω ταῦτα. οἱ δὲ παλαιοὶ γράφουσι καὶ ὅτι ψιλῶς τὸ εἵατο, ἵνα ᾖ ἀντὶ τοῦ ἦσαν, ὡς ἀπὸ τοῦ εἰμί, καὶ ἔστι κρεῖττον τοῦτο. κυριολεξία δὲ τοῦ εἵατο ἀντὶ τοῦ ἐκάθηντο ἐν τῷ, πεντηκόσιοι δ' ἐν ἑκάστῃ, ἕδρῃ δηλαδή, εἵατο. (γ, 7, 8.) οὕτω καὶ ἐν Ἰλιάδι (β, 137.) τό, εἵαται ἐν μεγάροις ποτιδέγμεναι, ψιλῶς κατὰ Ἡρακλείδην προενεκτέον. οὐ γὰρ κάθηνται φησιν, ἀλλ' ὑπάρχουσιν ἤγουν εἰσίν. Ἴωνες γὰρ τοῖς παρακειμένοις ἀντὶ ἐνεστώτων χρῶνται, οἷον διανενόημαι ἀντὶ τοῦ διανοοῦμαι, καὶ τὰ ὅμοια. Eust.

V. 107. ἐπεῤῥώοντο] ἐῤῥωμένως ἐνήργουν. Vulg. ἐῤῥωμένως ἐκινοῦντο. Ambr. B. Τὸ ἐπεῤῥώοντο τὴν τῶν ἀλετρίδων δηλοῖ σπουδαίαν κίνησιν καὶ ῥωμαλέαν. Eust.

V. 108. τεύχουσαι] ποιοῦσαι. ἀλείατα (ed. ant. et

αἱ μὲν ἄρ' ἄλλαι εὗδον, ἐπεὶ κατὰ πυρὸν ἄλεσσαν·
ἡ δὲ μί' οὔπω παύετ', ἀφαυροτάτη δ' ἐτέτυκτο·
ἥ ῥα μύλην στήσασα, ἔπος φάτο, σῆμα ἄνακτι·
Ζεῦ πάτερ, ὅςτε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσεις,
ἦ μεγάλ' ἐβρόντησας ἀπ' οὐρανοῦ ἀστερόεντος,
οὐδέ ποθι νέφος ἐστί· τέρας νύ τεῳ τόδε φαίνεις.
κρῆνον νῦν καὶ ἐμοὶ δειλῇ ἔπος ὅ,ττι κεν εἴπω·
μνηστῆρες πύματόν τε καὶ ὕστατον ἤματι τῷδέ
ἐν μεγάροις Ὀδυσῆος ἑλοίατο δαῖτ' ἐρατεινήν·
οἳ δή μοι καμάτῳ θυμαλγέϊ γούνατ' ἔλυσαν,
ἄλφιτα τευχούσῃ· νῦν ὕστατα δειπνήσειαν.
Ὣς ἄρ' ἔφη· χαῖρεν δὲ κλεηδόνι δῖος Ὀδυσσεύς.
Ζηνός τε βροντῇ· φάτο γὰρ τίσασθαι ἀλείτας.

Ambr. B. ἀλείφατα) τὰ ἐκ τῶν πυρῶν ἄλευρα. Vulg. v. Eust. ad v. 105.

V. 109. ἄλεσσαν] ἤλεσαν. Vulg.

V. 113. ἐβροντ. ἀπ' οὐρανοῦ] Οὕτως ἡ ἀλετρίς φησι κατὰ τὴν κοινὴν ὑπόνοιαν, ἢ ὅτι τὰ ὑψηλὰ τοῦ Ὀλύμπου ἐπουράνιά ἐστι. Id.

V. 114. τέῳ] τινί. Vulg. Τὸ τέῳ ἀντὶ τοῦ τινί πλεονασμὸν καὶ αὐτὸ ἔχει τοῦ ε, καθὰ καὶ ἄλλα τῶν αὐτῷ συστοίχων. Eust.

V. 115. κρῆνον] ἐπιτέλεσον. Vulg.

V. 117. ἑλοίατο] μεταλάβοιεν. Id.

V. 120. κλεηδόνι] v. ad σ, 117.

V. 121. ἀλείτας] τοὺς ἡμαρτηκότας. Id. Ὁ ἀλείτης ἐκ τοῦ ἀλείτω τὸ ἁμαρτάνω γίνεται. ἐκεῖθεν δὲ καὶ ὁ ἀλοιτός ὁ παρὰ τῷ Λυκόφρονι, ὅμοιος ὢν τῷ ἀλείτῃ. τοῦ δὲ ἀλείτω δεύτερος ἀόριστος ἤλιτον, ἐξ οὗ νηλιτεῖς καὶ νηλίτιδες γυναῖκες (v. ad

Αἱ δ' ἄλλαι δμωαὶ κατὰ δώματα κάλ' Ὀδυσῆος
ἀγρόμεναι ἀνέκαιον ἐπ' ἐσχάρῃ ἀκάματον πῦρ.
Τηλέμαχος δ' εὐνῆθεν ἀνίστατο, ἰσόθεος φώς,
εἵματα ἑσσάμενος· περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ·
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ·
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών, πρὸς δ' Εὐρύκλειαν ἔειπεν·
Μαῖα φίλη, τὸν ξεῖνον ἐτιμήσασθ' ἐνὶ οἴκῳ
εὐνῇ καὶ σίτῳ; ἦ αὔτως κεῖται ἀκηδής;
τοιαύτη γὰρ ἐμοὶ μήτηρ, πινυτή περ ἐοῦσα·
ἐμπλήγδην ἕτερόν γε τίει μερόπων ἀνθρώπων

π, 317. et τ, 498.). καὶ ἀλιτρός, κατά τινας δὲ καὶ ἀλιτήριος. Eust.

V. 123. ἀκάματον πῦρ] ἤγουν οὐκ ἀμυδρόν, ἀλλ' ἐγκρατῶς τῆς ὑποκειμένης ὕλης δραττόμενον, ὡς ἐκείνην μὲν κάμνειν, αὐτὸ δὲ εἶναι ἀκάματον. Id.

V. 124. εὐνῆθεν] ἐκ τῆς εὐνῆς ἢ κοίτης. Vulg.

V. 129. ἐτιμήσασθ'] Τό, ξεῖνον ἐτιμήσασθε, Ἀττικῶς ἀντὶ τοῦ, ἐτιμήσατε. παρὰ δέ γε τοῖς μεθ' Ὅμηρον ἐμπορικὴ καὶ συναλλακτικὴ λέξις τὸ τιμᾶσθαι, καὶ γενικῇ συντάσσεται. οἷον, τοῦ παντὸς (scr. πάντως) τιμῶμαι τὴν ἀρετήν, καί, τοσοῦδέ τινος τιμῶμαι τήνδε τὴν ὕλην. Eust.

V. 130. ἀκηδής] ἀτημέλητος. Vulg.

V. 132. ἐμπλήγδην] (Ed. ant. ἐκπλήγδην) ἐκπληκτικῶς, ἢ ἀκρίτως, καὶ ὡς ἂν τύχῃ ἐμπελάζουσα τοῖς πράγμασι. Id. παραφρόνως, ὅθεν καὶ ἐκπληκτικοί, οἱ παράφρονες. Ambr. Q. Ἐμπλήγδην κατὰ τοὺς παλαιοὺς τὸ ἀκρίτως, παρὰ τὸ ἐμπελάζειν ἢ ἐμπλήσσειν ἤτοι ἐμπίπτειν, ὅπως ἂν καὶ τύχοι, τοῖς πράγμασι. καὶ ἄλλως δὲ ἐμπλήγδην τὸ δίκην ἐμπλήκτου τινός. ἔμπληκτος δὲ ὁ ἄστατος καὶ οἱονεὶ ἔσω πεπληγμένος καὶ οὐ κατὰ φύσιν φρονῶν, ὥσπερ ἔκπληκτος ὁ ἔξωθεν πεπληγμένος, κατὰ τοὺς ἐμβροντήτους καὶ ἐκπεπαταγμένους, καὶ ἔκθαμβος, κατὰ τὴν κοινῶς

χείρονα, τὸν δέ τ' ἀρείον' ἀτιμήσασ' ἀποπέμπει.
Τὸν δ' αὖτε προσέειπε περίφρων Εὐρύκλεια·
οὐκ ἄν μιν νῦν, τέκνον, ἀναίτιον αἰτιόῳο.
οἶνον μὲν γὰρ πῖνε καθήμενος, ὄφρ' ἔθελ' αὐτός·
σίτου δ' οὐκέτ' ἔφη πεινήμεναι· εἴρετο γάρ μιν.
ἀλλ' ὅτε δὴ κοίτοιο καὶ ὕπνου μιμνήσκοιτο,
ἡ μὲν δέμνι' ἄνωγεν ὑποστορέσαι δμωῇσιν·
αὐτὰρ ὅγ', ὥς τις πάμπαν ὀϊζυρὸς καὶ ἄποτμος,
οὐκ ἔθελ' ἐν λέκτροισι καὶ ἐν ῥήγεσσι καθεύδειν,
ἀλλ' ἐν ἀδεψήτῳ βοέῃ καὶ κώεσιν οἰῶν
ἔδραθ' ἐνὶ προδόμῳ· χλαῖναν δ' ἐπιέσσαμεν ἡμεῖς.
Ὣς φάτο· Τηλέμαχος δὲ δὶ' ἐκ μεγάροιο βεβήκει,
ἔγχος ἔχων· ἅμα τῷγε κύνες πόδας ἀργοὶ ἕποντο.
βῆ δ' ἴμεν εἰς ἀγορὴν μετ' ἐϋκνήμιδας Ἀχαιούς.
ἡ δ' αὖτε δμωῇσιν ἐκέκλετο δῖα γυναικῶν,
Εὐρύκλει', Ὦπος θυγάτηρ Πεισηνορίδαο·
Ἀγρεῖθ', αἱ μὲν δῶμα κορήσατε ποιπνύσασαι,

λεγομένην ἔκπληξιν. Eust. Ἐμπλήγδην. ἐμπληκτικῶς, οὐ μετὰ κρίσεως (cit. n. l.). ὁ Ἀρίσταρχος, εὐμεταβόλως. Apollon.

V. 134. Εὐρύκλεια] Γρ. Πηνελόπεια. Harl.

V. 137. σίτου δ' οὐκέτ' ἔφη] Κατὰ τὸ σιωπώμενον ἐκδεκτέον τοῦτο. Vulg. Ἐν τῷ, οἶνον ἔπινε σίτου δὲ οὐκ ἔφη πεινῆν, ψεύδεσθαι ἡ γραῦς δοκεῖ. οὐδὲν γὰρ τοιοῦτον ἐφάνη γενέσθαι εἰς τὸν Ὀδυσσέα παρὰ τῇ Πηνελόπῃ. καὶ ἦν καίριον ὑπὲρ τῆς δεσποίνης τὸ ψεῦδος τῇ δούλῃ. καὶ ἄλλως δὲ ἀπεικὸς οὐδέν, κατὰ τὸ σιωπώμενον οὕτω γενέσθαι, ὡς ἡ δούλη ἔφη. Eust.

V. 142. ἐν ἀδεψήτῳ βοέῃ] v. ad v. 2.

V. 143. ἐπιέσσαμεν] ἐπεσκεπάσαμεν. Vulg.

V. 149. ἀγρεῖθ'] συναθροίζεσθε. Id. Τὸ ἀγρεῖτε γίνεται

ῥάσσατέ τ᾽, ἔν τε θρόνοις εὐποιήτοισι τάπητας
βάλλετε πορφυρέους· αἱ δὲ σπόγγοισι τραπέζας
πάσας ἀμφιμάσασθε, καθήρατε δὲ κρητῆρας,
καὶ δέπα ἀμφικύπελλα τετυγμένα· ταὶ δὲ μεθ᾽ ὕδωρ
ἔρχεσθε κρήνηνδε, καὶ οἴσετε θᾶσσον ἰοῦσαι.

μὲν ἐκ τοῦ ἀγρέω ἀγρῶ τὸ ἀγρεύω. ἔστι δὲ ταυτὸν τῷ, σπουδαίως ἄγετε, καὶ ὡς εἰπεῖν, ἄγετε ῥᾷον. διὸ καθάπερ ἄγε καὶ ἄγετε παρακελευσματικῶς, οὕτω νῦν μὲν ἀγρεῖτε, ἐν δὲ Ἰλιάδι ἑνικῶς, ἄγρει μάν οἱ ἔπορσον Ἀθηναίην (Il. ε, 765. cf. η, 459.). Eust.

κορήσατε] σαρώσατε. εἴρηται δὲ κατ᾽ ἀντίφρασιν, ὡς καὶ τὸ σάρον ὄφελμα καλεῖται οὐκ αὔξόν τι, ἀλλὰ τοὐναντίον παραιρούμενον καὶ μειοῦν. Vulg. Τό, κορήσατε δῶμα, ἀντὶ τοῦ, σαρώσατε, καλλύνατε, ὅθεν καὶ κόρημα, τὸ σάρον, δι᾽ οὗ φιλοκαλεῖται γῆ, καὶ κόρη, ἡ ἀπ᾽ ἀνδρὸς καθαρὰ καὶ τὸ τῆς ὄψεως διειδές, καὶ νεωκόρος, καὶ τὰ κατ᾽ αὐτόν, καὶ ἐκκορηθείης, ἀντὶ τοῦ, ὡς κάθαρμα ἐκβληθείης. Ἰστέον δὲ ὅτι τὸ ῥηθὲν σάρον ἤτοι σάρωτρον καὶ ὄφελμα ἐκαλεῖτο κατὰ τοὺς παλαιούς, ἐν ἀντιφράσει, οὐ γὰρ ὀφέλλονται ἤτοι αὔξονται τὰ σαρούμενα, διὸ καὶ τὸ σάρον παραιρεῖ καὶ μειοῖ. Eust.

ποιπνύσασαι] σπουδαίως ἐνεργήσασαι. Vulg. πονησάμεναι. Eust.

V. 150. ῥάσσατε] ῥάνατε. Vulg. Τὸ ῥάσατε ἀντὶ τοῦ ῥάνατε, ὡς μὴ λιθοστρώτου ἴσως ὄντος τοῦ τῆς εἰλαπίνης δαπέδου εἰς τὸ πᾶν. ὅτι δὲ ἦν τι καὶ λίθοις ἐστρωμένον, δηλοῖ τὸ ἐν τοῖς ἑξῆς κραταίπεδον, περὶ οὗ φασὶν οἱ παλαιοί, ὅτι κραταίπεδον τὸ λιθόστρωτον καὶ οὕτω στεῤῥόν, ἐπεὶ καὶ κραταίποδες οἱ στεῤῥοὶ καὶ ἰσχυροί, καθ᾽ ὁμοιότητα τοῦ χαλκόποδες. θέμα δὲ τοῦ ῥάσατε ῥάζω, ἐξ οὗ ἐν τοῖς ἑξῆς, τοῖχοι ἐῤῥάδαται (v. 354.), ὁμοίως τῷ ὠνομάδαται καὶ τοῖς τοιούτοις. ὡς γὰρ βῶ βάζω, οὕτω καὶ ῥῶ ῥάζω. ἐκ δὲ τοῦ τοιούτου ῥῶ καὶ τὸ ῥαίνειν γίνεται. Eust.

V. 152. ἀμφιμάσασθε] ἀπομάξατε. Ms. Barn. (ἀπομάξετε Vulg. ed. ant.) — Καθήρατε καὶ καθάρατε. Ambr.

V. 154. οἴσετε] Τὸ οἴσετε ποιητικῶς κανονίζεται, ὡς παρατατικὸς ἀπὸ μέλλοντος ἀναδραμόντος εἰς ἐνεστῶτα. οἴσω γάρ,

οὐ γὰρ δὴν μνηστῆρες ἀπέσσονται μεγάροιο,
ἀλλὰ μάλ' ἦρι νέονται· ἐπεὶ καὶ πᾶσιν ἑορτή.
Ὣς ἔφαθ'· αἱ δ' ἄρα τῆς μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.
αἱ μὲν ἐείκοσι βῆσαν ἐπὶ κρήνην μελάνυδρον·
αἱ δ' αὐτοῦ κατὰ δώματ' ἐπισταμένως πονέοντο.
Ἐς δ' ἦλθον δρηστῆρες Ἀχαιῶν· οἱ μὲν ἔπειτα
εὖ καὶ ἐπισταμένως κέασαν ξύλα· ταὶ δὲ γυναῖκες
ἦλθον ἀπὸ κρήνης· ἐπὶ δέ σφισιν ἦλθε συβώτης,
τρεῖς σιάλους κατάγων, οἳ ἔσαν μετὰ πᾶσιν ἄριστοι.
καὶ τοὺς μέν ῥ' εἴασε καθ' ἕρκεα καλὰ νέμεσθαι,
αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσηύδα μειλιχίοισιν.
Ξεῖν', ἦ ἄρ τί σε μᾶλλον Ἀχαιοὶ εἰσορόωσιν,

οὗ παρατατικὸς οἶσον, τὸ τρίτον οἶσε, τὸ προστακτικὸν ὁμοφώνως οἶσε, τὸ πληθυντικὸν τὸ οἴσετε, ῥῆμα εἰς πεζολογίαν ἄχρηστον. Eust.

V. 156. *ἐπεὶ καὶ πᾶσιν ἑορτή*] Ταύτην τὴν ἡμέραν ἑορτὴν καὶ νουμηνίαν παρατίθεται Ἀπόλλωνος ἱεράν (cf. φ, 258.), ἵνα τῶν ἀνδρῶν περὶ τὴν ἑορτὴν καταγινομένων, εὔκαιρον ἔχῃ τὸ ἐπιτίθεσθαι μνηστῆρσι. Vulg. cf. infra v. 276. sequ.

V. 160. *ἐκ δ' ἦλθον δρηστῆρες ἀγήνορες*] Γρ. ἐς. Harl. *δρηστῆρες*] v. π, 248. σ, 76. Τὸ ἐπισταμένως πονεῖσθαι καὶ τοῖς δρηστῆρσιν ἐπιμαρτύρεται, οἳ εὖ καὶ ἐπισταμένως φησὶ κέασαν ξύλα, ὃ δὴ ἔργον ἦν τῶν δρηστήρων. Eust. (Inepta est lectio: μνηστῆρες ἀγήνορες.)

V. 163. *τρεῖς σιάλους*] Διὰ τὴν ἑορτὴν τρεῖς ἄγει. ἕνα γὰρ καθ' ἡμέραν εἰώθει. Σιάλους δὲ τοὺς εὐτραφεῖς καὶ ἡμέρους, χλούνας δὲ τοὺς ἀγρίους. Ambr. B. Q.

V. 164. *νέμεσθαι*] διατρίβειν. Vulg.

V. 166. *ξεῖν' ἦ ἄρ τι*] Δύο μέρη λόγου τὸ ἄρ καὶ τὸ τί. Ambr. B.

ἠέ σ' ἀτιμάζουσι κατὰ μέγαρ', ὡς τὸ πάρος περ;
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
αἲ γὰρ δή, Εὔμαιε, θεοὶ τισαίατο λώβην
ἣν οἵδ' ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται
οἴκῳ ἐν ἀλλοτρίῳ, οὐδ' αἰδοῦς μοῖραν ἔχουσιν.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον. —
ἀγχίμολον δέ σφ' ἦλθε Μελάνθιος, αἰπόλος αἰγῶν,
αἶγας ἄγων, αἳ πᾶσι μετέπρεπον αἰπολίοισιν,
δεῖπνον μνηστήρεσσι· δύω δ' ἅμ' ἕποντο νομῆες.
καὶ τὰς μὲν κατέδησεν ὑπ' αἰθούσῃ ἐριδούπῳ·
αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσηύδα κερτομίοισιν·
Ξεῖν', ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις κατὰ δῶμα,
ἀνέρας αἰτίζων; ἀτὰρ οὐκ ἔξεισθα θύραζε;
πάντως οὐκέτι νῶϊ διακρινέεσθαι ὀΐω,

μᾶλλον εἰσορόωσιν] προσηνῶς ὁρῶσιν. Vulg. Ὅρα τὸ εἰσορόωσιν ἀγάπης ἐνταῦθα ὂν δηλωτικόν, ἵνα λέγῃ, ὅτι πρὸς σὲ νεύουσιν, ἢ ἀποστρέφονταί σε. Eust.

V. 171. οὐδ' αἰδοῦς μοῖραν ἔχουσιν] οὐδ' ὀλίγον αἰδοῦνται. Vulg.

V. 176. καὶ τὰς μὲν] Ὅτι καὶ ἐνταῦθα ὁ ποιητὴς δεικνύς, ἔξω καὶ τοῦ προδόμου τὴν αἴθουσαν εἶναι, φησίν, αἶγας δεθῆναι ὑπὸ αἰθούσῃ ἐριδούπῳ. δῆλον γάρ, ὡς ἔξω που τῶν ὅλων δωμάτων ἐδέθησαν. οὐκ εὔδηλον δέ, εἴτε ἀρσενικῶς νῦν αἶγάς φησιν εἴτε θηλυκῶς, διὰ τὸ τὴν ἐπαγομένην γραφὴν διφορεῖσθαι τό, τοὺς μὲν κατέδησαν ὑπ' αἰθούσῃ. τινὰ γὰρ τῶν ἀντιγράφων ἐν θηλυκῷ γένει φασί, τὰς μὲν κατέδησαν, οἱ τοῦ Μελανθίου δηλαδὴ δύο νομῆες. Eust.

V. 180. πάντως] παντὶ τρόπῳ. Vulg.

πρὶν χειρῶν γεύσασθαι· ἐπεὶ σύ περ οὐ κατὰ κόσμον
αἰτίζεις· εἰσὶν δὲ καὶ ἄλλαι δαῖτες Ἀχαιῶν.
Ὣς φάτο· τὸν δ᾽ οὔτι προσέφη πολύμητις Ὀδυσσεύς·
ἀλλ᾽ ἀκέων κίνησε κάρη, κακὰ βυσσοδομεύων.
Τοῖσι δ᾽ ἐπὶ τρίτος ἦλθε Φιλοίτιος, ὄρχαμος ἀνδρῶν,
βοῦν στεῖραν μνηστῆρσιν ἄγων καὶ πίονας αἶγας —
πορθμῆες δ᾽ ἄρα τούςγε διήγαγον, οἵτε καὶ ἄλλους

V. 181. *γεύσασθαι*] *πειρηθῆναι.* Id. (Barnes. Nam ed. ant. *πειρασθῆναι.*) *Ἰστέον ὅτι τό, χειρῶν γεύσασθαι, ἀστείως εἴρηται ὡς ἐπὶ ἀγαθῆς τινος βρώσεως, τοῦτο δὲ διὰ τὴν παρεπομένην ἡδονὴν τοῖς ὁπωσοῦν ἐρίζουσιν* Eust.

V. 182. *εἰσὶ δὲ καὶ ἄλλοθι*] (sic ed. ant. et Eust.) *Οὐ διαπαντός, ἀλλ᾽ ὁρᾷ τὴν ἑορτὴν τοῦ Ἀπόλλωνος.* Vulg. *Δαῖτας καὶ ἀλλαχοῦ εἶναί φησιν, οὐχ ἁπλῶς διαπαντός, ἀλλὰ νῦν ἐν τῇ ἑορτῇ τοῦ Ἀπόλλωνος.* Eust. *εἰσὶν δὲ καὶ ἄλλαι*] *Γρ. καὶ ἄλλοθι.* Harl.

V. 184. *ἀκέων*] *Ἰστέον ὅτι νῦν μὲν τὸ ἀκέων οὐκ ἔχει ἀσάφειαν, ἐν δὲ τῇ φ ῥαψῳδίᾳ* (v. 89.) *τό, ἀκέων δαίνυσθε καθήμενοι, ξενίζον ἐστίν, ὡς ληφθὲν ἀντὶ τοῦ ἡσύχως, καθά φασιν οἱ παλαιοί. γίνεται δέ φασιν ἐκ τοῦ ἀκεόντως, ἀποκοπὴν παθόν, εἶτα ἔκτασιν τοῦ ο εἰς ω.* Eust.

V. 186. *βοῦν στεῖραν*] *Τῶν γὰρ ἀτόκων τὸ κρέας κάλλιστον.* Ambr. B. *Βοῦς ἄγεται στεῖρα, βιωτικῶς, ἐπεὶ τὰς τοκάδας περιέπεσθαι χρή.* Eust.

V. 187. *πορθμῆες*] *οἱ παραφέροντες.* Vulg. *Οὗτοι γὰρ ἐν τῇ ἠπείρῳ ἐνέμοντο, καὶ χρεία ἦν πορθμέως. φησὶ γάρ, δώδεκ᾽ ἐν ἠπείρῳ ἀγέλας, τόσα πώεα οἰῶν* (ξ, 100.). *ἡ δὲ ἤπειρος ἀντικρὺ τῆς Ἰθάκης. Κεφαληνία δὲ καὶ αὐτὴ ὠνομάζετο ὑπ᾽ Ὀδυσσέα οὖσα.* Ambr. *Πορθμεῖς, ὡς διὰ πορθμοῦ ὅ ἐστι στενοῦ πόρου θαλάσσης τοὺς περαιουμένους ἄγοντες. ἄλλως γὰρ*

ἀνθρώπους πέμπουσιν, ὅτις σφέας εἰςαφίκηται —
καὶ τὰ μὲν εὖ κατέδησεν ὑπ' αἰθούσῃ ἐριδούπῳ·
αὐτὸς δ' αὖτ' ἐρέεινε συβώτην, ἄγχι παραστάς·
Τίς δὴ ὅδε ξεῖνος νέον εἰλήλουθε, συβῶτα,
ἡμέτερον πρὸς δῶμα; τέων δ' ἐξ εὔχεται εἶναι
ἀνδρῶν; ποῦ δέ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα;
δύςμορος! ἦ τε ἔοικε δέμας βασιλῆϊ ἄνακτι.
ἀλλὰ θεοὶ δυόωσι πολυπλάγκτους ἀνθρώπους,
ὁππότε καὶ βασιλεῦσιν ἐπικλώσονται ὀϊζύν.
Ἦ, καὶ δεξιτερῇ δειδίσκετο χειρὶ παραστάς·
καί μιν φωνήσας ἔπεα πτερόεντα προςηύδα·
Χαῖρε, πάτερ ὦ ξεῖνε! γένοιτό τοι ἔς περ ὀπίσσω
ὄλβος· ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι πολέεσσιν.
Ζεῦ πάτερ, οὔτις σεῖο θεῶν ὀλοώτερος ἄλλος!
οὐκ ἐλεαίρεις ἄνδρας, ἐπὴν δὴ γείνεαι αὐτός,
μισγέμεναι κακότητι καὶ ἄλγεσι λευγαλέοισιν.
ἴδιον, ὡς ἐνόησα, δεδάκρυνται δέ μοι ὄσσε,

διὰ μακρᾶς θαλάσσης στέλλοντές τινας οὐκ ἂν πορθμῆες λέγοιντο εἴγουν πορθμευταί. ὧν καὶ ὁ μισθὸς ἤτοι ὁ ναῦλος ἢ οὐδετέρως τὸ ναῦλον πορθμεῖον λέγεται. Eust.

V. 195. δυόωσιν] εἰς κάκωσιν μεταβάλλωσιν. Vulg. εἰς δύην καὶ κακοπάθειαν βάλλουσι. Ambr. Q. Δυόωσιν, ἤγουν εἰς δύην καὶ κακοπάθειαν ἄγουσι. — Τὸ δυόωσι καὶ ὅλως τὸ δυᾶν ἤτοι κακοποιεῖν διὰ δύης οὐδ' αὐτὸ εὔχρηστον δίχα ποιήσεως. Eust. Δηόωσι (supra scr. υ). Γρ. καὶ δυόωσιν, ἤτοι ἐν δύῃ καὶ κακώσει μεταβάλλουσιν, ἢ εἰς δύαν ἐμβάλλουσιν. Vind. 133.

V. 202. γείνεαι] Τὸ γείνεαι ὡς πρὸς τό, Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε. πατρὸς γὰρ τὸ γείνεσθαι ἤτοι γεννᾶν. Eust.

V. 204. ἴδιον] ἵδρωσα, ἠγωνίασα. Vulg. Eust. qui mox: Ἐκ δὲ τοῦ ἴδιον, ὃ δηλοῖ τὸ ἵδρουν, καὶ ἴδος (scr. ἶδος) λέγεται ὁ ἱδρώς, ἀφ' οὗ ὁ ἱδάλιμος. cf. Eust. ad δ, 450.

μνησαμένῳ Ὀδυσῆος· ἐπεὶ καὶ κεῖνον ὀΐω
τοιάδε λαίφε᾽ ἔχοντα κατ᾽ ἀνθρώπους ἀλάλησθαι,
εἴ που ἔτι ζώει, καὶ ὁρᾷ φάος ἠελίοιο.
εἰ δ᾽ ἤδη τέθνηκε, καὶ εἰν Ἀΐδαο δόμοισιν,
ὤ μοι ἔπειτ᾽ Ὀδυσῆος ἀμύμονος, ὅς μ᾽ ἐπὶ βουσὶν
εἶσ᾽, ἔτι τυτθὸν ἐόντα, Κεφαλλήνων ἐνὶ δήμῳ.
νῦν δ᾽ αἱ μὲν γίγνονται ἀθέσφατοι, οὐδέ κεν ἄλλως
ἀνδρί γ᾽ ὑποσταχύοιτο βοῶν γένος εὐρυμετώπων·
τὰς δ᾽ ἄλλοι με κέλονται ἀγινέμεναί σφισιν αὐτοῖς
ἔδμεναι· οὐδέ τι παιδὸς ἐνὶ μεγάροις ἀλέγουσιν,
οὐδ᾽ ὄπιδα τρομέουσι θεῶν· μεμάασι γὰρ ἤδη
κτήματα δάσσασθαι δὴν οἰχομένοιο ἄνακτος.
αὐτὰρ ἐμοὶ τόδε θυμὸς ἐνὶ στήθεσσι φίλοισιν

V. 206. *λαίφεα*] ῥάκη, ἢ λεπτὰ ἱμάτια. Vulg. *Κυρίως τῶν πλοίων αἱ ὀθόναι, νῦν δὲ τὰ παχέα ἱμάτια.* Ambr. Q. *Λαίφεα κἀνταῦθα πτωχικὰ παχέα ἱμάτια, ὡς καὶ τὰ σπεῖρα ἐν τῷ, σπεῖρα κάκ᾽ ἀμφ᾽ ὤμοισι (δ, 245.). κυρίως δὲ λαίφεα αἱ τῶν πλοίων φασὶν ὀθόναι ὅθεν οἱ κοινότεροι, συνθέντες ἐκ τοῦ σάγος καὶ ἐκ τοῦ λαῖφος, σαγολαίφεα λέγουσιν.* Eust.

V. 209. *ἐπὶ βουσίν*] *Γρ. ἐνί.* Harl.

V. 210. *εἶσεν*] *ἔταξεν.* Barn. ex Eust.

Κεφαλλήνων] *Ὅτι Κεφαλλὴν τὸ ἐθνικὸν ἐν δυσὶ γράφεται λ̄. ὡς δὲ ὑπὸ βασιλεῖ τῷ Ὀδυσσεῖ ἦσαν οἱ Κεφαλλῆνες καὶ ὡς ἀπό τινος Κεφάλου παρονομάζονται, προγέγραπται.* Eust.

V. 212. *ὑποσταχύοιτο*] (ita ed. ant., sed rec. et Ambr. *ὑποσταχύῳτο*) *αὔξοιντο.* Vulg.. *Τὸ ὑοσταχύωτο* (ita bis) *ἀντὶ τοῦ αὔξοιτο δίκην σταχύων, ὧν ἕκαστος ἐξ ἑνὸς κόκκου πολύχους γίνεται τὸν καρπόν. ἐκ τοῦ σταχύος γὰρ τὸ ὑποσταχύεσθαι. οὐδὲν δὲ ἐκώλυεν, εἴπερ ἤθελεν εἰπεῖν καί, ὑποσταχύοιτο.* Eust.

V. 213. *ἀγινέμεναι*] *ἄγειν, κομίζειν.* Vulg.

πόλλ' ἐπιδινεῖται· μάλα μὲν κακὸν, υἷος ἐόντος.
ἄλλων δῆμον ἱκέσθαι, ἰόντ' αὐτῇσι βόεσσιν,
ἄνδρας ἐς ἀλλοδαπούς· τὸ δὲ ῥίγιον, αὖθι μένοντα
βουσὶν ἐπ' ἀλλοτρίῃσι καθήμενον ἄλγεα πάσχειν.
καί κεν δὴ πάλαι ἄλλον ὑπερμενέων βασιλήων
ἐξικόμην φεύγων, ἐπεὶ οὐκέτ' ἀνεκτὰ πέλονται·
ἀλλ' ἔτι τὸν δύστηνον ὀΐομαι, εἴ ποθεν ἐλθὼν
ἀνδρῶν μνηστήρων σκέδασιν κατὰ δώματα θείη.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
βουκόλ', ἐπεὶ οὔτε κακῷ οὔτ' ἄφρονι φωτὶ ἔοικας,
γιγνώσκω δὲ καὶ αὐτὸς, ὅ τοι πινυτὴ φρένας ἵκει·
τοὔνεκά τοι ἐρέω, καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι·
ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
ἱστίη τ' Ὀδυσῆος ἀμύμονος, ἣν ἀφικάνω,

V. 218. *πόλλ' ἐπιδινεῖται*] ἐν τοῖς στήθεσιν ἀνακυκλεῖ ὁ λογισμός, πολλὰς στροφὰς λαμβάνει. Id. εἰς πολλὰ στρέφεται. Eust.

V. 219. *ἄλλων δῆμον*] Ἔχει τὸ, ἄλλων δῆμον, διφόρησιν γραφῆς κατὰ τὸ ἄλλων. καὶ γὰρ καὶ αἰτιατικῇ γράφεται, καὶ κατὰ γενικὴν πληθυντικήν. Eust.

αὐτῇσι βόεσσιν] σὺν αὐταῖς ταῖς βουσί. Ms. Barn.

V. 223. *ἐξικόμην*] τουτέστιν, ἱκέτευσα. Eust.

V. 228. *πινυτή*] σύνεσις. Vulg. φρόνησις. Eust. qui addit: *Καὶ ὅρα ὡς πρὸ ὀλίγιον μὲν πινυτὴ Πηνελόπη ἐλέγετο, τουτέστι μετέχουσα φρονήσεως* (v. λ, 444.). *νῦν δὲ πινυτή, αὐτὴ ἡ φρόνησις.*

V. 230. *ξενίη τε τράπεζα*] *Γρ. ὕπατος καὶ ἄριστος.* Harl. (ut τ, 303.)

V. 231. *ἱστίη τ' Ὀδ.*] cf. ξ, 159. τ, 304.

ἢ σέθεν ἐνθάδ' ἐόντος ἐλεύσεται οἴκαδ' Ὀδυσσεύς·
σοῖσιν δ' ὀφθαλμοῖσιν ἐπόψεαι, αἴ κ' ἐθέλησθα;
κτεινομένους μνηστῆρας, οἳ ἐνθάδε κοιρανέουσιν.
Τὸν δ' αὖτε προσέειπε βοῶν ἐπιβουκόλος ἀνήρ·
αἲ γὰρ τοῦτο, ξεῖνε, ἔπος τελέσειε Κρονίων·
γνοίης χ', οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται.
Ὣς δ' αὔτως Εὔμαιος ἐπεύξατο πᾶσι θεοῖσιν,
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον. —
μνηστῆρες δ' ἄρα Τηλεμάχῳ θάνατόν τε μόρον τε
ἤρτυον· αὐτὰρ ὁ τοῖσιν ἀριστερὸς ἤλυθεν ὄρνις,
αἰετὸς ὑψιπέτης, ἔχε δὲ τρήρωνα πέλειαν.
τοῖσιν δ' Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπεν·
Ὦ φίλοι, οὐχ ἡμῖν συνθεύσεται ἥδε γε βουλή,
Τηλεμάχοιο φόνος· ἀλλὰ μνησώμεθα δαιτός.
Ὣς ἔφατ' Ἀμφίνομος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
ἐλθόντες δ' ἐς δώματ' Ὀδυσσῆος θείοιο,

V. 235. βοῶν ἐπιβουκόλος] v. ad γ, 422.

V. 242. ὄρνις] τουτέστιν, οἰωνὸς τοῦ μέλλοντος. Eust.

V. 245. συνθεύσεται] συντελεσθήσεται. Ambr. B. Τὸ συνθεύσεται ἀστείως καὶ αὐτὸ εἴρηται. οὐ γὰρ συνδραμεῖταί φησιν ἡμῖν τὸ βουλευθέν, ἀλλὰ δηλονότι σκεδασθήσεται ἀφ' ἡμῶν, καὶ οὐκ ἂν ἴδοιμεν αὐτό. Eust. Συνθεύσεται. συνδραμεῖται. Apollon. συνδραμεῖται, συνοίσει. Hesych.

χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε·
οἱ δ' ἵερευον ὄϊς μεγάλους καὶ πίονας αἶγας,
ἵρευον δὲ σύας σιάλους καὶ βοῦν ἀγελαίην·
σπλάγχνα δ' ἄρ' ὀπτήσαντες ἐνώμων· ἐν δέ τε οἶνον
κρητῆρσιν κερόωντο· κύπελλα δὲ νεῖμε συβώτης.
σῖτον δέ σφ' ἐπένειμε Φιλοίτιος, ὄρχαμος ἀνδρῶν,
καλοῖς ἐν κανέοισιν· ἐῳνοχόει δὲ Μελανθεύς.
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.

V. 250. *οἱ δ' ἱέρευον*] *Σημειοῦνται οἱ παλαιοί, ὡς ἐνθάδε καὶ μόνον οἱ μνηστῆρες ἱερεύουσιν ὄϊς καὶ τὰ ἑξῆς. ἀλλαχοῦ δὲ τῆς Ὁμηρικῆς ταύτης ποιήσεως οὐχ εὕρηνται οὕτω ποιοῦντες, οὐ μὴν οὐδὲ εὐχόμενοι. Ὀδυσσεὺς δὲ οὐ τοιοῦτος, οὗ καὶ ὁ δοῦλος Εὔμαιος εὐσεβεῖν φαίνεται θύων* (ξ, 74.). Eust. *οὐδ' ἱέρευον ὄϊς*] (sic ed. ant., rec. reposuerunt: *οἱ δ' ἱερ.*) *Παρατηρητέον, ὅτι μόνους τοὺς μνηστῆρας θεοῖς θύοντας οὐκ οἶδεν* (*εἰ μὴ ἐνταῦθα μόνον* add. Barn. ex Eust.), Vulg. At vide β, 56. ϱ, 180. et ibi uot.

V. 251. *βοῦν ἀγελαίην*] *τουτέστι νομαδικήν, ἄφετον, ἀδάμαστον.* Eust. *ἀγελαστικήν, ἔτι ἐν ἀγέλαις οὖσαν, καὶ μήπω ὑπὸ ζυγὸν οὖσαν.* Ambr. B.

V. 252. *ἐνώμων*] *ὅ ἐστι παρεῖχον. δηλοῖ δέ ποτε ἡ λέξις καὶ κίνησιν.* Eust. *ἐν δέ τε οἶνον*] Ita Eust. Harl. Al. *ἐν δ' ἄρα οἶνον*, quae lectio etiam est Vind. 133.

V. 253. *κερόωντο*] *τουτέστιν ἐμίγνυον.* Eust. *κεράσαντο.* Vind. 133.

κύπελλα δὲ νεῖμε] Eust. *κύπελλα δ' ἔνειμε*, qui addit: *καὶ ἔστι ταυτὸν τὸ νέμειν καὶ τὸ νωμᾶν.*

V. 255. *ἐῳνοχόει*] *Οἶνον τοῖς κυπέλλοις ἐπέβαλεν, οὐκ ἐκίρνα. εἶπε γὰρ ἄνω, κρητῆρσι κεράσσατο.* Ambr. B. (Scr. *κεράσαντο.* v. ad v. 253.)

Τηλέμαχος δ' Ὀδυσῆα καθίδρυε, κέρδεα νωμῶν,
ἐντὸς ἐϋσταθέος μεγάρου, παρὰ λάϊνον οὐδόν,
δίφρον ἀεικέλιον καταθεὶς, ὀλίγην τε τράπεζαν·
πὰρ δ' ἐτίθει σπλάγχνων μοίρας, ἐν δ' οἶνον ἔχευεν
ἐν δέπαϊ χρυσέῳ, καί μιν πρὸς μῦθον ἔειπεν·
Ἐνταυθοῖ νῦν ἧσο μετ' ἀνδράσιν οἰνοποτάζων·
κερτομίας δέ τοι αὐτὸς ἐγὼ καὶ χεῖρας ἀφέξω
πάντων μνηστήρων, ἐπεὶ οὔτοι δήμιός ἐστιν
οἶκος ὅδ', ἀλλ' Ὀδυσῆος, ἐμοὶ δ' ἐκτήσατο κεῖνος.
ὑμεῖς δέ, μνηστῆρες, ἐπίσχετε θυμὸν ἐνιπῆς

V. 257. κέρδεα νωμῶν] ἤτοι κινῶν, στρέφων εἰς νοῦν. Eust.

V. 259. ἀεικέλιον] εὐτελῆ. Vulg. Δίφρον ἀεικέλιον ἔφη πρὸς διαστολὴν ἑτέρου περικαλλέος, ὁποῖος κεῖται τῇ Πηνελόπῃ. Eust.

V. 263. χεῖρας ἀφέξω] Τό, χεῖρας ἀφέξω, ἀντὶ τοῦ, κωλύσω. ἀπεναντίας δὲ πάντως τὸ ἀπέχειν ἐστὶ πρὸς τὸ προσέχειν, εἴπερ ἀπέχειν μὲν τὸ πόῤῥω ἔχειν, προσέχειν δὲ τὸ ἐγγὺς ἔχειν. Eust.

V. 264. δήμιος] δημόσιος. Vulg. Οὐ δήμιος οἶκος, ὁ μὴ δημόσιος, ἀλλ' ἰδιωτικὸς δηλαδὴ Ἀττικῶς εἰπεῖν ἤγουν ἴδιος, ἐμοὶ κτηθεὶς τῷ τοῦ Ὀδυσσέως υἱῷ τοῦ ποτε βασιλέως. διὸ καὶ ἐμφαίνει, ὡς βούλεται βασιλέως τὸν τοιοῦτον οἶκον εἰπεῖν, οἷα χωρίζων τοῦ δημοσίου οἴκου τὸ βασιλικόν. εἴη δ' ἂν ἄλλως δήμιός τις οἶκος, ἐν ᾧ κοινῶς ἐξενοδοχοῦντο οἱ ἐν ταῖς πόλεσι παραβάλλοντες. ἦν δέ τι τοιοῦτον καὶ ἡ λέσχη, τοῖς πτωχοῖς τῶν προκαταλαβόντων οὖσα. Eust.

V. 266. ἐπίσχετε] κατάσχετε. Vulg. ἐπέχετε. Eust.

ἐνιπῆς] ἐπιπλήξεως. ἐνιπή, ἡ διὰ λόγων ἐπίπληξις, καὶ

καὶ χειρῶν· ἵνα μή τις ἔρις καὶ νεῖκος ὄρηται.
Ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευεν.
τοῖσιν δ᾽ Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
Καὶ χαλεπόν περ ἐόντα δεχώμεθα μῦθον, Ἀχαιοί,
Τηλεμάχου· μάλα δ᾽ ἧμιν ἀπειλήσας ἀγορεύει.
οὐ γὰρ Ζεὺς εἴασε Κρονίων· τῷ κέ μιν ἤδη
παύσαμεν ἐν μεγάροισι, λιγύν περ ἐόντ᾽ ἀγορητήν.
Ὣς ἔφατ᾽ Ἀντίνοος· ὁ δ᾽ ἄρ᾽ οὐκ ἐμπάζετο μύθων.
κήρυκες δ᾽ ἀνὰ ἄστυ θεῶν ἱερὴν ἑκατόμβην
ἦγον· τοὶ δ᾽ ἀγέροντο καρηκομόωντες Ἀχαιοὶ
ἄλσος ὕπο σκιερὸν ἑκατηβόλου Ἀπόλλωνος.
Οἱ δ᾽ ἐπεὶ ὤπτησαν κρέ᾽ ὑπέρτερα καὶ ἐρύσαντο,

ἀπειλή. ἀπὸ τοῦ ἐνέπω. Vulg. In Harl. voci ἐνιπῆς supra scr. ἀπειλῆς.

V. 272. μάλα δ᾽ ἧμιν] Ἐν τῷ, μάλά δ᾽ ἧμιν ἀπειλήσας, προπερισπᾶται τὸ ἧμιν, ὡς καὶ ἀλλαχοῦ, κατὰ συστολὴν τῆς ληγούσης, ἀναπεμφθέντος τοῦ τόνου λόγῳ ἐγκλίσεως. Eust.

V. 275. ὁ δ᾽ ἄρ᾽] τουτέστιν, ὁ Τηλέμαχος. Id.

V. 276. κήρυκες δ᾽ ἀνὰ ἄστυ] Κήρυκες, οἱ κατὰ τὴν Ἰθάκην δημόσιοι ἐνταῦθα νοοῦνται, οἳ καὶ ταῖς θυσίαις ὑπούργουν, θεῖον γένος ὄντες. καὶ οὐ μόνον ἀνδρῶν ἄγγελοι, ἀλλὰ καὶ θεῶν, ὡς ἡ Ἰλιὰς δηλοῖ. Οὕτω μὲν οἱ τοῦ δήμου ἐτέλουν τὴν ἑκατόμβην. οἱ δὲ μνηστῆρες ἐν τοῖς τοῦ Ὀδυσσέως δαίνυντο ἐρικυδέα δαῖτα. Eust. Οὐχ οἱ τῶν μνηστήρων, ἀλλ᾽ οἱ τῶν Ἰθακησίων, οἱ δημόσιοι. βούλεται δὲ δεῖξαι, ὅτι Ἀπόλλωνος ἡ ἑορτή. Τό, οἱ δ᾽ ἐπεὶ ὤπτησαν, μετέβη πάλιν ἐπὶ τῶν μνηστήρων. Ambr. B.

μοίρας δασσάμενοι δαίνυντ' ἐρικυδέα δαῖτα·
πὰρ δ' ἄρ' Ὀδυσσῆϊ μοῖραν θέσαν, οἳ πονέοντο,
ἴσην, ὡς αὐτοί περ ἐλάγχανον· ὥς γὰρ ἀνώγει
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο.
Μνηστῆρας δ' οὐ πάμπαν ἀγήνορας εἴα Ἀθήνη
λώβης ἴσχεσθαι θυμαλγέος· ὄφρ' ἔτι μᾶλλον
δύη ἄχος κραδίην Λαερτιάδην Ὀδυσῆα.
ἦν δέ τις ἐν μνηστῆρσιν ἀνὴρ, ἀθεμίστια εἰδώς,
Κτήσιππος δ' ὄνομ' ἔσκε, Σάμη δ' ἐνὶ οἰκία ναῖεν·
ὃς δή τοι κτεάτεσσι πεποιθὼς θεσπεσίοισιν
μνάσκετ' Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα.
ὅς ῥα τότε μνηστῆρσιν ὑπερφιάλοισι μετηύδα·
Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, ὄφρα τι εἴπω·
μοῖραν μὲν δὴ ξεῖνος ἔχει πάλαι, ὡς ἐπέοικεν,

V. 281. *μοῖραν — ἴσην*] Τό, ἴσην μοῖραν, ἔοικε τῇ ἐΐσῃ δαιτί. Eust.

V. 285. *ὄφρ' ἔτι μᾶλλον — Ὀδυσῆα*] ἤγουν, ἵνα ὑπεισέλθῃ λύπη τὸν Ὀδυσσέα κατὰ καρδίαν. ἢ ἀντιπτωτικῶς, τὴν καρδίαν τοῦ Ὀδυσσέως, ὁποῖα μυρία καὶ ἄλλα τοιαῦτα σχήματα παρὰ τῷ ποιητῇ. Eust.

V. 289. *ὃς δὴ κτεατ. πεποιθώς*] Ἠθικῶς δείκνυσιν ὁ ποιητής, ὅτι οὐδὲν συλλαμβάνει πλοῦτος πρὸς σωφροσύνην. Vulg.

θεσπεσίοισιν] Θεσπέσια κτήματα Κτησίππου τοῦ διὰ πλοῦτον ὑβριστοῦ τὰ πολλὰ λέγει, ἃ δηλαδὴ θεὸς ἂν εἴποι. οὐ γὰρ δή που κτέατα θεῖά εἰσι τὰ τοῦ εἰδότος ἀθεμίστια κατὰ τὸν ποιητήν. Eust. Al. πατρὸς ἑοῖο.

V. 292. *μνηστ. ἀγήνορος*] Μνηστῆρες ἀγήνορες ἐνταῦθα ἐπὶ ἐπαίνου. οὐ γὰρ ἂν ὁ μνηστὴρ Κτήσιππος τοὺς ὁμοίους ὕβριζε. Eust.

V. 293. *πάλαι*] Τὸ πάλαι φανερῶς καὶ νῦν ἐκ περισσοῦ κεῖται καὶ οὐ κατὰ κυρίαν σημασίαν. — οὐ γὰρ κυρίως πάλαι μοῖραν ἔχει ὁ νῦν αὐτίκα λαβὼν αὐτήν. Ἀττικῶς (scr. Ἀττικῶν)

ἴσην· οὐ γὰρ καλὸν ἀτέμβειν, οὐδὲ δίκαιον,
ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ᾽ ἵκηται.
ἀλλ᾽ ἄγε οἱ καὶ ἐγὼ δῶ ξείνιον· ὄφρα καὶ αὐτὸς
ἠὲ λοετροχόῳ δώῃ γέρας, ἠέ τῳ ἄλλῳ
δμώων, οἳ κατὰ δώματ᾽ Ὀδυσσῆος θείοιο.
Ὣς εἰπὼν, ἔῤῥιψε βοὸς πόδα χειρὶ παχείῃ,
κείμενον, ἐκ κανέοιο λαβών· ὁ δ᾽ ἀλεύατ᾽ Ὀδυσσεὺς,
ἦκα παρακλίνας κεφαλήν· μείδησε δὲ θυμῷ
Σαρδάνιον μάλα τοῖον· ὁ δ᾽ εὔδμητον βάλε τοῖχον.

δὲ τὸ σχῆμα, παρ᾽ οἷς καὶ τὸ ποτὲ καὶ τὸ πάλαι ἁπλῶς οὕτω κεῖνται δίχα τοῦ σημαίνειν πολυκαιρίαν τινά. Id.

V. 294. ἀτέμβειν] στερίσκειν. Vulg. Περὶ τοῦ ἀτέμβειν, ποιητικοῦ ῥήματος ὄντος, καὶ στέρησιν καὶ βλάβην σημαίνοντος, δεδήλωται ἀλλαχοῦ (v. ad ι, 42.). ὥςπερ καὶ ὅτι ἔθος Ὁμήρῳ, ἐκ πληθυντικοῦ ἀορίστου καταβαίνειν εἰς ἑνικὸν ὡρισμένον, ὡς καὶ ἐνταῦθα εἰπὼν ξείνους Τηλεμάχου, ἐπιφέρει, ὃς ἂν ἐνθάδ᾽ ἵκηται. Eust.

V. 296. δῶ] παράσχω. Vulg.

V. 297. λοετροχόῳ] Νῦν, τῷ τὰ λουτρὰ παρέχοντι (Ms. Barn. ἐπιχέοντι τῷ λούοντι), ἢ παρασκευάζοντι. Vulg. Ἴσως τινὶ πρὸς τὰ λουτρὰ ἀποδεδειγμένῃ γυναικί. τοὺς γὰρ βασιλικωτέρους εὐγενεῖς ἔλουον παρθένοι. Ambr. B.

γέρας] Ἢ τὸ ἁπλῶς δῶρον λέγει γέρας, ἢ τὸ ἐπέκεινα τῆς μοίρας. Eust.

V. 299. ἔῤῥιψε βοὸς πόδα] Τό, ἔῤῥιψε βοὸς πόδα, ταυτὸν τῷ, ἀφῆκε δίκην βέλους, ὁποῖόν τι καὶ πρὸ ὀλίγων τό, διαῤῥίπτασκεν ὀϊστόν (τ, 575.). ὅτι δὲ βέλος καὶ ὁ ῥηθεὶς πούς, δηλοῖ ὁ ποιητὴς ἐν τῷ, ἀλεύατο γὰρ βέλος αὐτός (v. 305.). Eust.

V. 301. 302. μείδησε δὲ θυμῷ Σαρδάνιον] Τὸ Σαρδάνιον, ὅ τινες Σαρδόνιον γράφουσιν, ἐξ οὗ καὶ διεσαρδόνησεν ἐν ῥητορικῷ λεξικῷ τό, διεγέλασεν οὐκ ἐπὶ διαχύσει, δηλοῖ μὲν τὸ ἄκροις χείλεσι σεσηρέναι τὸν ἔσω δακνόμενον θυμῷ ἢ λύπῃ, ἵνα ᾖ Σαρδάνιον Ὁμηρικῶς, καὶ Σαρδόνιον δὲ κατὰ τοὺς ἄλλους, τὸ σεσηρὸς καὶ σαρκαστικόν. καὶ οἱ μέν φασι τὴν λέξιν εἰλῆφθαι

Κτήσιππον δ' ἄρα Τηλέμαχος ἠνίπαπε μύθῳ·
  Κτήσιππ', ἦ μάλα τοι τόδε κέρδιον ἔπλετο θυμῷ·
οὐκ ἔβαλες τὸν ξεῖνον· ἀλεύατο γὰρ βέλος αὐτός.
ἦ γάρ κέν σε μέσον βάλον ἔγχεϊ ὀξυόεντι,
καί κέ τοι ἀντὶ γάμοιο πατὴρ τάφον ἀμφεπονεῖτο

ἀπὸ τοῦ δοθέντος ὑπὸ Διὸς τῇ Εὐρώπῃ φύλακος ἡφαιστοτεύκτου, ὃς τοὺς παραβάλλοντας ξένους τῇ Κρήτῃ συλλαμβάνων ἰδίως φασὶν ἐτιμωρεῖτο, πηδῶν εἰς πῦρ καὶ θερμαίνων τὸ στῆθος, ὁποῖόν τι περὶ τοῦ Κρητικοῦ Τάλω τοῦ χαλκεοστήθου φασί τινες καὶ χαλκόποδος, καὶ περιπτυσσόμενος καὶ καιομένων ἐκείνων αὐτὸς σεσηρώς. ἀλλ' οὗτος μὲν ὁ λόγος οὐ πάνυ διευκρινεῖ τὴν λέξιν, ἀλλ' ἢ μόνον δίδωσιν ὑπονοεῖν, ὅτι παρὰ τὸ δονεῖν ἢ δαίειν ἤτοι καίειν καὶ παρὰ τὸ σαίρω ἔσαρον, ὅθεν καὶ τὸ σεσηρέναι, γίνεται τὸ Σαρδόνιον, οἱονεὶ τὸ σεσηρὸς καὶ δονοῦν ἢ δαῖον ἤγουν καῖον. ἕτεροι δέ φασιν, ἐν Σαρδοῖ νήσῳ ἐπέκεινα Σικελίας, τῇ καὶ Σαρδόνι, σέλινον φύεσθαι, οὗ τοὺς ἐμφαγόντας ξένους μετὰ σπασμοῦ ὄλλυσθαι σεσηρότας, ὡς εἶναι Σαρδόνιον ἢ Σαρδάνιον γέλωτα τὸν μετὰ ὀδύνης, ὁποῖόν τινα γελᾶν λέγεται καὶ οἱ τετρωμένοι (scr. ὁ τετρωμένος) τὰς φρένας, καὶ οἷον δὲ πεῖρα ἔφηνε πολλοῖς, διδάξασα ὑπὸ ὄφεως συσχεθῆναί τινα καὶ δηχθῆναι περί που τὰ ὑπὸ μάλην, καὶ οὕτω σὺν γέλωτι ἀποῤῥῆξαι τὸν βίον. Τίμαιος δέ φασιν ἱστορεῖ, τοὺς ἐν Σαρδόνι γεγηρακότας τῶν γονέων ἄγεσθαι πρὸς βόθρον καὶ καταβάλλεσθαι, καὶ οὕτω τοῦ ζῆν ἀπολύεσθαι, καὶ ὡς μακαρίως θνήσκοντας γελᾶν, κἀντεῦθεν τὸν ἐπὶ λύπαις γέλωτα Σαρδόνιον λέγεσθαι. ἕτεροι δὲ τοὺς υἱοὺς γελᾶν φασιν ἐπὶ τῇ τῶν πατέρων ἐκεῖ καταῤῥίψει, ἀφοσιουμένους τὸν φόνον, καὶ ἐμφαίνοντας, μηδὲν ἁμαρτεῖν, εἰ τοὺς κακῶς πεισομένους πατέρας ὑπὸ γήρως προαπάγουσιν. ἐθέλουσι δὲ οἱ παλαιοί, ἄμεινον εἶναι, Σαρδόνιον γέλωτα λέγεσθαι τὸν ἐπὶ καταμωκήσει προσποίητον, παρὰ τὸ σεσηρέναι ἤγουν ὑπανοίγειν τὰ χείλη, ὡς δηλαδὴ προείρηται. γράφει δέ τις τῶν παλαιῶν καὶ οὕτω· Σαρδόνιος γέλως, κεχηνότος καὶ σεσηρότος τοῦ στόματος, καὶ οὐκ ἐκ διαθέσεως γινόμενος. Eust. Σαρδάνιον. Σαρδόνιος λέγεται γέλως ὁ καθ' ὑπόκρισιν γενόμενος. ἀπὸ τοῦ σεσειρέναι (scr. σεσηρέναι) τοῖς ὀδοῦσι. Apollon.

V. 304. τόδε κέρδιον ἔπλετο] τὸ μὴ βαλεῖν, ἐπεὶ αὐτὸς ἀνήρησο· ἢ τὸ βαλεῖν τὸν ξένον αἱρεῖται τὸ κέρδιον. Vulg.

ἐνθάδε. τῷ μή τίς μοι ἀεικείας ἐνὶ οἴκῳ
φαινέτω· ἤδη γὰρ νοέω καὶ οἶδα ἕκαστα,
ἐσθλά τε καὶ τὰ χέρεια· πάρος δ' ἔτι νήπιος ἦα.
ἀλλ' ἔμπης τάδε μὲν καὶ τετλάμεν εἰσορόωντες,
μήλων σφαζομένων, οἴνοιό τε πινομένοιο,
καὶ σίτου· χαλεπὸν γὰρ ἐρυκακέειν ἕνα πολλούς.
ἀλλ' ἄγε, μηκέτι μοι κακὰ ῥέζετε δυσμενέοντες·
εἰ δ' ἤδη μ' αὐτὸν κτεῖναι μενεαίνετε χαλκῷ,
καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη
τεθνάμεν, ἢ τάδε γ' αἰὲν ἀεικέα ἔργ' ὁράασθαι,
ξείνους τε στυφελιζομένους, δμωάς τε γυναῖκας
ῥυστάζοντας ἀεικελίως κατὰ δώματα καλά.

Τό, οὐκ ἔβαλες, ἐλλιπῶς εἴρηται διὰ θυμόν. ἦν δὲ τὸ ἐντελὲς οὕτως· ἦ μάλα σοι κέρδιον ὅτι οὐκ ἔβαλες τὸν ξεῖνον. Eust.

V. 308. *ἀεικείας*] αἰκίας, ἀπρεποῦς (Barn. corr. ἀπρεπείας). Vulg. Τό, μή τις ἀεικείας φαινέτω, οὗ ἑρμηνεία κατωτέρω (v. 317.) τό, ἀεικέα ἔργα, ἀκριβῶς ἔχει πρὸς σύνεσιν. εἰ γὰρ καὶ ἐνθυμεῖταί τις ἀεικῆ, ἀλλὰ μὴ ἐκφαινέτω. ἐκεῖνο μὲν γὰρ οὐχ οὕτω μεμπτέον, ὡς ἄδηλον, τοῦτο δὲ ἤδη βίαιον, ὡς φανερόν. διφορεῖται δὲ τοῦ ἀεικείας ἡ παραλήγουσα, ὡς καὶ ἐν Ἰλιάδι. πλείων δὲ χρῆσις ἡ διὰ διφθόγγου, ὡς ἀπὸ τοῦ ἀεικής ἀείκεια. ἔχει δὲ λόγον καὶ ἡ διὰ ἰῶτα γραφή, διὰ τὸ ἐκ τῆς ἀεικίας τὴν αἰκίαν γίνεσθαι. Eust.

V. 311. *τετλάμεν*] Παροξυτόνως, εἴτε ἀπὸ τοῦ τλῆμι, εἴτε ἀπὸ τοῦ τετλάκαμεν συγκέκοπται. Ambr. B.

V. 312. *μήλων σφαζομένων*] Τὸ, μήλων σφαζομένων, καὶ ἑξῆς, ἀλλαγὴν ἔχει σχήματος ἀσολοικίστως πλαγιασθέν. τὸ γὰρ ὀρθότερον οὕτω καὶ κοινότερον, τάδε μὲν καὶ τέτλαμεν, μῆλα σφαζόμενα, οἶνον πινόμενον καὶ σῖτον. Eust.

V. 314. *ἀλλ' ἄγε*] Τὸ, ἀλλ' ἄγε, ταυτὸν ὡς εἰ καί, ἀλλ' ἄγετε, ἐγράφη. Id. v. β, 212. 252. δ, 776. θ, 250. 389.

V. 316. *εἴη*] Vind. 133. ἦεν. Supra scr. Γρ. εἴη, ὃ καὶ κρεῖττον.

V. 317. sequ. *τεθνάμεν*] v. ad π, 107 sequ.

V. 319. *ῥυστάζοντας*] Ῥυστάζειν γὰρ τὸ μετὰ βίας ἕλκειν, παρὰ τὸ ἐρύω, ῥύω. Vulg. cf. π, 109.

Ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
ὀψὲ δὲ δὴ μετέειπε Δαμαστορίδης Ἀγέλαος·
Ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι·
μήτε τι τὸν ξεῖνον στυφελίζετε, μήτε τιν᾽ ἄλλον
δμώων, οἳ κατὰ δώματ᾽ Ὀδυσσῆος θείοιο.
Τηλεμάχῳ δέ κε μῦθον ἐγὼ καὶ μητέρι φαίην
ἤπιον, εἴ σφωῒν κραδίῃ ἅδοι ἀμφοτέροιϊν.
ὄφρα μὲν ὑμῖν θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει,
νοστήσειν Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε,
τόφρ᾽ οὔτις νέμεσις μενέμεν τ᾽ ἦν, ἰσχέμεναί τε
μνηστῆρας κατὰ δώματ᾽· ἐπεὶ τόδε κέρδιον ἦεν,
εἰ νόστησ᾽ Ὀδυσεὺς, καὶ ὑπότροπος ἵκετο δῶμα·
νῦν δ᾽ ἤδη τόδε δῆλον, ὅτ᾽ οὐκέτι νόστιμός ἐστιν.
ἀλλ᾽ ἄγε, σῇ τάδε μητρὶ παρεζόμενος κατάλεξον,
γήμασθ᾽, ὅςτις ἄριστος ἀνὴρ καὶ πλεῖστα πόρῃσιν·
ὄφρα σὺ μὲν χαίρων πατρώϊα πάντα νέμηαι,
ἔσθων καὶ πίνων· ἡ δ᾽ ἄλλου δῶμα κομίζῃ.
Τὸν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
οὐ μὰ Ζῆν᾽, Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο,

V. 323. καθαπτόμενος] Κεῖται τό, ἀντιβίοις καθαπτόμενος, πρὸς διαστολὴν ἑτέρου καθάπτεσθαι, περὶ οὗ προδεδήλωται (v. ad β, 39. κ, 70.). Eust. cf. β, 240.

V. 326. φαίην] εἴποιμι. Vulg.

V. 327. σφωῒν] αὐτοῖς. Id.

V. 332. νόστησ᾽] ἐπανῆλθεν. ὑπότροπος] ὑποστρέψας. Id.

V. 336. νέμηαι] καρπίζῃ. Id.

V. 337. δῶμα κομίζῃ] Eust. in comment. δώμαθ᾽ ἵκηται.

V. 339. οὐ μὰ Ζῆν᾽ — ἐμοῖο] Ἔθος ἦν ἀρχαῖον, πρω-

ὅς που τῆλ' Ἰθάκης ἢ ἔφθιται ἢ ἀλάληται,
οὔτι διατρίβω μητρὸς γάμον· ἀλλὰ κελεύω
γήμασθ', ᾧ κ' ἐθέλῃ, ποτὶ δ' ἄσπετα δῶρα δίδωμι.
αἰδέομαι δ' ἀέκουσαν ἀπὸ μεγάροιο δίεσθαι
μύθῳ ἀναγκαίῳ· μὴ τοῦτο θεὸς τελέσειεν.
"Ὣς φάτο Τηλέμαχος· μνηστῆρσι δὲ Παλλὰς Ἀθήνη
ἄσβεστον γέλω ὦρσε, παρέπλαγξεν δὲ νόημα.
οἱ δ' ἤδη γναθμοῖσι γελοίων ἀλλοτρίοισιν·

τον θεοὺς ὀμνύναι, εἶτα ἐπάγειν καὶ τὰς ἰδίας συμφοράς (ἢ τῶν πατέρων add. Barn.). Barn. ex Schol. ad Apollon. 2, 259.

ἐμοῖο] Vind. 133. ἐμεῖο.

V. 341. διατρίβω] κωλύω. Vulg. οὐχ ὑπερτίθεμαι. Ambr. B. Τὸ μὴ διατρίβειν τὸν γάμον καὶ τὸ ἑξῆς σαφῶς φράζει τὸ ἀληθές. ἐπισπεύδει γὰρ ὁ Τηλέμαχος γήμασθαι αὐτήν, ᾧ ἂν ἐθέλει καὶ ὃς ἂν πόροι πολλά. ἐθέλει δὲ ἐκείνη πάντως τὸν Ὀδυσσέα, ὃς αὐτῇ καὶ πάρεστι, χαρισόμενος ἄσπετα, ὅσα δηλαδὴ ἔμελλον οἱ μνηστῆρες δάσασθαι. Eust. cf. ad β, 204.

V. 342. ποτὶ — δίδωμι] Eust. ποτὶ δ' ἄσπετα δῶρα δίδωσι, additque: τουτέστι, καὶ ὃς αὐτῇ πολλὰ δίδωσιν. ἀπὸ κοινοῦ γὰρ ληπτέον τὸ ὅς.

V. 343. δίεσθαι] τουτέστι διῶξαι. Eust.

V. 344. ἀναγκαίῳ] ἀναγκαστικῷ. Vulg. Μῦθος καὶ νῦν (cf. ρ, 399.) ἀναγκαῖος, ὁ βίαιος καὶ ἀναγκαστικός. ὅθεν καὶ ἀναγκαῖοι ἐν τοῖς μετὰ ταῦτα πολεμισταί (ω, 499. et δμῶες ἀναγκαῖοι. ω, 210.). ἔστι μέντοι καὶ ἄλλως κοινότερον ἡ λέξις κειμένη ἐπὶ τῶν ἐπιτηδείων τισὶ καὶ χρησίμων. ἀναγκαῖοι γοῦν καὶ οἱ προσήκοντες κατὰ γένος. Eust.

V. 346. παρέπλαγξεν] ἐξηπάτησεν. Vulg. παρεπλάνησεν ἐκείνοις τὸν νοῦν. Eust. cf. ι, 81. De forma γέλω v. ad v. 8.

V. 347. οἱ — γναθμ. γελοίων ἀλλοτρίοισιν] Ἰστέον ὅτι τό, γναθμοῖς γελᾶν ἀλλοτρίοις, καὶ νῦν ἐπιπολάζει λέγεσθαι παροιμιακῶς. τοὺς γάρ τοι ἐφ' οἷς μὴ ἄξιον γελῶντας ἐκ θυμοῦ ἢ ἀμηχανίας τινός, ξέναις φαμὲν γελᾶν παρειαῖς. ὅςπερ καὶ τοὺς

αἱμοφόρυκτα δὲ δὴ κρέα ἤσθιον· ὄσσε δ᾽ ἄρα σφέων
δακρυόφιν πίμπλαντο· γόον δ᾽ ὠΐετο θυμός.
τοῖσι δὲ καὶ μετέειπε Θεοκλύμενος θεοειδής·
Ἆ δειλοί, τί κακὸν τόδε πάσχετε; νυκτὶ μὲν ὑμέων
εἰλύαται κεφαλαί τε πρόσωπά τε, νέρθε τε γοῦνα.
οἰμωγὴ δὲ δέδηε, δεδάκρυνται δὲ παρειαί·

πρὸς βίαν ἐσθίοντας, ἀλλοτρίοις ἐσθίειν γναθμοῖς, ὡς τῶν οἰκείων δῆθεν ὀκνούντων. καὶ ἔστιν ὁ τοιοῦτος γέλως ἕτερός τις παρὰ τὸν Σαρδόνιον. καὶ ἄλλως δὲ φράσαι, τὸ μὴ κατὰ προαίρεσιν μηδὲ ἡδέως ἐνεργοῦν μόριον οὐδὲ μέλος οἰκεῖον εἶναι λογιζόμεθα. ὃ καὶ οἱ μνηστῆρες πάσχουσιν. ἔτι δὲ καὶ ἄλλως σύμβολόν ἐστι τὸ ῥηθὲν τοῦ ἐξεστηκέναι τοὺς μνηστῆρας ἑαυτῶν, ὡς οἷον μηδὲ ἐν σώμασιν εἶναι. διὸ καὶ ἀπηλλοτριῶντό πως αὐτοί τε τῶν οἰκείων σωμάτων, καὶ αὐτὰ ἐκείνων, ὡς δοκεῖν ὡς ἀλλοτρίοις γελᾶν γναθμοῖς — ἴσως δὲ τό, γναθμοῖς ἐγέλων ἀλλοτρίοις, καὶ ὅμοιόν ἐστι τῷ, ἀχρεῖον ἐγέλασεν, ὃ ἐπὶ τῆς Πηνελόπης εἴρηται (σ, 163.). Eust. γελοίων] Τὸ γελοίων πλεονασμὸν ἔχει τοῦ ἰῶτα, ὡς ἀπὸ τοῦ γελόων ἤγουν ἐγέλων γενόμενον. ἔστι γὰρ γελόω ῥῆμα, ὡς ὀρόω, βοόω, καὶ τὰ τοιαῦτα. Id.

V. 348. αἱμοφόρυκτα] αἵματι μεμολυσμένα. Vulg. ἡμαγμένα. Ambr. B. Αἱμοφόρυκτα κρέα, τὰ αἱμοβαφῆ, ὁποῖα καὶ τὰ ὠμά. συγκέκοπται δὲ ἡ λέξις ἐκ τοῦ αἱματοφόρυκτα. ἄλλως γὰρ παρὰ τὸ αἷμα αἱμαφόρυκτα ὤφειλεν εἶναι. τοιοῦτον δὲ καὶ τὸ αἱμόῤῥυτον καὶ τὸ αἱμοβαφές, καὶ αἱ παρὰ τῷ Λυκόφρονι αἱμόφυρτοι μάχαι. Eust. Αἱμοφόρυκτα. αἵματι μεμολυσμένα, καὶ ἀνεπεφυρμένα. Hesych.

V. 349. γόον δ᾽ ὠΐετο θυμός] τουτέστιν, ἐφαντάζετο θρήνους ἡ ψυχή. Eust. cf. κ, 248.

V. 351. 352. νυκτὶ μὲν — γοῦνα] τουτέστιν, ἐκ κεφαλῆς ἐς πόδας ἐσκοτωμένοι φαίνεσθε κατὰ τοὺς ἐν Ἅιδῃ ὄντας. Id.

εἰλύαται] κεκαλυμμένα ἐστίν. Vulg. Τὸ εἰλύαται, ἀντὶ τοῦ, κεκαλυμμέναι εἰσίν, ὡς ἀπὸ τοῦ εἰλύω. ἀφ᾽ οὗ καὶ τὸ ἐπειλύω, καὶ εἰλυός ὁ φωλεός. τὸ μέντοι εἰλύω ἐκ τοῦ εἰλῶ γίνεται κατὰ παραγωγήν. ἔοικε γάρ πως κρύψει καὶ ἡ εἴλησις. Eust.

V. 353. δέδηε] διεγήγερται. Vulg. ἀνάπτεται, ὥς που καὶ

αἵματι δ' ἐῤῥάδαται τοῖχοι, καλαί τε μεσόδμαι·
εἰδώλων δὲ πλέον πρόθυρον, πλείη δὲ καὶ αὐλή,
ἱεμένων Ἔρεβόςδε ὑπὸ ζόφον· ἠέλιος δὲ
οὐρανοῦ ἐξαπόλωλε, κακὴ δ' ἐπιδέδρομεν ἀχλύς.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.
τοῖσιν δ' Εὐρύμαχος, Πολύβου παῖς, ἦρχ' ἀγορεύειν·

μάχη δέδηε (v. Il. μ, 35. ν, 736. υ, 18.). Eust. Ἀπὸ τοῦ δαίω τὸ καίω γίνεται τὸ δέδηε, ἀντὶ τοῦ φαίνεται. Ambr. B.

δεδάκρυνται] δακρύων πεπλήρωνται. Vulg.

V. 354. ἐῤῥάδαται] περιέῤῥανται. Id. Ἐῤῥάδαται] ἐῤῥαμμένοι εἰσίν. Ἐῤῥάδατο. ἔῤῥαντο, ἐπέφυρτο. Hesych. cf. Eust. ad v. 150.

μεσόδμαι] v. ad τ, 37.

V. 355. εἰδώλων δὲ πλέον] ὡς τῶν ψυχῶν αὐτῶν ἐπὶ τὸν Ἅιδην ἀπιουσῶν. Ambr. B. πλέον] τουτέστι πλῆρες. Eust.

V. 356. ἱεμένων] Vind. 133. ἱεμένων, cum glossa: πορευομένων.

V. 357. ἠέλιος δὲ οὐρανοῦ (Vulg. ed. ant. οὐρανῷ) ἐξαπόλωλε] Ταῦτα ὡς ἀπὸ ἡλίου ἐκλείψεως ὁ σοφὸς μάντις καθορᾷ. — ἡ δὲ τοῦ ἡλίου ἔκλειψις οὐκ ἀπίθανος, οἷα γενομένη μὲν ἐν νουμηνίᾳ, οὐ γνωσθεῖσα δὲ ἑτέροις τισίν, ἀλλ' ἢ μόνῳ φιλοσόφῳ καὶ μαντικῷ Θεοκλυμένῳ, ὡς καὶ τὰ τοιαῦτα εἰδότι. καὶ μήν τινες τό, ἠέλιος οὐρανοῦ ἐξαπόλωλεν, οὐκ ἐνόησαν ἐπὶ τοῦ ἐκλιπεῖν, ἀλλ' ὅτι τοῖς μνηστῆρσιν ὁ ἥλιος ἤδη ἐπιλέλοιπεν ὡς τεθνηξομένοις. καθὰ καὶ Θεόκριτος (Id. I. v. 102.), ἥλιον πάντα δεδυκεῖν, λέγει, τῷ ἤδη θνήσκοντι. Eust. Οὐχ ὡς ἐκλείψεως γεγενημένης, ἀλλ' ὅτι τοῖς μνηστῆρσιν ὁ ἥλιος ἐκλελοίπει (Barn. ex Eust. corr. ἐπιλέλοιπεν). ἐξέρχεται δὲ οὗτος ἐκ τῆς οἰκίας οἰκονομικῶς. Vulg. Οὐ γὰρ ἡλίου ἔκλειψις ἐγένετο, ἀλλὰ Θεοκλύμενος οὕτως ὁρᾷ, ὑπό τινος ἐνθουσιασμοῦ μαντευόμενος, ὅτι ἐκλείψει αὐτοῖς ὁ ἥλιος. ἀμέλει οἱ μνηστῆρες, ὡς οὐδὲν τοιοῦτον θεωροῦντες, καὶ ἐκβληθῆναι αὐτὸν ἀξιοῦσιν ὡς παραπαίοντα. Ambr. B.

ἀχλύς] ἀορασία. Vulg.

Ἀφραίνει ξεῖνος νέον ἄλλοθεν εἰληλουθώς.
ἀλλά μιν αἶψα, νέοι, δόμου ἐκπέμψασθε θύραζε
εἰς ἀγορὴν ἔρχεσθαι· ἐπεὶ τάδε νυκτὶ ἐΐσκει.
Τὸν δ' αὖτε προςέειπε Θεοκλύμενος θεοειδής·
Εὐρύμαχ', οὔτι σ' ἄνωγα ἐμοὶ πομπῆας ὀπάζειν·
εἰσί μοι ὀφθαλμοί τε καὶ οὔατα καὶ πόδες ἄμφω,
καὶ νόος ἐν στήθεσσι τετυγμένος οὐδὲν ἀεικής.
τοῖς ἔξειμι θύραζε, ἐπεὶ νοέω κακὸν ὔμμιν
ἐρχόμενον, τό κεν οὔτις ὑπεκφύγοι οὐδ' ἀλέαιτο
μνηστήρων, οἳ δῶμα κατ' ἀντιθέου Ὀδυσῆος
ἀνέρας ὑβρίζοντες ἀτάσθαλα μηχανάασθε.
Ὣς εἰπών, ἐξῆλθε δόμων εὐναιεταόντων·
ἵκετο δ' ἐς Πείραιον, ὅ μιν πρόφρων ὑπέδεκτο.
μνηστῆρες δ' ἄρα πάντες ἐς ἀλλήλους ὁρόωντες,
Τηλέμαχον ἐρέθιζον, ἐπὶ ξείνοις γελόωντες·
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·

V. 360. *ἀφραίνει*] μωραίνει. Id.

V. 361. *ἐκπέμψασθε*] Ὅρα τό, ἐκπέμψασθε θύραζε, παθητικῶς νῦν λεχθέν. ἐν ἄλλοις γὰρ καὶ ἐνεργητικῶς φράζεται. Eust.

V. 362. *εἰς ἀγορὴν ἔρχεσθαι*] Χειραγωγήσατε αὐτὸν εἰς τὴν ἀγοράν, ἵνα ἴδῃ τὸ φῶς. τὰ γὰρ κατ' οἶκον νυκτὶ εἰκάζει. Ambr. B.

V. 366. *οὐδὲν ἀεικής*] Τό, οὐδὲν ἀεικής, πρὸς τὸ τετυγμένος κολλᾶται, ἵνα εἴη, νοῦς οὐ τετυγμένος ἀεικής. Eust.

V. 368. *ὑπεκφύγοι*] Eust. in comment. ὑπεκφύγῃ οὐδ' ἀλέαιτο.

V. 369. *ἀντιθέου Ὀδυσῆος*] Γρ. ἀνδρῶν οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο. Harl.

V. 374. *ἐρέθιζον*] Γρ. θαύμαζον. Harl. Etiam Eust. πρῶτα μὲν *θαυμάζειν* αὐτοὺς ἔφη ἐπὶ τοῖς ξείνοις τοῦ Τηλεμάχου γελόωντας. — *γελόωντες*] γελωτοποιούμενοι, καταγελῶντες. Vulg.

Τηλέμαχ', οὔτις σεῖο κακοξεινώτερος ἄλλος·
οἷον μέν τινα τοῦτον ἔχεις ἐπίμαστον ἀλήτην,
σίτου καὶ οἴνου κεχρημένον, οὐδέ τι ἔργων
ἔμπαιον, οὐδὲ βίης, ἀλλ' αὔτως ἄχθος ἀρούρης.
ἄλλος δ' αὖτέ τις οὗτος ἀνέστη μαντεύεσθαι.
ἀλλ' εἴ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη·
τοὺς ξείνους ἐν νηῒ πολυκληῗδι βαλόντες
ἐς Σικελοὺς πέμψωμεν, ὅθεν κέ τοι ἄξιον ἄλφοι.

V. 376. κακοξεινώτερος] κακῶν ξένων ὑποδοχεύς. Vulg. Eust. Περὶ τῆς γραφῆς τοῦ κακοξεινώτερος, εἴτε διὰ τοῦ ω̃ μεγάλου εἴτε καὶ διὰ μικροῦ ἡ προπαραλήγουσα; ἱκανῶς ἑτέρωθι προδεδήλωται (v. ad β, 350. et ε, 105.). Eust.

V. 377. ἐπίμαστον] ἐνδεᾶ ἐπαίτην, παρὰ τὸ μαστεύειν τροφήν. Ambr. B. ἐπιμαστεύοντα καὶ ἐπιζητοῦντα. Vulg. Ἐπίμαστος ὁ ἐπαίτης, ὡς τροφὴν μαστεύων, ὅ ἐστιν ἐπιζητῶν. διὸ ἑρμηνεύων ἐπάγει, σίτου καὶ οἴνου κεχρημένος, οὗ ἀνάπαλιν ἔχει ὁ σίτου καὶ οἴνου κεκορημένος. Eust.

V. 379. ἔμπαιον] ἔμπειρον. Vulg. Ἔμπαιος, ὁ ἔμπειρος καὶ ἐντριβής, παρὰ τὸ παίω, ὁ πολλοῖς δηλαδὴ προσπεπαικὼς πράγμασι. καὶ νῦν μὲν ἐν ἀρχῇ στίχου ἡ λέξις κειμένη δόξοι ἂν συστέλλειν τὴν παραλήγουσαν κατὰ λόγον δακτύλου ποδός. ἐν δὲ τῇ ἑξῆς ῥαψῳδίᾳ (φ, 400.) ἐν τῷ, κακῶν ἔμπαιος ἀλήτης, ἔκδηλος ἡ διὰ διφθόγγου γραφή. διὸ καὶ ἐνταῦθα οὕτω γραπτέον καὶ μετρητέον τὴν λέξιν κατὰ πόδα σπονδεῖον ἐκ συνιζήσεως. Eust. Contra Ambr. B. ἔμπεον. ἀπὸ τοῦ παίω τὸ τύπτω. διὰ τὸ μέτρον γράφεται ψιλὸν τὸ πε.

V. 380. μαντεύεσθαι] Eust. Vind. 133. μαντεύσασθαι. Γρ. μαντεύεσθαι. Harl.

V. 383. ἐς Σικελούς] Ἐγινώσκετο ἄρα τὰ κατὰ τοὺς Σικελούς. οὐκ εἰκὸς οὖν ἐκεῖ τὴν πλάνην γεγονέναι. διαφέρουσι δὲ Σικελιῶται Σικελῶν. οἱ μὲν γὰρ Ἕλληνες, οἱ δὲ βάρβαροι. Vulg. Ἐν τῷ, ἐς Σικελοὺς πέμψωμεν, ὅρα ὡς ἐγίνωσκον οἱ παλαιοὶ τοὺς Σικελούς. διὸ εἴπερ ἐκεῖ πλανᾶσθαι τὸν Ὀδυσσέα ἱστορικῶς ἐδόξαζε καὶ ὁ ποιητής, εἶχεν ἂν ἐπισημήνασθαι, καὶ οὐκ ἂν ἐσίγησε. νῦν δὲ ἑκὼν τερατευόμενος ποιητικώτερον, ἐξετόπισε τὴν πλάνην. καὶ ἐν τοῖς ἑξῆς δὲ (ω, 389.) Σικελὴ γραῦς ἱστορεῖται

Ὣς ἔφασαν μνηστῆρες· ὁ δ' οὐκ ἐμπάζετο μύθων·
ἀλλ' ἀκέων πατέρα προςεδέρκετο, δέγμενος αἰεί,
ὁππότε δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει.
Ἡ δὲ κατάντηστιν θεμένη περικαλλέα δίφρον
κούρη Ἰκαρίοιο, περίφρων Πηνελόπεια,
ἀνδρῶν ἐν μεγάροισιν ἑκάστου μῦθον ἄκουεν.
δεῖπνον μὲν γὰρ τοίγε γελοίωντες τετύκοντο

γυνὴ τοῦ Δολίου. διαφορὰν δέ τινες φασι Σικελιωτῶν καὶ Σικελῶν τὸ τοὺς μὲν Ἕλληνας, τοὺς δὲ βαρβάρους εἶναι. φησὶ γοῦν Αἴλιος Διονύσιος, ὅτι Ἰταλοὶ μὲν οἱ βάρβαροι, Ἰταλιῶται δὲ οἱ ἐπῳκηκότες Ἕλληνες τὴν Ἰταλίαν. οὕτω καὶ Σικελοί φησι καὶ Σικελιῶται διαφέρουσιν. οὐκέτι δὲ ἀνάλογον Θεσσαλοί φησι καὶ Θεσσαλιῶται πρὸς ἀλλήλους ἔχουσιν, ἀλλ' ἐκ τοῦ ἐναντίου σχεδόν. ἔθνος γάρ τι τῶν ὑπεροικούντων τὴν Θεσσαλίαν βαρβάρων Θεσσαλιῶται καλοῦνται. Eust.

ἄξιον ἄλφοι] ἀξίαν εὗροι τιμὴν ἡ τῶν ξένων πρᾶσις. Ambr. B. Τό, ἄξιον ἄλφοι, ἢ οὐδετέρως ἀντὶ τοῦ, εὑρήσει τὸ ἄξιον ἤγουν τὴν ἀξίαν τιμήν, ἢ κατὰ γένος ἀρσενικὸν ἐλλειπτικῶς. τὸ γὰρ τέλειον, ἄξιον ὦνον ἄλφοι, ὡς καὶ ἀλλαχοῦ ἔκειτο. (v. ο, 453. cf. ρ, 250.). Eust.

V. 385. προςεδέρκετο] προςέβλεπε. Vulg.

V. 387. κατάντηστιν] (ed. ant. κατ' ἄντησιν) ἀντικρὺς τοῦ ἀνδρῶνος, ἐν τῇ γυναικωνίτιδι. Vulg. Τὸ κατάντηστιν δηλοῖ μὲν τὸ ἀντικρύ φασι τοῦ ἀνδρεῶνος, πλεονασμὸν δὲ τοῦ σ ἔχει ὁμοίως, τῷ προμνηστῖνοι (v. λ, 232. φ, 230.), διὰ τὸ καλλιφωνότερον. ἄλλως γὰρ οὐκ ἀναγκαίως ἔχει τὸ σ, ὡς δηλοῖ καὶ τό, ἐνάντητος ἐδωδή, καὶ τὸ δυςάντητος, καὶ εἴ τι ἄλλο τοιοῦτο. Eust.

V. 390. γελοίωντες] Τό, γελοίωντες τετύκοντο, βέλτιον οὕτω γράφειν. εἰ δέ που γράφεται, γελώωντες, διὰ τῶν δύο μεγάλων ω, νοητέον, τὴν οι δίφθογγον τοῦ γελοίωντες τραπῆναι εἰς ω μέγα ὁμοίως τῷ ἀγκώνη ἀγκοίνη (v. λ, 260.), καὶ τοῖς ὁμοίοις. Eust. γελοίωντες] Ἀντὶ τοῦ γελοιῶντες (fort. γελώωντες) καὶ γελωτοποιοῦντες, ἐν γέλωτι διατρίβοντες. Ambr. B. γελώωντες. Vind. 133.

ἡδύ τε καὶ μενοεικές, ἐπεὶ μάλα πόλλ᾽ ἱέρευσαν·
δόρπου δ᾽ οὐκ ἄν πως ἀχαρίστερον ἄλλο γένοιτο,
οἷον δὴ τάχ᾽ ἔμελλε θεὰ καὶ καρτερὸς ἀνὴρ
θησέμεναι· πρότεροι γὰρ ἀεικέα μηχανόωντο.

V. 391. μενοεικές] δαψιλές, πολύ. Vulg.

V. 392. ἀχαρίστερον] ἀηδέστερον. Id. Ἀχαρίστερον τὸ ἀηδέστερον. οὗ ὁ τύπος, ὡς τὸ λαλίστερον καὶ κλεπτίστερον. δῆλον δὲ ὅτι ἀντίκειται τὸ ἡδύ, τουτέστι τὸ χαρίεν, πρὸς τὸ ἄχαρι. διὸ καὶ ἐνταῦθα ἡδὺ μὲν τὸ δεῖπνον, ὁ δὲ δόρπος ἄχαρις. Eust.

V. 394. πρότεροι γάρ] Οἱ μνηστῆρες δηλαδή. Ambr. B.

Nachstehenden Bericht empfehle ich allen Freunden der philologischen Literatur.

C. H. F. Hartmann.

BERICHT

über die in Endesunterzeichnetem Verlage erscheinende

Auswahl griechischer Autoren

mit kritischen Noten
vorzüglich zum Schulgebrauch.

Das Studium der alten klassischen Literatur hat in unsern Zeiten so viel Freunde gewonnen und sich so weit verbreitet, dass das Bedürfniss guter Ausgaben von den vorzüglichsten alten Schriftstellern immer mehr Befriedigung heischt. Besonders ist dies in Ansehung der griechischen Autoren der Fall, welche, wie für die Römer, so auch für andre europäische Völker, Muster des guten Geschmacks und Quellen der gründlichen Gelehrsamkeit geworden sind und wohl auch immerfort bleiben werden, wenn nicht etwa ein feindliches Geschick das Menschengeschlecht in die alte Barbarei zurückwirft. Der Unterzeichnete glaubt daher ein verdienstliches Werk zu unternehmen, wenn er seine Officin dazu benutzt, von den Schriften der vorzüglichsten griechischen Autoren eine gleichförmige, gut in die Augen fallende, mit kritischen Anmerkungen versehene und von allen, die nicht ganz unbemittelt sind, leicht anzuschaffende Ausgabe zu veranstalten.

Von dieser Auswahl sind in dem Zeitraume von kaum drei Monaten bereits vier Bände in zwei Ausgaben auf verschiedenen Papieren, die eine auf Englischem, die andere auf Druckpapier, wovon die letztere wegen ihrer besondern Wohlfeilheit für Schulen sich eignet, erschienen und versandt, als:

Homeri Carmina ad optimorum librorum fidem expressa curante Guil. Dindorfio. Vol. I. *Ilias.* Chara impr. 18 gr.
Charta angl. 1 Rthlr. 8 gr.

[Vol. II. die *Odyssee*, (Vol. III. *die Hymnen nebst kritischen Noten über diesen Dichter*) erscheinen nächst sämmtlichen *Xenophont.* Schriften im Monat May a. c.]

Thucydidis de bello Peloponnesiaco libri octo. Cum brevi Annotatione critica edidit Ludovicus Dindorfius.
Charta impr. 1 Rthlr.
Charta angl. 1 Rthlr. 20 gr.

Xenophontis Expeditio Cyri. Cum brevi Annotatione critica edidit Ludovicus Dindorfius. Charta impr. 10 gr.
Charta angl. 16 gr.

Xenophontis Institutio Cyri. Cum brevi Annotatione critica edidit Ludovicus Dindorfius. Charta impr. 12 gr.
Charta angl. 18 gr.

Im Laufe dieses Jahres erscheinen folgende Werke:

1. *Aeschyli Tragoediae.*
2. *Aeschinis Orationes.*
3. *Anthologia Graeca.*
4. *Apollonii Rhodii Argonautica.*
5. *Bucolici Graeci.*
6. *Demosthenis Orationes.*
7. *Diodori Siculi historiarum libri.*
8. *Euripidis Tragoediae.*
9. *Gnomici Graeci.*
10. *Isocratis Orationes.*
11. *Plutarchi Vitae.*
12. *Sophoclis Tragoediae.*

Es sind am Schlusse eines jeden Bandes die zunächst erscheinenden Autoren angezeigt, und soll dies für die Folge stets beibehalten werden.

Ich erlaube mir die Herren Schuldirektoren und alle Freunde der philologischen Literatur auf ein Unternehmen aufmerksam zu machen, das mit möglichster Thätigkeit begonnen, sich der baldigen Theilnahme noch einiger eben so verdienter als ausgezeichneter Philologen zu erfreuen haben wird. Durch strenge Correktheit, gefällige Form der Lettern, reinen scharfen Druck und vorzügliche Wohlfeilheit — als eine dem Ganzen günstige Empfehlung — hoffe ich nicht allein den billigen Anforderungen sachverständiger Männer genügend zu entsprechen, sondern auch der Literatur einen wesentlichen Dienst zu leisten.

☞ Den Debit für den Buchhandel habe ich Herrn C. H. F. Hartmann allhier ausschliesslich übertragen; doch kann auch ich den Herren Buchhändlern bei direkter Beziehung in Parthieen von mindestens 25 Exemplaren angemessene Vortheile gestatten.

☞ Den einzelnen Bedarf für Schulen etc. hingegen bin ich erbötig, unter verhältnissmässigen Begünstigungen zu debitiren, wenn sich Privatpersonen deshalb direkt an mich wenden.

Leipzig, im März 1824.

B. G. Teubner.

HOMERI ODYSSEA.

CUM

INTERPRETATIONIS EUSTATHII ET RELIQUORUM GRAMMATICORUM DELECTU, SUISQUE COMMENTARIIS

EDIDIT

DETL. CAR. GUIL. BAUMGARTEN-CRUSIUS,

SCHOLAE DRESDENSIS AD AEDEM CRUCIS CONRECTOR,

SOC. LAT. IEN. SODALIS HONORARIUS.

VOL. III. PARS II.

RHAPSOD. XXI — XXIV. CONTINENS.

LIPSIAE

SUMPTIBUS C. H. F. HARTMANNI.

MDCCCXXIV.

ΤΗΣ ΤΟΥ ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ ΡΑΨΩΙΔΙΑ Η ΓΡΑΜΜΑ Φ.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Φ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Πηνελόπη τῷ τείνοντι τὸ τόξον ὁμολογεῖ τὸν αὑτῆς γάμον. Ὀδυσσεὺς δὲ Εὐμαίῳ καὶ Φιλοιτίῳ ἐντειλάμενος περὶ τῆς τῶν θυρῶν ἀσφαλείας αὐτὸς ἀφίησι τὸ βέλος διὰ τῶν πελέκεων, ἄλλου τεῖναι τὸ τόξον μὴ δυνηθέντος. Eust. Vulg. Pal.

ΑΛΛΗ ΥΠΟΘΕΣΙΣ.

Τόξου θέσιν Πηνελόπη μνηστῆρσι (Initium corruptum; suppl. ποιεῖ, vel medela petenda ex Eust., qui: ἐκ τοῦ, τόξον θέμεν (v. 3.), τόξου θέσις ἡ παροῦσα ῥαψῳδία ἐπιγράφεται). καὶ ὡς ἀναγνωρισθεὶς τοῖς θεράπουσι συντίθεται Ὀδυσσεὺς τὸν κατὰ τῶν μνηστήρων φόνον. καὶ ὡς, μὴ δυναμένων αὐτῶν ἀνατεῖναι τὸ τόξον, ἐγκρατὴς γέγονεν ὅλων Ὀδυσσεύς. Ambr. Q.

Ἐπιγραφαί.

Τόξου θέσις.

Ἄλλως.

Φῖ δὲ βιὸν προτίθησιν ἄεθλον Πηνελοπείη.

Τῇ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις Ἀθήνη
κούρῃ Ἰκαρίοιο, περίφρονι Πηνελοπείῃ,

V. 1. τῇ δ' ἀρ' ἐπὶ φρεσὶ θῆκε] Ὁ δὲ ἀντὶ τοῦ γάρ.

τόξον μνηστήρεσσι θέμεν, πολιόν τε σίδηρον.
ἐν μεγάροις Ὀδυσῆος, ἀέθλια καὶ φόνου ἀρχήν.
κλίμακα δ' ὑψηλὴν προσεβήσατο οἷο δόμοιο·
εἵλετο δὲ κληῗδ' εὐκαμπέα χειρὶ παχείῃ
καλὴν, χαλκείην· κώπη δ' ἐλέφαντος ἐπῆεν.

τίθησι δὲ τὸ τόξον, ἵνα ἐὰν μὲν πλείους ἐντείνωσι, στασιάσωσιν, ἐὰν δὲ μηδείς, ἀνάξιοι τῆς μνηστείας φανῶσιν. Vulg. Τὸ δὲ ἀντὶ τοῦ γάρ. οὐχ ἡ Πηνελόπη δὲ τὸν φόνον ἐνόησεν, ἀλλ' ὁ ποιητὴς ἀφ' ἑαυτοῦ τὸ συμβησόμενόν φησι. Ambr. B. Q.

V. 3. πολιόν τε σίδηρον] Πολιὸς σίδηρος, ὁ λευκός φασι τῇ σμήξει, ἢ ὁ πολιτικός, ἢ ὁ ἔντιμος, ἢ ὁ πολύς, ὡς καὶ ἀλλαχοῦ δηλοῦται σαφέστερον (v. Il. ι, 366.). λέγει δὲ νῦν σίδηρον τοὺς ποῤῥηθέντας πελέκεας. (v. τ, 573.). Eust.

V. 4. ἀέθλια] Τὸ ἀέθλιον οὐχ ὑποκοριστικόν, ἀλλὰ παράγωγον, ὁμοίως τῷ ἴσχνος ἰσχνιον. Id.

V. 5. κλίμακα δ' ὑψηλὴν] τὴν ἐκ τῆς γυναικωνίτιδος εἰς τὴν ἀποθήκην, ἵνα τὴν κλεῖν λάβῃ. Pal. Vulg.

V. 6. εἵλετο κληῗδ'] Ὅτι ἐν τῷ, εἵλετο δὲ κληῗδ' — ἐπῆεν, ἀρχαϊκὸν εἶδος κληῗδος φράζει καὶ οὐ κατὰ τὰ ὕστερον τρυπώμενα εἰς πολλὰς ὀπάς. ἔστι δὲ καὶ τοιούτων κληΐδων μέχρι καὶ νῦν χρῆσις, δι' ὀπῆς θύρας ἐνειρομένων καὶ μεταγουσῶν τὴν ἔνδον σειρὰν ἐπὶ ἀνοίξει τῆς θύρας. Eust. Κληῗδα οὐ μόνον τὸ κλεῖθρον, ἀλλὰ καὶ τὴν κλεῖν. Ambr. B.

χειρὶ παχείῃ] Τό, χειρὶ παχείῃ, ἁπλῶς οὕτω κεῖται παραῤῥιφὲν ἐπὶ τῇ Πηνελόπῃ. ἀνδρὶ γὰρ μᾶλλον γενναίῳ ἐπιπρέπει ἡ παχεῖα χείρ, γυναικὶ δὲ τὸ λευκώλενον καὶ ῥοδόπηχυ καὶ εἴ τι τοιοῦτον. διὸ καὶ κατὰ ἀκυρολεξίαν οἱ παλαιοὶ ἐνταῦθα κεῖσθαι τὴν λέξιν φασι. Eust.

V. 7. χαλκείην] Χαλκείην, οὐ τὴν ἐκ σιδήρου, κατὰ τό, χάλκεα ὅπλα, ἀλλὰ τὴν αὐτόχρημα χαλκῆν, διὸ καὶ καλὴν αὐτὴν ἔφη. ὃ καὶ μᾶλλον προκαλεῖται γραφὴν ἑτέραν τὴν ἔν τισιν ἀντιγράφοις, ἤγουν τό, καλὴν χρυσείην. χρυσῷ γὰρ μάλιστα οἰκεῖον τὸ καλόν. Eust.

κώπη δ' ἐλεφ. ἐπῆεν] Ἡ λαβὴ τοῦ ξίφους, ἡ κόπτειν δυναμένη, παρὰ τὸ κοπή, ἀναβιβασμῷ καὶ τροπῇ, κώπη. καὶ ἡ τῶν ἐρετῶν κώπη λέγεται παρὰ τὸ κόπτειν τὸ ὕδωρ. Vulg.

βῆ δ' ἴμεναι θάλαμόνδε σὺν ἀμφιπόλοισι γυναιξὶν,
ἔσχατον· ἔνθα δέ οἱ κειμήλια κεῖτο ἄνακτος,
χαλκός τε χρυσός τε, πολύκμητός τε σίδηρος.
ἔνθα δὲ τόξον κεῖτο παλίντονον ἠδὲ φαρέτρη
ἰοδόκος, πολλοὶ δ' ἔνεσαν στονόεντες ὀϊστοί·
δῶρα, τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε τυχήσας,
Ἴφιτος Εὐρυτίδης, ἐπιείκελος ἀθανάτοισιν.
τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν,

V. 8. θαλαμόνδε] Ὅτι θάλαμος ἔσχατος καὶ ἐνταῦθα τὸ ταμιεῖον, ὃ καὶ βασιλικὸν ἐστι διὰ τὸν βασιλέα Ὀδυσσέα, ἐν ᾧ φησι κειμήλια κεῖτο ἄνακτος. Id.

V. 9. ἔσχατον] Νῦν τὸ ἐνδότατον. Pal. Vulg.

V. 10. πολύκμητος] ὑφ' ᾧ πολλὰ κάμνουσιν. Vulg. Πολύκμητος σίδηρος, ἴσως μὲν ὁ ἀκατέργαστος, περὶ ὃν πολλά ἐστι καμεῖν, μάλιστα δὲ ὁ εἰς ἔργα χαλκευθεὶς πολλῷ καμάτῳ. εἰ δὲ καὶ στονόεντα ξίφη εἰσὶ τὰ τοιαῦτα ἔργα, λέγεται τὰ τοιαῦτα πολύκμητος σίδηρος, δι' οὗ πολλοὶ ἂν κάμοιεν, ὅ ἐστι θάνοιεν, κατὰ τό, εἴδωλα καμόντων (λ, 475). Eust.

V. 11. ἔνθα δὲ τόξον ἔκειτο] Προνοητικῶς οὐκ ἐν τῷ ἀνδρῶνι, ἵνα μὴ ὑπὸ τοῦ καπνοῦ ἡ νευρὰ ῥαγῇ. Vulg.

V. 12. ἰοδόκος] Τὸ ἰοδόκος ἴσως παροξύνεται διὰ τὸ μὴ δηλοῦν πάθος, ὁποῖόν τι καὶ ἡ πρωτότοκος (scr. πρωτοτόκος) γυνή, καὶ ἕτερα τοιαῦτα. Eust.

V. 13. Λακεδαίμονι] Νῦν ἐν τῇ χώρᾳ. Vulg. Νῦν ἐπὶ τῇ Λακωνικῇ χώρᾳ, ἧς μέρος κατὰ τοὺς ἡρωϊκοὺς χρόνους ἡ Μεσσήνη. διχασθῆναι δέ φασι τὴν Λακωνικὴν τῆς Μεσσηνίας ἐπὶ τῶν Ἡρακλειδῶν, οἳ μετὰ τὴν τοῦ Ἰλίου ἅλωσιν κατέσχον τὴν Πελοπόννησον. Ambr. B. Q. τυχήσας] συντυχών. Vulg. Τὸ τυχήσας ἢ ἀντὶ τοῦ τυχών, ἢ κατατυχών, ἢ καὶ ἄλλως εὐτυχῶς συναντήσας, κατά γε μόνον τὸ ἀλλήλους ἰδεῖν καὶ δῶρα δοῦναι καὶ ἀντιλαβεῖν. Eust.

V. 15. Μεσσήνῃ] τῇ Μεσσηναίᾳ χώρᾳ, ἥτις ἦν μέρος τῆς Λακεδαίμονος πρὸ τῆς τῶν Ἡρακλειδῶν καθόδου. Vulg. Ἡ Μεσσήνη γράφεται μέν, ὡς καὶ ἡ Σικελικὴ καὶ εἴ τις που ἄλλη, παρὰ πᾶσιν ἐν δυσὶ σ. λέγεται δὲ κατὰ μὲν τοὺς ἡρωϊκοὺς χρόνους Λακώνων εἶναι, κατὰ δὲ τοὺς Ἡρακλείδας ἤγουν μετὰ τὴν

οἴκῳ ἐν Ὀρσιλόχοιο δαΐφρονος· ἤτοι Ὀδυσσεὺς
ἦλθε μετὰ χρεῖος, τό ῥά οἱ πᾶς δῆμος ὄφελλεν·
μῆλα γὰρ ἐξ Ἰθάκης Μεσσήνιοι ἄνδρες ἄειραν
νηυσὶ πολυκλήϊσι τριηκόσι' ἠδὲ νομῆας.
τῶν ἕνεκ' ἐξεσίην πολλὴν ὁδὸν ἦλθεν Ὀδυσσεύς,
παιδνὸς ἐών· πρὸ γὰρ ἧκε πατὴρ, ἄλλοι τε γέροντες.

αὐτῶν κάθοδον διχασθῆναι αὐτὴν τῆς Λακωνικῆς. τὸ δὲ δίπλασμα τοῦ σ ἐν τῷ Μεσσήνῃ δηλοῖ καὶ τὸ ῥηθὲν Ὁμηρικὸν ἔπος, τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν ἤγουν συνήντησαν. ὃς δὴ στίχος καὶ ἐπαινεῖται ὡς ὁλοσπόνδειος, καὶ τῷ στασίμῳ τοῦ μέτρου ἐξομοιούμενος τῇ στάσει τῶν συναντώντων ἀλλήλοις κατὰ φιλίαν. ὥςπερ αὖ πάλιν ἐπαινετοὶ ἑτέρωθι κατ' ἄλλον τρόπον οἱ ὁλοδάκτυλοι, ὁποῖον καὶ τό, κεῖτο μέγας μεγαλωστὶ λελασμένος ἱπποσυνάων (Il. π, 776. cf. Od. ω, 40.). Eust.

V. 16. οἴκῳ ἐν Ὀρσιλόχοιο] ἐν Φεραῖς. Vulg. Ὅτι αἱ Φηραί εἰσιν τοῦ Ὀρσιλόχου ὁ οἶκος, δῆλον. ἐς Φηρὰς δ' ἵκοντο, Διοκλῆος ποτὶ δῶμα, υἱέος Ὀρσιλόχοιο (γ, 488. ο, 186.), ὅ τε Τηλέμαχος καὶ ὁ Πεισίστρατος. Αἱ δὲ Φηραὶ τῆς Μεσσηνίας εἰσίν. Strabo l. 8. p. 367. (565.).

V. 17. μετὰ χρεῖος] διὰ ὄφλημα. Vulg. Χρέος ἐνταῦθα εἶπεν οὐ τὸ δανεισθέν, ἀλλὰ τὸ ἐξ ἁρπαγῆς, ἣν οἱ Μεσσήνιοι κατὰ Ἰθακησίων ἔπραξαν. Eust.

V. 18. ἄειραν] Νῦν, ἥρπασαν. Vulg. Pal.

V. 20. ἐξεσίην] δημοσίαν ἔκπεμψιν. Id. Ἐξεσία, ὡς καὶ ἐν Ἰλιάδι (ω, 235.) ἐν τοῖς περὶ Πριάμου, ἡ δημοσία πρεσβεία καὶ ὡς εἰπεῖν ἔκπεμψις, ὡς ἀπὸ τοῦ ἐξίημι ἐξήσω, ὅθεν καὶ ἔξεσις παρ' Ἡροδότῳ (5, 40.) ἡ ἀπόπεμψις. διὸ ὑποκαταβὰς ἔφη, πρὸ γὰρ ἧκε πατήρ. ὅθεν γὰρ τὸ προῆκεν, ἐκεῖθεν καὶ ἡ ἐξεσία. Eust.

V. 21. παιδνός] παῖς νέος. Vulg. Παιδνός, ὁ παῖς, παρὰ τὸ παίζειν, ὁμοίως τῷ ὀλοφυδνός, καὶ ἀκιδνός, καὶ τοῖς τοιούτοις. πολὺς δὲ ἔπαινος τοῦ Ὀδυσσέως, τὸ ἐν παιδικῇ ἡλικίᾳ δι' ὑπερβολὴν συνέσεως πρέσβιν δημοσίᾳ πεμφθῆναι οὐ παρὰ μόνου παιδός, ἀλλὰ καὶ τῶν γερόντων. Eust.

Ἴφιτος αὖθ' ἵππους διζήμενος, αἵ οἱ ὄλοντο,
δώδεκα θήλειαι, ὑπὸ δ' ἡμίονοι ταλαεργοί·
αἳ δή οἱ καὶ ἔπειτα φόνος καὶ μοῖρα γένοντο,
ἐπειδὴ Διὸς υἱὸν ἀφίκετο καρτερόθυμον,
φῶθ', Ἡρακλῆα, μεγάλων ἐπιΐστορα ἔργων,
ὅς μιν ξεῖνον ἐόντα κατέκτανεν ᾧ ἐνὶ οἴκῳ·

V. 22. Ἴφιτος] Ἴφιτος, Εὐρύτου μὲν παῖς, Οἰχαλιεὺς δὲ τὸ γένος, ἀπολομένων αὐτῷ τῶν ἵππων, περιῄει τὰς πέριξ ἐρευνῶν πόλεις, εἴ που φανεῖεν. Πολυΐδου δὲ τοῦ μάντεως εἰπόντος αὐτῷ, μὴ παραγίνεσθαι εἰς Τίρυνθα χάριν ζητήσεως, οὐ γὰρ εἶναι συμφέρον, λέγεται παρακούσαντα παραγενέσθαι. τὸν δὲ Ἡρακλέα μηχανῇ τινι καὶ στρατηγίᾳ συνεφελκυσάμενον αὐτὸν ἄγειν εἰς ἐπίκρημνον τεῖχος καὶ καταστρέψαι, διὰ τὸ πρὸς αὐτὸν ἔχειν ἔγκλημα καὶ τὸν πατέρα, ὅτι τελευτήσαντι αὐτῷ τὸν ἆθλον τὴν Ἰόλην γαμεῖν οὐκ ἔδωκαν, ἀλλ' ἀτιμάσαντες ἀπέπεμψαν. λέγεται δέ, ὡς ἀγανακτήσας ὁ Ζεὺς ἐπὶ τῇ ξενοκτονίᾳ, προσέταξε Ἑρμῇ, λαβόντα τὸν Ἡρακλέα πωλῆσαι δίκην τοῦ φόνου. τὸν δὲ εἰς Λυδίαν ἀγαγόντα τῇ τῶν τόπων βασιλευούσῃ Ὀμφάλῃ δοῦναι τριῶν τιμηθέντα ταλάντων. ἡ ἱστορία παρὰ Φερεκύδῃ (Fr. Sturz. no. 46. p. 185.). Vulg. Ἰστέον καὶ ὅτι Ὅμηρος μὲν ἀσαφῶς φησιν, ὡς κατέκτανεν Ἡρακλῆς καὶ πέφνε ξεῖνον ἐόντα τὸν Ἴφιτον. οἱ δὲ νεώτεροι ἀπὸ τείχους καταβληθῆναι αὐτὸν ὑφ' Ἡρακλέους φασίν. ὅπως δ' ἂν ἔχοι τὸ πρᾶγμα, ἥμαρτεν εἰς τὸν ξείνιον Δία ὁ Ἡρακλῆς, διὸ καὶ τῇ Ὀμφάλῃ φασὶν ὕστερον ἐδουλώθη Λυδῇ γυναικί. Eust.

διζήμενος] Τό, ἵππους διζήμενος, ταυτὸν ἐστι τῷ ἐρέων τουτέστιν ἐρευνῶν, ὃ μετ' ὀλίγα ἔθηκεν ἐν τῷ, ταύτας ἐρέων Ὀδυσσεὺς συνήντετο (v. 31.). τοῦ δὲ διζήμενος πρωτότυπον θέμα διζῶ διζήσω, ἐξ οὗ τὸ δίζημι, ὡς τοῦ αἰτῶ τὸ αἴτημι, καὶ τοῦ φιλῶ τὸ φίλημι, ὅθεν τό, φίλατο δαίμων, καὶ τοῦ αἰνῶ τὸ αἴνημι, ὡς τό, οὔ μιν ἔγωγ' αἴνημι. οὕτω δὲ καὶ ἐκ τοῦ δειπνῶ καὶ ἀριστῶ δείπνημι καὶ ἀρίστημι. Eust.

V. 26. μεγάλων ἐπιΐστορα ἔργων] μεγαλουργόν, ἐπὶ μεγάλοις ἔργοις ἱστορούμενον, ἐπιστήμονα. Vulg.

V. 27. ξεῖνον ἐόντα κατέκτανεν] ξενιζόμενον παρ' αὐτῷ. Οἱ δὲ νεώτεροί φασιν, ὡς ὅτι αὐτὸν ἀπὸ τοῦ τείχους κατέβαλεν. Ambr. B.

σχέτλιος, οὐδὲ θεῶν ὄπιν ᾐδέσατ', οὐδὲ τράπεζαν,
τὴν δή οἱ παρέθηκεν· ἔπειτα δὲ πέφνε καὶ αὐτόν·
ἵππους δ' αὐτὸς ἔχε κρατερώνυχας ἐν μεγάροισιν.
τὰς ἐρέων Ὀδυσῆϊ συνήντετο· δῶκε δὲ τόξον,
τὸ πρὶν μέν ῥ' ἐφόρει μέγας Εὔρυτος, αὐτὰρ ὁ παιδὶ
κάλλιπ' ἀποθνήσκων ἐν δώμασιν ὑψηλοῖσιν.
τῷ δ' Ὀδυσεὺς ξίφος ὀξὺ καὶ ἄλκιμον ἔγχος ἔδωκεν,
ἀρχὴν ξεινοσύνης προςκηδέος· οὐδὲ τραπέζῃ
γνώτην ἀλλήλων· πρὶν γὰρ Διὸς υἱὸς ἔπεφνεν

V. 28. σχέτλιος] Τό, ἔκτανε σχέτλιος, δοκεῖ μὲν ἐνταῦθα τὸν ἄδικον λέγειν, διά τὸ τὸν Ἡρακλέα τοιοῦτον ἐνταῦθα φανῆναι. δύναται δὲ καὶ νῦν τὸν σφοδρόν, ὡς καὶ ἐν ἄλλοις, δηλοῦν καὶ ἄξιον σχέσθαι καὶ τλῆναι. ἐφάνη δὲ τοιοῦτος καὶ ἐπ' ἄλλοις ὁ Ἡρακλῆς. Eust.

V. 29. ἔπειτα δέ] Ὁ δέ ἀντὶ τοῦ γάρ. καὶ αὐτὸν ἔκτανε καὶ τοὺς ἵππους κατέσχε. Ambr. B.

V. 31. τὰς ἐρέων] ἀνερευνῶν, ζητῶν, ὁμοίως τῷ, κνημοὺς ἐξερέῃσι (δ, 337.). δῆλον δὲ ὅτι καὶ πρὸ Ἡρακλέους ἦν ὁ Εὔρυτος. Ambr. B. Ὀδυσῆϊ] Eust. ad v. 22. Ὀδυσσεύς (scr. Ὀδυσεύς) συνήντετο.

V. 32. μέγας Εὔρυτος] ἐπὶ τοξικῇ. Vulg.

V. 34. ἄλκιμον ἔγχος] Ἄλκιμον ἔγχος καὶ ἐν ἄλλοις τὸ ἀλκιμοποιόν. Eust. cf. Il. γ, 338.

V. 35. ἀρχὴν ξεινοσύνης] ἀρχὴν ποιούμενα ξενίας. προςκηδέος] τοῖς ποιούσης κηδεμονικῶς ἔχειν πρὸς ἀλλήλους. Vulg. κηδεμονικῆς φιλίας. κήδονται γὰρ ἀλλήλων οἱ φίλοι καὶ ξένοι. Ambr. B. Τὸ προςκηδέος ἀντὶ τοῦ κηδεμονικῆς, φροντιστικῆς, ἐμφρόντιδος. ἐναντίον δὲ τῷ προςκηδέος τὸ δυςκηδέος καὶ ἀκηδέος. Eust.

οὐδὲ τραπέζῃ] Οὐδὲ ἕτερος ἑτέρῳ ἐπιξενωθέντι παρέθηκε τράπεζαν. Ambr. B.

V. 36. γνώτην ἀλλήλων] Τό, γνώτην ἀλλήλω, τὰ τῶν ἀντιγράφων ἀκριβέστερα κατὰ πτῶσιν γενικὴν τῶν πληθυντι-

Ἴφιτον Εὐρυτίδην, ἐπιείκελον ἀθανάτοισιν,
ὅς οἱ τόξον ἔδωκε. τὸ δ' οὔποτε δῖος Ὀδυσσεύς,
ἐρχόμενος πόλεμόνδε μελαινάων ἐπὶ νηῶν,
ᾑρεῖτ'· ἀλλ' αὐτοῦ μνῆμα ξείνοιο φίλοιο
κέσκετ' ἐνὶ μεγάροισι· φόρει δέ μιν ἧς ἐπὶ γαίης.
Ἡ δ' ὅτε δὴ θάλαμον τὸν ἀφίκετο δῖα γυ-
ναικῶν,
οὐδόν τε δρύϊνον προσεβήσατο, τόν ποτε τέκτων

κῶν γράφουσιν, ἀλλήλων, ἵνα λέγῃ ὅτι γνῶσιν ἴσχον ὁ εἷς τοῦ ἑτέρου. οὕτω δὲ καὶ τὸ εἰδέναι ἐν Ἰλιάδι γενικῇ συντάσσεται μετὰ τοῦ εὖ, οἷον, τόξον (scr. τόξων) εὖ εἰδώς (Il. β, 718.), καὶ ἑτέρως δέ, ὡς ἐκεῖ φαίνεται. σύστοιχα δὲ πάντως τὸ εἰδέναι καὶ τὸ γνῶναι καὶ τὰ ἐξ αὐτῶν. Eust. cf. Il. β, 823. μάχης εὖ εἰδότε πάσης. ρ, 5. οὐ πρὶν εἰδυῖα τόκοιο. infra ψ, 109. γνωσόμεθ' ἀλλήλων.

V. 38. ὅς οἱ τόξον ἔδωκε] Τρίτον εἴρηκε τὴν δόσιν, ἐπεὶ διὰ μέσου τινὰ παραδιηγεῖται. Vulg. Ἐπιφέρει τὴν ἐξ ἀρχῆς πρότασιν τό, ὅς οἱ τόξον ἔδωκε. Eust.

τὸ δ' οὔ ποτε] Δοκεῖ μὲν παρέλκειν τὸ ποτέ. ἴσως δέ φησιν, οὐδὲ ἄλλοτε. Ambr. B.

V. 40. ᾑρεῖτ'] ἐλάμβανεν. Vulg.

μνῆμα] Τό, μνῆμα ξένου, ἀντὶ τοῦ, μνήμη καὶ ἐνθύμησις, καὶ ὡς οἱ πολλοὶ λέγουσι, μνημόσυνον, ὁποίου τινὸς χάριν καὶ Ὀδυσσεὺς τὸ τοῦ Ἰφίτου τόξον ἀφεὶς ἐν τῷ οἴκῳ, ἡνίκα εἰς Τροίαν ἔπλεε, πολλὴν πιθανότητα τῇ κατὰ τῶν μνηστήρων τοξείᾳ νῦν περιεποιήσατο. οὕτω καὶ Διομήδης τὸ τοῦ Βελλεροφόντου ἔκπωμα τὸ δοθὲν τῷ πάππῳ Οἰνεῖ ἔλιπεν ἰὼν ἐν δώμασι, καθὰ Ἰλιὰς δηλοῖ (ζ, 221.), ἵνα μὴ ἄλλως ἀπολωλότι συναπέλθοι καὶ τὰ τῆς φιλίας καὶ οἷον συνθάνοι τῷ ξείνῳ, ἀλλ' ὑπὲρ γῆς καὶ εἰσέπειτα τῷ κειμελίῳ συναναφαίνοιτο. Eust.

V. 41. κέσκετο] ἔκειτο. Vulg. Τό, κέσκετο ἐνὶ μεγάροις, εἶχε μὲν γράψαι καί, κάτθετο ἐνὶ μεγάροις, εἵλετο δὲ τὸ ποιητικώτερον. ἔφη δὲ κοινότερον πρὸ τούτων ἐν τῷ, κειμήλια κεῖτο ἄνακτος (v. 9.). Eust.

ξέσσεν ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνεν,
ἐν δὲ σταθμοὺς ἄρσε, θύρας δ' ἐπέθηκε φαεινάς·
αὐτίκ' ἄρ' ἥγ' ἱμάντα θοῶς ἀπέλυσε κορώνης,
ἐν δὲ κληῗδ' ἧκε, θυρέων δ' ἀνέκοπτεν ὀχῆας,

V. 44. ξέσσεν ἐπισταμένως] ταυτόν ἐστι τῷ, ἐπελέκησεν. Eust.

V. 46. ἱμάντα θοῶς ἀπέλυσε κορώνης] Eust. ἱμάντα θοῶς ἀπέλυσε κορώνῃ, additque: Ἐνταῦθά φασιν οἱ παλαιοί, ὅτι τὸ κλεῖθρον ἑκατέρωθεν ἐξήρτητο πρός τινα κρίκον, ὥςτε δι' οὗ μὲν ἑλκομένου πρὸς τῷ σταθμῷ κεκλεῖσθαι, δι' οὗ δὲ ἀνοίγεσθαι εἰς τοὐναντίον ἑλκομένου. ὡς εἶναι δύο ἱμάντας, τὸν μὲν κλείοντα, τὸν δὲ ἀνοίγοντα, καὶ ἑκάτερον κρίκου τινὸς ἐξηρτῆσθαι, ὃν δὴ κρίκον ἔοικε κατὰ τοὺς οὕτω λέγοντας κορώνην ὁ ποιητὴς ἐνταῦθα καλεῖν, ἧς τὸν ἱμάντα ἡ Πηνελόπη ἀπέλυσε. δυνατὸν δὲ καὶ ἄλλως, ἕνα ἱμάντα εἶναι τὸν ἀνοίγοντα τὸ ἐντὸς κλεῖθρον. εἰ δὲ γράφεται, ἱμάντα θοῶς ἀπέλυσε κορώνης, ἔστι νοῆσαι, ὅτι περ ἱμάς τις ἐκδεδεμένος τοῦ ἔσω μοχλοῦ ἐξήρτητο τῆς ἔξω κορώνης, ἧς ἀπέλυσεν αὐτὸν ἡ Πηνελόπη. — ἀπέλυσε κορώνης] Τὸ κλεῖθρον ἑκατέρωθεν ἐξήρτητο πρὸς κρίκον, ὥςτε δι' οὗ διελκομένου εἰς τοὐναντίον ἀνοίγεσθαι (Supplenda haec interpretatio, manea sub finem, ex Eust. verbis cit.). κορώνης] κρίκου, κόρακος. Vulg. cf. ad α, 441.

V. 47. ἐν δὲ κληῗδ' ἧκε] Τό, κληῗδα ἐνῆκε, θυρέων δ' ἀνέκοπτεν ὀχῆας, οὕτω πως καθιστῶσιν (οἱ παλαιοί). ὀχῆάς φασιν οὐ τοὺς ἔνδον μοχλούς, ἢ δύο τυχὸν ὄντας, ἢ ἕνα μέν, ἐσχηματισμένον δὲ πληθυντικῶς κατὰ σχῆμα ποιητικόν, ἀλλὰ τὰς λεγομένας βαλάνους τὰς ἐν τῷ χελωνίῳ καταντικρὺ τῆς κλειδός, αἳ περιάγονταί φασι καὶ ἀνοίγονται. δοκοῦσι δὲ εἶναι αὗται, ἃς νῦν διαδρόμους φαμέν. διὸ καὶ ἄντα τιτύσκεται, δηλαδὴ καταστοχάζεται τῶν βαλάνων ἐν τῷ ἀνοίγειν, ὡς ἂν αἱ βάλανοί φασιν ἀντίαι γένωνται τοῖς γόμφοις τῆς κλειδός. ἵνα λέγῃ, ὅτι ἐνῆκεν ἡ Πηνελόπη τὴν κλεῖδα, καὶ ἀνέκοπτεν ἤγουν ἀνέκρουεν, ἀνώθει, τὰς βαλάνους, τιτυσκομένη, ὡς εἴρηται. — δυνατὸν οὖν καὶ ἄλλως εἰπεῖν, ὅτι πρῶτα μὲν ἱμάντα προςδεδεμένον τῇ κορώνῃ, ὁποία τις ἂν καὶ εἴη αὕτη εἴτε κόραξ εἴτε κρίκος, ἀπέλυσεν ἤτοι ἔλυσεν, ὡς εἰ καὶ τις δεσμὸν ἴηλας, κατὰ τὸν ποιητήν (v. θ, 443. 447.), εἶτα λύσει. καὶ τὸν ἱμάντα οὕτω λύσασα ἐνῆκε τὴν προῤῥηθεῖσαν εὐκαμπέα κληῗδα διά τινος κατὰ τὰς θύ-

ἄντα τιτυσκομένη· τὰ δ' ἀνέβραχεν, ἠΰτε ταῦρος,
βοσκόμενος λειμῶνι· τόσ' ἔβραχε καλὰ θύρετρα,
πληγέντα κληῗδι, πετάσθησαν δέ οἱ ὦκα.
ἡ δ' ἄρ' ἐφ' ὑψηλῆς σανίδος βῆ· ἔνθα δὲ χηλοὶ
ἕστασαν· ἐν δ' ἄρα τῇσι θυώδεα εἵματ' ἔκειτο.
ἔνθεν ὀρεξαμένη, ἀπὸ πασσάλου αἴνυτο τόξον
αὐτῷ γωρυτῷ, ὅς οἱ περίκειτο φαεινός.

ρας ὀπῆς, καὶ ἅμα τούς τε ἔσω ἀνέκοπτε μοχλοὺς τῶν θυρῶν διὰ τῆς κληῗδος, καὶ τὰς θύρας δὲ αὐτίκα συγκόψασα κατὰ τὸ σιωπώμενον ἤνοιξεν, ὡς δηλοῖ τό, τὰ δ' ἀνέβραχεν. Eust.

ἀνέκοπτεν] ἀνέκρουεν, ἀνώθει. ὀχῆας] Νῦν, τὰς λεγομένας βαλάνους τὰς ἐν τῷ λεγομένῳ χελωνίῳ κατ' ἀντικρὺ τῆς κλειδός, ἃς περιάγονται καὶ ἀνοίγονται. Vulg. τὰς βαλάνους. ἐν Ἰλιάδι δέ (μ, 455.), τοὺς μοχλούς. Ambr. B.

V. 48. τὰ δ' ἀνέβραχεν] Ὡς ἐν Ἰλιάδι (ε, 749.) διὰ τοῦ, αὐτόματοι πύλαι μύκον, τὴν ἄνοιξιν ἐδήλωσε τῶν θυρῶν, οὕτω καὶ ἐνταῦθα διὰ τοῦ ἀνέβραχεν, ἀρκεσθεὶς καὶ νῦν ἐκ τοῦ παρακολουθοῦντος δηλῶσαι αὐτὸ τὸ ἔργον. παρακολουθεῖ γὰρ τῇ τῶν ἀσφαλῶν θυρῶν ἐκπετάσει τὸ ἀναβραχεῖν, καθὰ καὶ τὸ μυκᾶσθαι, ἃ καὶ ἀμφότερα ἐκ τῶν βοῶν τέτραπται. — τὸ δέ, τὰ δ' ἀνέβραχε, μετεσχημάτισται ἀπὸ τοῦ θηλυκοῦ γένους τῶν θυρῶν ὡς πρὸς τὰ ἐπαγόμενα καλὰ θύρετρα. Eust.

V. 50. πληγέντα κληῗδι] Τό, πληγέντα κληῗδι, ὅμοιον ὡς εἰ καὶ ἀνακοπέντα εἶπε, κατὰ τό, ἀνέκοπτεν ὀχῆας, ἐπεὶ καὶ ταυτόν ἐστι κόπτειν καὶ πλήττειν. Eust.

V. 51. χηλοί] Χηλοὶ καὶ ἐνταῦθα τὰ κιβώτια, ὡς καὶ ἐν Φαιακίᾳ (θ, 424. 438. coll. β, 339.). Id.

V. 53. ὀρεξαμένη] Τὸ ὀρεξαμένη ἀντὶ τοῦ, ἁπλώσασα, ἀναταθεῖσα (scr. ἀνατιθεῖσα), ἐξ οὗ καὶ ὀργυιά καὶ ὀργυιοῦσθαι παρὰ Λυκόφρονι (v. 1077.). Id.

V. 54. γωρυτῷ] τῇ θήκῃ τόξου. Vulg. ἐλύτρῳ τοῦ τόξου. καὶ ἔστι γωρυτῷ παρὰ τὸ ἀορεῖν τὸν ῥυτόν. Ambr. B. Τό, αὐτῷ γωρυτῷ, Ἀττικῶς ἀντὶ τοῦ, σὺν αὐτῷ γωρυτῷ. ἔστι δὲ γωρυτὸς ἡ τοῦ τόξου θήκη, ὡς χωροῦσα τὸ ῥυτόν, ὅ ἐστιν ἑλκυστὸν τόξον, ἵνα ᾖ χωρυτός, καὶ μεταλήψει τοῦ γ̄ γωρυτός. Eust.

ἑζομένη δὲ κατ' αὖθι, φίλοις ἐπὶ γούνασι θεῖσα,
κλαῖε μάλα λιγέως· ἐκ δ' ᾕρεε τόξον ἄνακτος.
ἡ δ' ἐπεὶ οὖν τάρφθη πολυδακρύτοιο γόοιο,
βῆ ῥ' ἴμεναι μέγαρόνδε μετὰ μνηστῆρας ἀγαυούς,
τόξον ἔχουσ' ἐν χειρὶ παλίντονον ἠδὲ φαρέτρην
ἰοδόκον· πολλοὶ δ' ἔνεσαν στονόεντες ὀϊστοί.
τῇ δ' ἄρ' ἅμ' ἀμφίπολοι φέρον ὄγκιον· ἔνθα σίδηρος
κεῖτο πολὺς καὶ χαλκός, ἀέθλια τοῖο ἄνακτος.
ἡ δ' ὅτε δὴ μνηστῆρας ἀφίκετο δῖα γυναικῶν,
στῆ ῥα παρὰ σταθμὸν τέγεος πύκα ποιητοῖο,

V. 56. ἐκ δ' ᾕρεε] ἤγουν ἐξῄρει καὶ ἐξέβαλλε γωρυτοῦ, ὃ καὶ ὅμοιόν ἐστι τῷ, ἐξείλετο ὀϊστόν, ἐν Ἰλιάδι, τουτέστι τῆς φαρέτρης ἐξήγαγε. ταυτὸν γάρ τι τό, ἐξῄρει τόξον γωρυτοῦ, καί, ἐξείλετο φαρέτρης ὀϊστόν. Eust.

V. 61. ὄγκιον] Ὄγκιον ἢ ὀγκίον παροξυτόνως. ἔστι δέ φασιν ὄγκιον ἀγγεῖον, ἐν ᾧ ἔκειντο ὄγκοι. λέγονται δέ φασιν ὄγκοι οἱ πώγωνες τῶν ἀκίδων, καθὰ δηλοῖ καὶ τό, ὡς οἶδε (scr. ὡς δὲ ἴδεν) νεῦρόν τε καὶ ὄγκους ἐκτὸς ἐόντας (Il. δ, 151.). ἔστι δέ φασι καὶ ἡ λέξις αὕτη τῶν ἅπαξ εἰρημένων παρὰ τῷ ποιητῇ. βουλόμενοι δὲ εἰπεῖν καὶ ὡς περιεκτικὴ λέξις ἐστὶ τὸ ὄγκιον, φράζουσιν ἄλλως γλαφυρώτερον, ὅτι συνακτικόν ἐστι τῶν ὄγκων ἀγγεῖον, ὡς κρεῖον, τὸ κρεωδόχον ἀγγεῖον. τοῦτο δὲ ἀναγκάζοι ἂν ἴσως τὸ ὄγκιον καὶ κατὰ τὸ κρεῖον γράφεσθαι. τέως γε μὴν ὄγκιον ἡ θήκη φασὶ τῶν ἀκίδων, καὶ εἴρηταί φασι παρὰ τὸ ὀγκῶδες εἶναι. ἰστέον δέ, ὡς εἰ καὶ ἐχρῆν προπερισπᾶσθαι τὴν λέξιν περιεκτικῷ τύπῳ, κατὰ τὸ ᾠδεῖον καὶ τὸ μουσεῖον καὶ τὸ προσεχῶς ῥηθὲν κρεῖον, ἀλλ' ἡ τῶν ἀντιγράφων παράδοσις μὴ ἔχουσα οὕτως οὐχ οἷα τε ἐστὶ βίαν παθεῖν. ἐν μέντοι ῥητορικῷ λεξικῷ εὕρηται τὸ ὄγκιον καὶ τῇ αῑ διφθόγγῳ παραληγόμενον. Eust. Προπαροξυτόνως τὸ ὄγκιον. ἔστι δὲ κυρίως τὸ δεκτικὸν τῶν ὄγκων ὅ ἐστιν ἀκίδων. Ambr. B. Ὄγκιον. ἀγγεῖον, ἐν ᾧ οἱ πελέκεις κεῖνται. ἀπὸ τοῦ ἐγκεῖσθαι, ἢ παρὰ τὸ ὀγκώδη εἶναι. Apollon.

V. 62. τοῖο] τοῦ ἰδίου. Vulg. ἤγουν τοῦ βασιλέως Ὀδυσσέως. Eust.

ἄντα παρειάων σχομένη λιπαρὰ κρήδεμνα.
[ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη.]
αὐτίκα δὲ μνηστῆρσι μετηύδα, καὶ φάτο μῦθον·
Κέκλυτέ μευ, μνηστῆρες ἀγήνορες, οἳ τόδε δῶμα
ἐχράετ' ἐσθιέμεν καὶ πινέμεν ἐμμενὲς αἰεί,
ἀνδρὸς ἀποιχομένοιο πολὺν χρόνον· οὐδέ τιν' ἄλλην
μύθου ποιήσασθαι ἐπισχεσίην ἐδύνασθε,

V. 69. *ἐχράετε*] ἐβιάσασθε, ἐβαρήσατε (ed. ant. ἐβαρίσατε). Vulg. Τὸ ἐχράετε ἀντὶ τοῦ ἐβαρύσατε, ἐπιπεσόντες ἐβιάσασθε. Eust. v. ad ε, 396. κ, 64.

V. 71. *μύθου*] Ἐν τῷ, μύθου ἐπισχεσίην, οἱ παλαιοὶ μῦθον μὲν ἐνταῦθα ἰδίως τὴν στάσιν λέγουσιν, ἐπεὶ καὶ Ἀνακρέων, (Fragm. Fisch. 47.) τοὺς ἐν Σάμῳ ἐθέλων εἰπεῖν στασιαστάς, μυθηταὶ δ' ἐν νήσῳ, φησί, διέπουσιν ἱερὸν ἄστυ (Vulg. ed. ant. μυθηταὶ δ' ἀννήσῳ μεγίστῃ διέπουσιν ἱερὸν ἄστυ, ἀντὶ τοῦ, στασιασταί, μυθηταί. ed. rec. ἂν νήσῳ. Barn. ἐνὶ νήσῳ. Apollon. ὁ δὲ Ἀνακρέων μυθιήτας τοὺς στασιώτας εἶπεν. Etymol. M. ὅθεν καὶ Ἀνακρέων ἐν τῷ δευτέρῳ τῶν μελῶν, μυθίας, τοὺς στασιαστάς, ἐπὶ τῶν ἁλιέων λέγει. Villois. apud utrumque corr. μυθητάς. Buttm. versum Anacr. ad Ionicum modum ita refingit: μυθιῆται δ' ἀνὰ νῆσον διέπουσιν ἱρὸν ἄστυ), ἀντὶ τοῦ, στασιασταὶ ἐπίῤῥητοι (Vulg. ἀντὶ τοῦ, στασιασταί, μυθηταί). ἢ ἄλλως, ἐν μύθοις καὶ μόνοις ἔχοντες τὸ σεμνόν. ἢ καὶ ἀγορηταὶ βλαβεροί. Eust.

ἐπισχεσίην] Ἐπισχεσίαν, τὴν πρόφασιν (λέγουσιν), ἐπεί περ οἱ προφασιζόμενοι ἐπέχουσιν, ὅ ἐστι μένουσιν, ἐννοούμενοι τί ἂν εἴποιεν. ὅθεν διὰ τὸ οὕτως ἐπιμένειν καὶ μύνην τὴν τοιαύτην ἐπισχεσίην μετ' ὀλίγα ἐρεῖ (v. 111.) ἐν τῷ, ἀλλ' ἄγε μὴ μύνῃσι παρέλκετε, ἤγουν προφάσεσιν, ἵνα ᾖ μύνη οἱονεί τις μονή. μονῆς γάρ τινος χρεία τοῖς προφασιζομένοις καὶ ἐπίσχουσιν ἤτοι ἐπέχουσιν. ἀφ' ἧς λέξεως καὶ οἱ ἐφεκτικοὶ σοφοὶ παρὰ τοῖς παλαιοῖς, ὅ ἐστι σκεπτικοί. ἐκ δέ γε τοῦ μονή γίνεται Αἰολικῶς μύνη, κατά τε συνήθη βαρὺν τόνον καὶ τροπὴν τοῦ ο, ὁμοίως τῷ, ὄνομα ὄνυμα, ἀσσότεροι ἀσσύτεροι, καὶ τοῖς ὁμοίοις. λέγει

ἀλλ' ἐμὲ ἱέμενοι γῆμαι, θέσθαι τε γυναῖκα.
ἀλλ' ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ' ἄεθλον.
θήσω γὰρ μέγα τόξον Ὀδυσσῆος θείοιο·
ὃς δέ κε ῥηΐτατ' ἐντανύσῃ βιὸν ἐν παλάμῃσιν,
καὶ διοϊστεύσῃ πελέκεων δυοκαίδεκα πάντων,
τῷ κεν ἅμ' ἑσποίμην, νοσφισσαμένη τόδε δῶμα
κουρίδιον, μάλα καλὸν, ἐνίπλειον βιότοιο·
τοῦ ποτὲ μεμνήσεσθαι ὀΐομαι, ἔν περ ὀνείρῳ.
Ὣς φάτο· καὶ ῥ' Εὔμαιον ἀνώγει, δῖον ὑφορβόν,
τόξον μνηστήρεσσι θέμεν, πολιόν τε σίδηρον.
δακρύσας δ' Εὔμαιος ἐδέξατο καὶ κατέθηκεν·
κλαῖε δὲ βουκόλος ἄλλοθ', ἐπεὶ ἴδε τόξον ἄνακτος.

δέ φασι καὶ Ἀλκαῖος τὸ προφασίζεσθαι, μύνεσθαι, οἷον, οὐδέ τι μυνάμενος ἄλλο νόημα (Vulg. ἀλλὰ τὸ νόημα. ed. rec. ἄλλο τὸ νόημα. Blomfield. corr. ἄλλα τὸ νόημα. Addit Vulg. ἀντὶ τοῦ, προφασιζόμενος, ἀλλαχοῦ ἀποτρέπων τὸ ἑαυτοῦ νόημα). ἕτεροι δὲ μύνην φασὶ τὴν πρόφασιν παρὰ τὸ μύειν τὸ στόμα. Eust. Ἐπισχεσίην. πρόφασιν. Apollon. cit. n. l.

V. 72. ἀλλ' ἐμὲ ἱέμενοι γῆμαι] Τό, ἀλλ' ἐμὲ ἱέμενοι γῆμαι, σχήματος ἔχει ἀλλαγήν. τὸ γὰρ ἀκόλουθον ἦν οὕτως. οὐδέ τινα ἄλλην πρόφασιν ποιήσασθαι ἔχετε, ἀλλὰ τὸ ἐμὲ ἵεσθαι γῆμαι. Eust.

V. 73. τὸ δὲ φαίνετ' ἄεθλον] τὸ ἐμὲ γῆμαι. Vulg. Ἀντὶ τοῦ, ἐπειδὴ ὁ ἀγὼν ἐπ' ἐμοί ἐστι, καὶ ἐπὶ τῷ ἐμὲ γῆμαι, καὶ ἐγὼ κεῖμαι προφανῶς τοῦ ἀγῶνος ἔπαθλον. ὃ μετ' ὀλίγα (v. 106.) ὁ υἱὸς ἑρμηνεύων φησί, φαίνετ' ἄεθλον οἵη νῦν οὐκ ἔστι γυνή, καὶ ἑξῆς. Eust. Ἐνταῦθα δέ, εἰ μὴ τό, ἀλλ' ἄγετε, νοηθείη ἀντὶ τοῦ, ἀλλὰ σπεύδετε, δοκεῖ ἔλλειψις εἶναι, ἵνα λέγῃ ὅτι, ἀλλ' ἄγε πρὸς ἀγῶνα ἑτοιμάσασθε, ἤ τι τοιοῦτον. Id.

V. 74. θήσω] προτίθημι. Vulg.

V. 76. δυοκαίδεκα πάντων] Εἰ γὰρ ἐν μέσοις ἐστὶ (Buttm. conj. ἔστη) τὸ βέλος, ἔξαθλος ἦν, ὡς ἐλλείπων τῇ δυνάμει. Vulg.

Ἀντίνοος δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Νήπιοι ἀγροιῶται, ἐφημέρια φρονέοντες,
ἆ δειλώ, τί νυ δάκρυ κατείβετον, ἠδὲ γυναικὶ
θυμὸν ἐνὶ στήθεσσιν ὀρίνετον; ᾗτε καὶ ἄλλως
κεῖται ἐν ἄλγεσι θυμός, ἐπεὶ φίλον ὤλεσ' ἀκοίτην.
ἀλλ' ἀκέων δαίνυσθε καθήμενοι, ἠὲ θύραζε
κλαίετον ἐξελθόντε, κατ' αὐτόθι τόξα λιπόντε,
μνηστήρεσσιν ἄεθλον ἀάατον· οὐ γὰρ ὀΐω

V. 84. *ἐνένιπτεν*] v. ad σ, 321.

V. 85. *ἐφημέρια φρονέοντες*] τὸ παραυτίκα μόνον φρονοῦντες, οὐ προνοοῦντες τοῦ μέλλοντος. Vulg. τὸ παρὸν μόνον καὶ παραυτίκα σκοπούμενοι. πρόνοιαν δὲ τοῦ μέλλοντος μη τιθέμενοι. Eust.

V. 88. *κεῖται ἐν ἄλγεσι θυμὸς*] Ἀντὶ τοῦ, ἀπρακτεῖ διὰ τὸ πολὺ τοῦ ἄλγους. ἐντεῦθεν δὲ συνθέντες οἱ μεθ' Ὅμηρον, ἐγκεῖσθαί φασι τὸ ἐνστατικῶς περί τι ἔχειν. Eust.

V. 89. *ἀλλ' ἀκέων δαίνυσθε*] v. Eust. ad υ, 184.

V. 90. *τόξα*] Νῦν, τὴν σύμπασαν σκευὴν (τοξικήν add. Barn.). Vulg. Τὸ τόξα πληθυντικῶς ἔφη ἀντὶ τοῦ τόξον, εἰωθὼς ποιεῖν καὶ οὕτω, καὶ μᾶλλον, ὅτε τῷ τόξῳ συννοοῦνται καὶ οἱ ὀϊστοί. Eust.

V. 91. *ἀάατον*] ἐπιβλαβῆ, ἢ ἄνευ βλάβης. Vulg. Ἀάατος καὶ νῦν ὁ ἀτηρός, παρὰ τὴν ἄτην, ἐξ ἧς κατὰ στέρησιν ἄατος, ὁ ἀβλαβής, καὶ κατὰ δευτέραν στέρησιν ἀάατος, ὁ μὴ ἀβλαβής, ἀλλὰ δηλαδὴ βλαβερὸς ἤτοι ἀτηρός. αἱ γὰρ δύο στερήσεις ἑαυτὰς φθείρασαι ἀφιᾶσι τὴν ἐξ ἀρχῆς λέξιν δηλοῦν τὸ οἰκεῖον. δύναται δὲ ἄλλως ἀάατος εἶναι καὶ ὁ πολυβλαβής, ὡς ἀπὸ τοῦ ἀάσαι τὸ βλάψαι, ἐξ οὗ ἄατος ἁπλῶς ὁ βλαβερός, καὶ κατ' ἐπίτασιν ἀάατος, ὁ πάνυ τοιοῦτος. Eust. *Ἀάατος*. ὁ ἀβλαβὴς καὶ εὐχερής — ἄνευ ἄτης. ἐνίοτε δὲ τὸν ἐπιβλαβῆ καὶ δυσχερῆ (cit. n. l.). Apollon. *Ἀάατος*, ἀντὶ τοῦ ἄατος, πλεονασμῷ τοῦ ἑνὸς ᾱ. *Ἄατος*, ἄνευ ἄτης, ὅ ἐστιν ἀβλαβής. δύναται δὲ καὶ ὁ χαλεπὸς καὶ βλαβερὸς ἀκούεσθαι. ἴσως καὶ αὐτὸ παρὰ τὴν ἄτην, ἐπιτάσει τοῦ ᾱ. Etymol. M. cf. χ, 5. Il. ξ, 271.

ῥηϊδίως τόδε τόξον ἐΰξοον ἐντανύεσθαι.
οὐ γάρ τις μέτα τοῖος ἀνὴρ ἐν τοῖσδεσι πᾶσιν,
οἷος Ὀδυσσεὺς ἔσκεν· ἐγὼ δέ μιν αὐτὸς ὄπωπα –
καὶ γὰρ μνήμων εἰμί – πάϊς δ' ἔτι νήπιος ἦα.
Ὣς φάτο· τῷ δ' ἄρα θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει,
νευρὴν ἐντανύσειν, διοϊστεύσειν τε σιδήρου.
ἤτοι ὀϊστοῦ γε πρῶτος γεύσεσθαι ἔμελλεν
ἐκ χειρῶν Ὀδυσῆος ἀμύμονος, ὃν ποτ' ἀτίμα,
ἥμενος ἐν μεγάροις, ἐπὶ δ' ὤρνυε πάντας ἑταίρους.
τοῖσι δὲ καὶ μετέειφ' ἱερὴ ἲς Τηλεμάχοιο·
Ὢ πόποι, ἦ μάλα με Ζεὺς ἄφρονα θῆκε Κρονίων·
μήτηρ μέν μοί φησι φίλη, πινυτή περ ἐοῦσα,
ἄλλῳ ἅμ' ἕψεσθαι, νοσφισσαμένη τόδε δῶμα·
αὐτὰρ ἐγὼ γελόω, καὶ τέρπομαι ἄφρονι θυμῷ,

V. 93. μέτα] Ἀντὶ τοῦ, ὑπάρχει. Vulg. Τὸ μετά (ita Eust.) ἔστι μὲν ταυτὸν τῇ ἐν προθέσει. νοηθὲν δὲ ὑπερβατῶς μετὰ τοῦ, ἐν τοῖσδεσι πᾶσιν, ἐκ παραλλήλου κεῖται μετὰ ἰσοδυνάμου προθέσεως. Eust.

τοῖσδεσι] Τὸ τοῖσδεσιν οὐκ ἂν προπαροξυνθείη εὐλόγως διὰ τὸ πρὸ δύο συλλαβῶν ἔχειν τὸν τόνον. οὐ γὰρ ἂν ἡ ἐπέκτασις ἀλλοιώσῃ τὴν τόνωσιν τοῦ ἄρθρου τῆς δοτικῆς. Id.

V. 99. ἀτίμα] ὕβριζεν. Vulg. Ἐν τῷ, ὃν ποτ' ἀτίμα, σημείωσαι τὸ ποτέ, οὐ παλαιὸν χρόνον δηλοῦν οὐδὲ ἐνταῦθα, ἀλλ' ἁπλῶς οὕτω κείμενον ὡς ἐκ περιττοῦ. δῆλον γὰρ ὡς χθὲς ἠτίμα τὸν Ὀδυσσέα. ἔστι δὲ ὅμως καὶ τοῦτο χρόνου δηλωτικόν, εἰ καὶ μὴ μακροῦ κατὰ κοινὴν συνήθειαν. καὶ γὰρ καὶ ὁ χθὲς ἀτιμῶν ποτὲ ἀτιμᾷ, καὶ ὁ σήμερον δὲ ποιῶν τι ποτὲ ποιεῖ. οὕτω δὲ καὶ ὁ νῦν αὐτίκα ἐνεργῶν ποτὲ ἐνεργεῖ. γράφεται δὲ καί, ὃν τότ' ἀτίμα. Eust.

ἀλλ' ἄγετε, μνηστῆρες, ἐπεὶ τόδε φαίνετ' ἄεθλον,
οἵη νῦν οὐκ ἔστι γυνὴ κατ' Ἀχαιΐδα γαῖαν,
οὔτε Πύλου ἱερῆς, οὔτ' Ἄργεος, οὔτε Μυκήνης·
[οὔτ' αὐτῆς Ἰθάκης, οὔτ' ἠπείροιο μελαίνης·]
καὶ δ' αὐτοὶ τόδε γ' ἴστε· τί με χρὴ μητέρος αἴνου;
ἀλλ' ἄγε μὴ μύνῃσι παρέλκετε, μηδ' ἔτι τόξου

V. 106. *ἀλλ' ἄγετε*] Ὅρα τὸ ἄγε καὶ τὸ ἄγετε, τὸ μὲν ἑνικῶς τὸ δὲ πληθυντικῶς, ἐπὶ πλήθους ἄμφω κατὰ Ὁμηρικὴν συνήθειαν καὶ ἐνταῦθα λεχθέντα ἐν τῷ, ἀλλ' ἄγετε μνηστῆρες, καί, ἀλλ' ἄγε μὴ παρέλκετε (v. 111.) (v. ad β, 212. 252. δ, 776. θ, 250. 389.) Ἐν ᾧ καὶ σημείωσαι κειμένην οὐ πάνυ συνήθη τῷ ποιητῇ ἐπανάληψιν. εἰπὼν γάρ, ἀλλ' ἄγετε μνηστῆρες, ἐπεὶ τόδε φαίνετ' ἄεθλον, καὶ ἀπαιωρήσας οὕτω τὸν λόγον, ἐπάγει τό, ἀλλ' ἄγε μὴ μύνησι παρέλκετε. Eust.

φαίνετ' ἄεθλον] Τὸ γῆμαι τὴν Πηνελόπην. εἰ γὰρ τὸν ἀγωνισμὸν ἔλεγεν, ἀρσενικὸν ἂν ἔφη. Ambr. B. Τό, φαίνεται ἄεθλον, ἀντὶ τοῦ, πέφηνε καὶ εἰς φῶς ἔκκειται, ὁποῖα τὰ ἐν τοῖς ἀγῶσι προκείμενα ἔπαθλα. χρῆσις δὲ τοῦδε τοῦ φαίνεται καὶ πρὸ τούτων ἐν τῷ, τὰ μὲν ὑμέτερα ἀεικέα ἔργα φαίνεται. Eust.

V. 107. *κατ' Ἀχαιΐδα γαῖαν*] Γενικῶς εἶπε, καὶ αὖθις τοὺς ἐπισημοτάτους τόπους ἐδήλωσε. Ambr. B. Τό, οὔτε Πύλου ἱερῆς οὔτε Μυκήνης, ἐκ περισσοῦ κεῖσθαι δοκεῖ. συνεπινοοῦνται γὰρ τῷ Ἄργει καὶ αὗται, εἴπερ Ἄργος μὲν ἡ ὅλη τοῦ Πέλοπος νῆσος, Πύλος δὲ καὶ Μυκήνη ἐντὸς αὐτῆς. ἴσως οὖν ἢ τῷ ὅλῳ συνήθως τὰ μέρη συμπεριείληφεν ἁπλοϊκώτερον ὁ παῖς, ἢ ἐπίτηδες ἄλλως αὐτὸ πεποίηκεν, ἵνα μὴ μόνου Ἄργους μνησθεὶς δόξῃ τὴν μητέρα ἐξ ὀρθοῦ τῇ Ἀργείᾳ Ἑλένῃ συγκρίνειν, ἣν καὶ αὐτήν, ὡς εἰκός, δι' αἰδοῦς ἄγει ὡς ξεινοδόκον. Eust. Ἀχαιῒς γῆ δύναται νοηθῆναι νῦν ἡ κατὰ τὸ ῥηθὲν Ἴασον Ἄργος (v. ad σ, 246.), περὶ ὃ καὶ χώρα ἡ ἰδίως Ἀχαία λεγομένη. ἱερὴν δὲ Πύλον λέγει ἢ ἁπλῶς κατὰ καινὸν ἐπίθετον, ἱεραὶ γὰρ ἅπασαι πόλεις, ἢ καὶ διὰ τὰς ἐκεῖ θυσίας, ἃς ἡ ἀρχὴ τῆς γ ῥαψῳδίας προέφηνε. Id.

V. 110. *ἴστε*] γνωρίζετε. Ms. Barn.

V. 111. *μύνῃσι*] προφάσεσι. (παρὰ τὸ suppl. Buttm.) μύσαντα τὰ ὄμματα σκέπεσθαι (l. σκέπτεσθαι), τί χρὴ δρᾶν. τού-

δηρὸν ἀποτρωπᾶσθε τανυστύος, ὄφρα ἴδωμεν.
καὶ δέ κεν αὐτὸς ἐγὼ τοῦ τόξου πειρησαίμην·
εἰ δέ κεν ἐντανύσω, διοΐστεύσω τε σιδήρου,
οὔ κέ μοι ἀχνυμένῳ τάδε δώματα πότνια μήτηρ
λείποι ἅμ' ἄλλῳ ἰοῦσ', ὅτ' ἐγὼ κατόπισθε λιποίμην,
οἷός τ' ἤδη πατρὸς ἀέθλια κάλ' ἀνελέσθαι.
Ἦ, καὶ ἀπ' ὤμοιϊν χλαῖναν θέτο φοινικόεσσαν,
ὀρθὸς ἀναΐξας· ἀπὸ δὲ ξίφος ὀξὺ θέτ' ὤμων.

του γὰρ χάριν προφασίζονται, ἵνα ἐπιμείνωσιν. οἱ δέ, κατασιωπῶντες, παρὰ τὸ μύειν τὸ στόμα. Vulg. v. ad v. 71.

παρέλκετε] ὑπερτίθεσθε. Id. Τό, ἀλλ' ἄγε μὴ μύνῃσι παρέλκετε, εἰς ἀπροφάσιστον ἐρεθίζει σπουδήν. μύνη γάρ, ὡς πρὸ ὀλίγων ἐῤῥέθη (v. l c.), ἡ πρόφασις. Τὸ δὲ παρέλκειν ταυτὸν τῷ διατρίβειν ἐστίν, οἷον, οὔτι διατρίβω μητρὸς γάμον (υ, 341.). Eust.

V. 112. ἀποτρωπᾶσθε] ἀποτρέπεσθε. τανυστύος] τῆς τάσεως, τοῦ ἐντανυσμοῦ. Vulg. Ἡ τανυστύς, λέξις μὲν καὶ αὐτὴ ποιητική. γίνεται δὲ ἀπὸ τοῦ τανύειν, καὶ κεῖται ὑπὸ ἀναλογίαν τοῦ ὀϊζύς, ῥυστακτύς, βρωτύς, ἐδηδύς, καὶ τῶν ὁμοίων. Eust.

V. 114. σιδήρου] τῶν πελέκεων. Vulg.

V. 115. οὔ κέ μοι ἀχνυμένῳ] Ἰστέον ὅτι τό, οὐκ ἄν μοι ἀχνυμένῳ, γράφεται καί, ἀχνυμένη, ἡ μήτηρ δηλαδή. καὶ εὐοδοῦται καὶ τοῦτο εἰς ὀρθὴν ἔννοιαν. Eust.

V. 117. ἀνελέσθαι] ἀναλαβεῖν, μεταχειρίσασθαι, ὑποστῆναι. Ambr. B. Q.

V. 118. χλαῖναν] Ἡ χλαῖνα φανερῶς καὶ ἐνταῦθα μανδύας φαίνεται εἶναι. οὐ γὰρ ἀπεδύσατο χλαῖναν ὁ παῖς, ἀλλ' ἀπ' ὤμοιϊν ἔθετο, καθὰ καὶ ξίφος ὀξὺ ἀπ' ὤμων ἔθετο. Eust.

V. 119. ὀρθὸς ἀναΐξας] Ὅρα ὡς ἐν τῷ, ὀρθὸς ἀναΐξας, ἡ ἀνά πρόθεσις ἐκτείνει τὴν λήγουσαν διὰ τὴν ἐπιφερομένην ὀξεῖαν, λόγῳ κοινῆς συλλαβῆς. Eust.

πρῶτον μὲν πελέκεας στῆσεν, διὰ τάφρον ὀρύξας
πᾶσι μίαν μακρήν, καὶ ἐπὶ στάθμην ἴθυνεν·
ἀμφὶ δὲ γαῖαν ἔναξε· τάφος δ' ἕλε πάντας ἰδόντας,
ὡς εὐκόσμως στῆσε· πάρος δ' οὐ πώποτ' ὀπώπει.
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών, καὶ τόξου πειρήτιζεν.
τρὶς μέν μιν πελέμιξεν, ἐρύσσεσθαι μενεαίνων·
τρὶς δὲ μεθῆκε βίης, ἐπιελπόμενος τόγε θυμῷ,
νευρὴν ἐντανύσειν, διοϊστεύσειν τε σιδήρου.
καί νύ κε δή ῥ' ἐτάνυσσε, βίῃ τὸ τέταρτον ἀνέλκων,

V. 120. διὰ τάφρον ὀρύξας] Δηλονότι πρότερον ἴθυνε τὴν τάφρον, μετὰ ταῦτα ἔστησε. Ambr. B. Ὅτι τάφρος οὐ μόνον ἐπὶ πολλοῦ βάθους ὀρύγματος, ἀλλ' ἰδοὺ καὶ ἐπὶ ὀλιγίστου. τὸ γὰρ ἐπὶ τῇ στάσει τῶν πελέκεων ὄρυγμα τάφρον εἶπεν, ἥν μακρὰν μὲν ὀρύττει ὁ παῖς, ὅτι μηδὲ ἔδει πλάτους αὐτῇ, ἐπὶ στάθμην δὲ ἰθύνει, ὡς ἂν αἱ στειλειαὶ τῶν πελέκεων κατ' εὐθὺ ἐφεξῆς κείμεναι διοϊστευθῶσιν ἀκωλύτως. Eust.

V. 122. ἔναξε] συνεπίλωσεν. Vulg. Ἀντὶ τοῦ ἔνηξε (scr. ἔνησε), ὅ ἐστιν ἐσώρευσε. Ambr. B. Τὸ ἔναξεν ἀντὶ τοῦ ἐπίλησεν ἢ πατήσας ἢ χερσὶ συμπιλήσας. ἀπὸ τοῦ νάσσω δὲ ἡ λέξις γίνεται, ὅθεν καὶ ναστὸς ἄρτος, ὁ πυκνός. Eust. Ἔναξε. ἔσαξε καὶ συνεπλήρωσε. Apollon. ἔσαξεν, ἐπίλωσεν, συνεπλήρωσεν, ἐπιμελῶς ἐμέστωσεν. Hesych.

V. 123. ὀπώπει] θεασάμενος ἦν. Vulg. Τό, οὐπώποτ' ὀπώπει, οὐκ ἂν εἴη ζηλωτὸν ἐν γραφῇ πεζῇ διὰ τὸ ἐπάλληλον τῆς τῶν ἀφώνων ἀηδίας κατὰ τὴν ἐκφώνησιν. Eust.

V. 124. πειρήτιζε] διάπειραν ἐλάμβανεν. Vulg.

V. 125. πελέμιξεν] ἔκαμπτεν. Id. Πελεμίζειν ὅτι τὸ κινεῖν ἐστι καὶ μάλιστα βίᾳ, πολλαχοῦ δεδήλωται. Eust. v. Il. δ, 535. ε, 626. θ, 443. ν, 443. π, 108. 766. φ, 175.

V. 126. μεθῆκε βίης] Ἐν τῷ μεθῆκε βίῃ, καθ' ὑπερβατὸν ἡ σύνταξις. λέγει γάρ, ὅτι μενεαίνων ἦν ὁ νέος ἐρύσεσθαι βίῃ τὸ τόξον, ὡς δηλοῖ ἐπαχθὲν καὶ τό, ἐτάνυσεν ἂν βίῃ τὸ τέταρτον ἀνέλκων. Eust.

ἀλλ' Ὀδυσεὺς ἀνένευε, καὶ ἔσχεθεν ἱέμενόν περ.
τοῖς δ' αὖτις μετέειφ' ἱερὴ ἲς Τηλεμάχοιο·
Ὢ πόποι! ἦ καὶ ἔπειτα κακός τ' ἔσομαι καὶ ἄκικυς,
ἠὲ νεώτερός εἰμι, καὶ οὔπω χερσὶ πέποιθα
ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.
ἀλλ' ἄγεθ', οἵπερ ἐμεῖο βίῃ προφερέστεροί ἐστε,
τόξου πειρήσασθε, καὶ ἐκτελέωμεν ἄεθλον.
Ὣς εἰπὼν, τόξον μὲν ἀπὸ ἕο θῆκε χαμᾶζε,
κλίνας κολλητῇσιν ἐϋξέστῃς σανίδεσσιν·
αὐτοῦ δ' ὠκὺ βέλος καλῇ προσέκλινε κορώνῃ·
ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη.
τοῖσιν δ' Ἀντίνοος μετέφη, Εὐπείθεος υἱός·
Ὄρνυσθ' ἑξείης ἐπιδέξια πάντες ἑταῖροι,
ἀρξάμενοι τοῦ χώρου, ὅθεν τέ περ οἰνοχοεύει.

V. 129. ἀνένευε] Τό, Ὀδυσσεὺς ἀνένευεν, ἀντὶ τοῦ, ἐκώλυεν ἀνανεύων. διὸ καὶ ἑρμηνεύων ἐπήγαγε τό, καὶ ἔσχεθεν ἱέμενον. οὕτω δὲ καὶ τοῦ, κακὸς ἔσομαι, ἑρμηνεία τό, καὶ ἄκικυς. Eust.

V. 131. ἄκικυς] v. ι, 515. coll. λ, 392.

V. 137. ἐϋξέστῃς σανίδεσσιν] Εὐξέστας σανίδας τὰς θύρας λέγει, κορώνην δὲ (v. sequ.) τὸ τοῦ τόξου ἄκρον. ἔνθα τό. καλῇ κορώνῃ, ὅμοιόν τί ἐστι τῷ, χρυσέῃ κορώνη (η, 90.), ἐπεὶ πολλαχοῦ καλὸς ὁ χρυσός, καὶ κατὰ τὰ ἐξ αὐτοῦ. τινὲς δὲ κορώνην καὶ νῦν ἐνόησαν τὸ τῆς θύρας ἐπίσπαστρον. κρεῖττον δὲ ὅμως τὸ πρῶτον. Eust. v. ad α, 441. et η, 90.

V. 138. κορώνῃ] τῷ ἄκρῳ τοῦ τόξου. Vulg. v. ad v. antec.

V. 141. ὄρνυσθ'] ἀνίστασθε. ἐπιδέξια] ἐκ τοῦ δεξιοῦ μέρους. Vulg. Ἐπὶ δεξία, ἢ καὶ προπαροξυτόνως ἐπιδέξια κατὰ τὸ ἐνδέξια (v. ad ρ, 365.). Eust.

V. 142. ὅθεν τέ περ οἰνοχοεύει] Εὔλογόν φασιν, εἰς-

Ὣς ἔφατ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
Λειώδης δὲ πρῶτος ἀνίστατο, Οἴνοπος υἱός,
ὅ σφι θυοσκόος ἔσκε, παρὰ κρητῆρα δὲ καλὸν
ἷζε μυχοίτατος αἰεί· ἀτασθαλίαι δέ οἱ οἴῳ

ιόντων εἰς τὸν ἀνδρῶνα ἐν δεξιᾷ κεῖσθαι τὸν κρατῆρα. ἦν δὲ ὄφελος οὐδὲν τοῖς ἀδίκοις τοῦ ἐκ δεξιῶν ἄρξασθαι τῆς τόξου πείρας. Ἐλλειπτικῶς δὲ εἴρηται τὸ οἰνοχοεύει. λείπει γάρ, ὁ οἰνοχόος ἢ ὁ οἰνοχοεύων, νοούμενος κατὰ τὸ ἀπὸ κοινοῦ σχῆμα καὶ αὐτὸς ἐκ τοῦ ῥήματος. Eust.

V. 145. θυοσκόος] Ἰστέον ὅτι θυοσκόος ἐστὶν ὁ διὰ τοῦ θυμιᾶν ἢ ἱερεύειν μαντευόμενος. θύος μὲν γὰρ τὸ θέμα ἤγουν ἱερεῖον ἢ τὸ θυμίαμα. κοεῖν δὲ τὸ νοεῖν. ὅθεν καὶ μακκοᾶν, τὸ μὴ νοεῖν ἀλλ' ἀνοηταίνειν. θυοσκόος οὖν ὁ διὰ θυῶν κοῶν ἤτοι νοῶν τὰ μέλλοντα. καὶ ἄλλως δὲ θυοσκόος ὁ θύτης, ὁ τὰ θύη κέων, ἀπὸ τοῦ κέω τοῦ γραφομένου διὰ τοῦ ε̄ ψιλοῦ. ἐξ οὗ μετ' ὀλίγα καὶ τό, ἄγε δὴ πῦρ κεῖον ἐνὶ μεγάροισιν ὅ ἐστι καῦσον (v. 176.), ἀπὸ τοῦ κέον πλεονασμῷ τοῦ ῑ. Eust. ἱεροθύτης. Ambr. Q. Θυοσκόος. εἶδος μάντεως. ὁ διὰ τῶν θυμάτων ἢ θυμιαμάτων κοῶν, ὅ ἐστι συνιεὶς τὰ μέλλοντα. Apollon.

παρὰ κρητῆρα] Ὅτι μνηστῆρά τινα εἰπὼν ἐνταῦθα ὁ ποιητὴς παρὰ κρατῆρα καλὸν καθῆσθαι, δοκεῖ τισι περιεκτικῶς κρατῆρα λέγειν, ἔνθα κρατῆρες ἵσταντο ἐπεστεμμένοι ποτοῖο, ἢ μᾶλλον προσηγορικῶς διὰ τοῦ κρατῆρος κρατῆρας πολλοὺς δηλοῦν. οὐ γὰρ ἂν εἷς ἦν κρατὴρ τοῖς τοσούτοις. καλὸς δὲ ὁ τοιοῦτος διὰ τὸ ἐξ ὕλης τιμίας τοὺς κρατῆρας εἶναι. — Παρὰ κρητῆρι δὲ ὁ θυοσκόος ἵζει, ὡς τῶν μνηστήρων οἷα εἰκὸς δεδιότων, καθά που καὶ ἐλάλησαν, μή τις λαθὼν κρητῆρι φάρμακον ἐμβάλῃ καὶ αὐτοὺς πάντας ὀλέσῃ. Eust.

V. 146. μυχοίτατος] (ed. ant. μυχαίτατος) ἐνδότατος. Vulg. Τὸ μυχοίτατος, ὃν μυχαίτατόν φησιν ἡ μεθ' Ὅμηρον Ἀτθίς, ἔχει τι ῥητορικῆς ἀντιθέσεως πρὸς τό, Λειώδης δὲ πρῶτος ἀνίστατο. ἀντιθετικὸν γὰρ τό, πρῶτος ἀνίστατο ὁ ἵζων μυχοίτατος ἤγουν ἐνδότατος. γίνεται δὲ τὸ μυχοίτατος ἐκ τοῦ μυχός προσλήψει τοῦ ῑ, ὡς ἀδιάφορον ὂν εἴτε μυχοίτατος εἴπῃ τις εἴτε μυχώτατος. καὶ ἔστιν ὅμοιον τῷ πάρος παροίτατος, οὗ καὶ συγκριτικὸν ἐν Ἰλιάδι ἐστί, παροίτεροι ἵπποι (Il. ψ, 459. 480.), ὅπερ ἐστὶν ἔμπροσθεν ὄντες, προτρέχοντες. Σημείωσαι δὲ ὅτι καθὰ τὸ

ἐχθραὶ ἔσαν, πᾶσιν δὲ νεμέσσα μνηστήρεσσιν·
ὅς ῥα τότε πρῶτος τόξον λάβε καὶ βέλος ὠκύ.
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών, καὶ τόξου πειρήτιζεν·
οὐδέ μιν ἐντάνυσε· πρὶν γὰρ κάμε χεῖρας ἀνέλκων,
ἀτρίπτους, ἁπαλάς· μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
Ὦ φίλοι, οὐ μὲν ἐγὼ τανύω· λαβέτω δὲ καὶ ἄλλος.
πολλοὺς γὰρ τόδε τόξον ἀριστῆας κεκαδήσει
θυμοῦ καὶ ψυχῆς· ἐπειὴ πολὺ φέρτερόν ἐστιν

μυχοίτατοι τροπῇ τοῦ ο εἰς α μυχαίτατος γίνεται Ἀττικῶς, οὕτω καὶ ἐκ τοῦ πρωῒ πρώϊος, οἷον, τὴν ἐνέδησα πρώϊον (Il. ο, 470.), παράγεται τὸ πρωϊαίτερος. οὕτω δὲ καὶ ἐκ τοῦ ἔργον ὁ προυργιαίτερος, πλεονάσαντος αὐτόθι τοῦ ι, ὡς ἐν τῷ, κάμινος καμιναῖος καμινιαῖος. — ἔστι δὲ καὶ φιλαίτερος καθ' ὁμοίαν ἀναλογίαν. Eust. Ἰστέον δὲ καί, ὡς οὐδέν τι καινόν, εὐτάκτως πρῶτον ἀναστῆναι τὸν μυχαίτατον, διὰ τὸ ἐκεῖθεν εἶναι τὸ ἀκόλουθον τῆς ἀρχῆς. οὕτω γὰρ καὶ πρὸ τούτων Ἀντίκλεια εἶπε τῷ Ὀδυσσεῖ, ὡς πολλοὶ ποταμοὶ ἐν μέσῳ τοῖς ἐνταῦθα ἥκουσιν (λ, 156. sequ.), Ὠκεανὸς μὲν πρῶτα. πρῶτον γὰρ λέγει τὸν Ὠκεανόν, ὡς πρὸς τὰ ἐκεῖθεν εἰς ἀνατολήν. τοῖς γάρ τοι ἐκ τῶν ἑῴων πρὸς τὰ ἑσπέρια ἥκουσι μυχοίτατός ἐστιν ὁ Ὠκεανός. οὐκοῦν τὸ μυχοίτατον δύναταί πως κατ' ἄλλον λόγον εἶναι καὶ πρῶτόν ποτε τοῖς ἐκεῖθεν ἀρξαμένοις. Id.

V. 147. ἐχθραί] μισηταί. Vulg.

V. 151. ἀτρίπτους] ἀήθεις. Id. Τό, ἔκαμε χεῖρας ἀτρίπτους, ἁπαλάς, ἀγυμνάστου ἀνδρὸς δήλωσις. διασαφητικὸν δὲ τοῦ ἀτρίπτους τὸ ἁπαλάς. τὸ γὰρ οὕτως ἄτριπτον καὶ ἁπαλόν, εἴτε λόφος τραχήλου εἴτε ποδὸς πέλμα εἴτε χειρὸς θέναρ. Eust.

V. 153. κεκαδήσει] στερήσει, χωρίσει. Vulg. Τό, κεκαδήσει ψυχῆς, ὅ ἐστι στερήσει, ἔστι μὲν ἀπρόσιτον ῥήτορι μὴ μετρικῷ, γίνεται δὲ οὕτως. ἔστι ῥῆμα χῶ πρωτότυπον ἄῤῥητον, ἐξ οὗ ῥητὸν παράγωγον χάζω, ὡς φρῶ φράζω, ῥῶ ῥάζω. — τούτου τοῦ χάζω δεύτερος ἀόριστος Ἰωνικός, χάδω, ὅθεν δεύτερος μέλλων, χαδῶ. ἐξ οὗ ἀναγωγῆς γενομένης εἰς ἐνεστῶτα καὶ τροπῆς Ἰωνικῆς τοῦ ψιλοῦ εἰς δασύ, γίνεται τὸ καδῶ καδήσω, καὶ κατὰ ἀναδιπλασιασμὸν κεκαδήσω, ἵνα ᾖ κεκαδήσειν τὸ ἀναγκάσαι τινὰ

τεθνάμεν, ἢ ζώοντας ἁμαρτεῖν, οὗθ᾽ ἕνεκ᾽ αἰεὶ
ἐνθάδ᾽ ὁμιλέομεν, ποτιδέγμενοι ἤματα πάντα.
νῦν μέν τις καὶ ἔλπετ᾽ ἐνὶ φρεσίν, ἠδὲ μενοινᾷ
γῆμαι Πηνελόπειαν, Ὀδυσσῆος παράκοιτιν.
αὐτὰρ ἐπὴν τόξου πειρήσεται, ἠδὲ ἴδηται,
ἄλλην δή τιν᾽ ἔπειτα Ἀχαιϊάδων εὐπέπλων
μνάσθω ἐέδνοισιν διζήμενος· ἡ δέ κ᾽ ἔπειτα
γήμαιθ᾽, ὅς κε πλεῖστα πόροι, καὶ μόρσιμος ἔλθοι.
Ὣς ἄρ᾽ ἐφώνησεν, καὶ ἀπὸ ἕο τόξον ἔθηκεν,
κλίνας κολλητῇσιν ἐϋξέστης σανίδεσσιν·
αὐτοῦ δ᾽ ὠκὺ βέλος καλῇ προσέκλινε κορώνῃ.
ἂψ δ᾽ αὖτις κατ᾽ ἄρ᾽ ἕζετ᾽ ἐπὶ θρόνου, ἔνθεν ἀνέστη.
Ἀντίνοος δ᾽ ἐνένιπτεν, ἔπος τ᾽ ἔφατ᾽, ἔκ τ᾽ ὀνόμαζεν·
Λειῶδες, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων,
δεινόν τ᾽ ἀργαλέον τε! — νεμεσσῶμαι δέ τ᾽ ἀκούων —
εἰ δὴ τοῦτό γε τόξον ἀριστῆας κεκαδήσει
θυμοῦ καὶ ψυχῆς, ἐπεὶ οὐ δύνασαι σὺ τανύσσαι.
οὐ γάρ τοι σέγε τοῖον ἐγείνατο πότνια μήτηρ,
οἷόν τε ῥυτῆρα βιοῦ τ᾽ ἔμεναι καὶ ὀϊστῶν·

χάσασθαι τῆς ψυχῆς. Eust. cf. Apollon. sub. v. Κεκαδών. χωρίσας καὶ στερήσας (Il. λ, 334.). ἔστι δὲ καὶ ἀπὸ τοῦ κεδάσαι καὶ κεδασθῆναι.

V. 159. πειρήσεται ἠδὲ ἴδηται] Ἐν τῷ, πειρήσηται καὶ ἴδηται, τὸ ἴδηται οὐ θέαν δηλοῖ, ἀλλὰ νόησιν, ἐπειδὴ καὶ νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει κατὰ τὸν εἰπόντα σοφόν. Id.

V. 161. ἐέδνοισιν διζήμενος] πλήθει ἕδνων ζητῶν. βίᾳ γὰρ καὶ ῥώμῃ οὐ λήψεται. Vulg.

V. 173. ῥυτῆρα βιοῦ] ἑλκυστῆρα τόξου. Vulg. Δῆλον ὅτι πρωτότυπον τοῦ ῥυτῆρος τὸ ῥύω, ἐξ οὗ καὶ ὁ γωρυτός, καὶ ὁ Εὔρυτος. εἰ δὲ τὸ ῥύειν καὶ βίαν ποτὲ δηλοῖ, ὅθεν καὶ ῥυστάζειν

ἀλλ' ἄλλοι τανύουσι τάχα μνηστῆρες ἀγαυοί.
  Ὣς φάτο· καί ῥ' ἐκέλευσε Μελάνθιον, αἰπόλον αἰγῶν·
ἄγρει δή, πῦρ κεῖον ἐνὶ μεγάροισι, Μελανθεῦ,
πὰρ δὲ τίθει δίφρον τε μέγαν καὶ κῶας ἐπ' αὐτοῦ,
ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος·
ὄφρα νέοι θάλποντες, ἐπιχρίοντες ἀλοιφῇ,
τόξον πειρώμεσθα, καὶ ἐκτελέωμεν ἄεθλον.
  Ὣς φάθ'· ὁ δ' αἶψ' ἀνέκαιε Μελάνθιος ἀκάματον πῦρ·
πὰρ δὲ φέρων δίφρον θῆκεν καὶ κῶας ἐπ' αὐτοῦ,
ἐκ δὲ στέατος ἔνεικε μέγαν τροχὸν ἔνδον ἐόντος·
τῷ ῥα νέοι θάλποντες ἐπειρῶντ'· οὐδ' ἐδύναντο
ἐντανύσαι, πολλὸν δὲ βίης ἐπιδευέες ἦσαν.

τροπικῶς τὸ κατὰ βίαν ἕλκειν, καὶ ῥυστακτύς, ὁ βίαιος ἑλκυσμός, καλῶς ἂν καὶ βιὸς τὸ τόξον λέγοιτο διὰ τὸ βίᾳ ῥύεσθαι. ἐκ δὲ τοῦ τοιούτου ῥύειν καὶ ὁ τοῦ χαλινοῦ ῥυτήρ. δῆλον δὲ ὅτι τὸ ῥύεσθαι ἤτοι ἕλκεσθαι προσαρμόττει, ὥσπερ τόξῳ, οὕτω καὶ ὀϊστοῖς. Eust.

V. 176. ἄγρει] v. ad υ, 149.

κεῖον] καῦσον, ἅψον. Vulg. cf. Eust. ad v. 145.

V. 178. στέατος] Ἐκφέρεται καὶ στέαρ, ἵνα χριόμενον τὸ τόξον καὶ θαλπόμενον εὐχρηστηθείη. πάντως γὰρ τὸ κραῦρον τοῦ τόξου, ὅπερ τῷ μακρῷ τοῦ χρόνου ἐπεγένετο, ἡ τοιαύτη ἂν ἀλοιφὴ ἐξεῖλε, διεισδῦσα τῶν κεράτων ἐν τῷ θερμαίνεσθαι πυρί. Eust.

ἔνεικε] ἄγαγε, κόμισον. Vulg. τροχόν] Τροχὸν στέατος, ὥσπερ καὶ τυροῦ, ἀκριβέστερον ἤπερ κύκλον εἰπεῖν. ἐπίπεδον γὰρ ὁ κύκλος καὶ ἀβαθές, οὐ τοιοῦτος δὲ ὁ τρόχος. — ἀρχαῖον δὲ ἔθος, τροχοειδῶς καὶ τὰ στέατα στρογγύλλεσθαι. Eust. cf. μ, 173.

V. 179. θάλποντες] θερμαίνοντες. Vulg.

V. 185. βίης ἐπιδευέες] δυνάμεως ἐνδεεῖς, ἤτοι τοῦ τόξου, ἢ τοῦ Ὀδυσσέως.

Ἀντίνοος δ' ἔτ' ἐπεῖχε, καὶ Εὐρύμαχος θεοειδής,
ἀρχοὶ μνηστήρων· ἀρετῇ δ' ἔσαν ἔξοχ' ἄριστοι.
Τὼ δ' ἐξ οἴκου βῆσαν ὁμαρτήσαντες ἅμ' ἄμφω
βουκόλος ἠδὲ συφορβὸς Ὀδυσσῆος θείοιο·
ἐκ δ' αὐτὸς μετὰ τοὺς δόμον ἤλυθε δῖος Ὀδυσσεύς.
ἀλλ' ὅτε δή ῥ' ἐκτὸς θυρέων ἔσαν ἠδὲ καὶ αὐλῆς,
φθεγξάμενός σφ' ἐπέεσσι προσηύδα μειλιχίοισιν·
Βουκόλε, καὶ σύ, συφορβέ, ἔπος τί κε μυθησαίμην,
ἦ αὐτὸς κεύθω; φάσθαι δέ με θυμὸς ἀνώγει.
ποῖοί κ' εἶτ' Ὀδυσῆϊ ἀμυνέμεν, εἴ ποθεν ἔλθοι

V. 186. *ἐπεῖχε*] *ἐπέκειτο. ὁ Ἀντίνοος ἐπεῖχε καὶ ἐκώλυσεν αὐτοὺς πρὸς τὸ παρὸν χρήσασθαι τῷ τόξῳ. φαίνεται γὰρ ὁ Ἀντίνοος ἑξῆς λέγων, μὴ δεῖν τεῖναι τὸ τόξον, ἑορτῆς οὔσης τοῦ τοξικοῦ θεοῦ, καὶ Εὐρύμαχος πείθεται.* Vulg. *Ἔστι νῦν ἐπέχειν τὸ ἐν τῷ τέως ἀργεῖν καὶ μὴ ἐγχειρεῖν ἔργῳ. ἐκ τούτου δὲ οἱ ὕστερον ἐφεκτικοὶ φιλόσοφοι ὠνομάσθησαν.* Eust.

V. 188. *τὼ δ' ἐξ οἴκου βῆσαν*] *εἰς τὸν πρόδομον ἐξῆλθον. πιθανῶς, ἐπεὶ μακρῷ πρόσθεν ὁ Ἀντίνοός φησιν, κλαίετον ἐξελθόντες. καὶ ἅμα ἵνα τῷ Ὀδυσσεῖ συμβάλωσιν.* Vulg.

V. 195. *ποῖοί κ' εἶτ'*] *Τὸ πλῆρες, ποῖοί κεν εἴητε; τὸ δὲ σημαινόμενον, ποῖοι* (ed. ant. *ποῦ*) *ἂν εἴητε κατὰ τὴν γνώμης;* Vulg. *εἶτε, τουτέστιν εἴητε, κατὰ συγκοπήν, ἐξ οὗ τὸ εἶεν, τρίτον τῶν πληθυντικῶν.* Eust. *Ἔτι ἰστέον καὶ ὅτι τὸ, ποῖοί κ' εἶτε, ταυτὸν ἐστι τῷ, ποταποὶ ἂν ἔσεσθε, καὶ ὅτι τῆς ὑστέρας Ἀτθίδος ἐστὶ τὸ ποῖοι. ἡ γὰρ ἀρχαία ἑτεροίαν ἐδίδου παράληξιν τῇ τοιαύτῃ λέξει, ὡς καὶ Ἡρακλείδης δηλοῖ, ἔνθα λέγει, τοὺς Ἀττικοὺς τὴν οι δίφθογγον εἰς τὴν ει μεταποιεῖν, τὸ δυοῖν λέγοντας δυεῖν, καὶ τὸ οἴκοι, οἴκει, καὶ τὸ ποῖος, πεῖος. — Ἰστέον δὲ ὅτι τό, ποῖοί κ' εἶτε, γραψάντων τινῶν, ποῖοί κ' εἰτέ, ἀντὶ τοῦ ἐστέ, ἀπὸ τοῦ εἰμέν, εἰτέ, ὅπερ ἐστὶν ἐσμέν, ἐστέ, Ἡρακλείδης τοὺς οὕτω ἀναγινώσκοντας ἁμαρτάνειν φησί, καθότι ὁριστικὸν ῥῆμα τῷ κε συνδέσμῳ ὑπάγουσιν, ὃς ἑκάστοτε ὑποτακτικὸν ἀπαιτεῖ ἢ εὐκτικόν.*

ὧδε μάλ' ἐξαπίνης, καί τις θεὸς αὐτὸν ἐνείκοι;
ἦ κε μνηστήρεσσιν ἀμύνοιτ', ἦ Ὀδυσῆϊ;
εἴπαθ', ὅπως ὑμέας κραδίη θυμός τε κελεύει.
Τὸν δ' αὖτε προςέειπε βοῶν ἐπιβουκόλος ἀνήρ·
Ζεῦ πάτερ, αἲ γὰρ τοῦτο τελευτήσειας ἐέλδωρ,
ὡς ἔλθοι μὲν κεῖνος ἀνήρ, ἀγάγοι δέ ἑ δαίμων·
γνοίης χ', οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται.
Ὣς δ' αὔτως Εὔμαιος ἐπεύχετο πᾶσι θεοῖσιν,
νοστῆσαι Ὀδυσῆα πολύφρονα ὅνδε δόμονδε.
αὐτὰρ ἐπειδὴ τῶνγε νόον νημερτέ' ἀνέγνω,
ἐξαῦτίς σφ' ἐπέεσσιν ἀμειβόμενος προςέειπεν·
Ἔνδον μὲν δὴ ὅδ' αὐτὸς ἐγὼ, κακὰ πολλὰ μογήσας,
ἤλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
γιγνώσκω δ', ὡς σφῶϊν ἐελδομένοισιν ἱκάνω,
οἴοισι δμώων· τῶν δ' ἄλλων οὔ τευ ἄκουσα
εὐξαμένου, ἐμὲ αὖτις ὑπότροπον οἴκαδ' ἱκέσθαι.
σφῶϊν δ', ὡς ἔσεταί περ, ἀληθείην καταλέξω.
εἴ χ' ὑπ' ἐμοίγε θεὸς δαμάσῃ μνηστῆρας ἀγανούς,
ἄξομαι ἀμφοτέροις ἀλόχους, καὶ κτήματ' ὀπάσσω,
οἰκία τ' ἐγγὺς ἐμεῖο τετυγμένα· καί μοι ἔπειτα
Τηλεμάχου ἑτάρω τε κασιγνήτω τε ἔσεσθον.

ἐγκρίνει δὲ τὸ εἶτε ἀντὶ τοῦ εἴητε, λέγων ὅτι ἡ ἀρχαία Ἀτθὶς τὰ εὐκτικὰ συγκόπτει κατ' ἔξαρσιν μιᾶς συλλαβῆς. Id.

V. 196. ἐνείκῃ] ἐνέγκοι, ἀγάγοι. Vulg. ἐνείκαι] Γρ. ἐνείκῃ. Harl.

V. 202. δύναμις καὶ χεῖρες ἕπονται] τῇ δυνάμει καὶ χεῖρες ἀκολουθοῦσιν. Vulg. ἔσσονται] Γρ. ἕπονται. Vind. 133.

V. 209. σφῶϊν] ὑμῖν. Id.

V. 211. ὑπότροπον] ἐξ ὑποστροφῆς. Id.

V. 216. ἑτάρω τε κασιγνήτω τε] Τὸ μὴ μόνον ἑτάρους

εἰ δ', ἄγε δή, καὶ σῆμα ἀριφραδὲς ἄλλο τι δείξω,
ὄφρα μ' εὖ γνῶτον, πιστωθῆτόν τ' ἐνὶ θυμῷ·
οὐλήν, τήν ποτέ με σῦς ἤλασε λευκῷ ὀδόντι,
Παρνησόνδ' ἐλθόντα σὺν υἱάσιν Αὐτολύκοιο.
Ὣς εἰπὼν, ῥάκεα μεγάλης ἀποέργαθεν οὐλῆς.
τὼ δ' ἐπεὶ εἰςιδέτην, εὖ τ' ἐφράσσαντο ἕκαστα,
κλαῖον ἄρ', ἀμφ' Ὀδυσῆϊ δαΐφρονι χεῖρε βαλόντε,
καὶ κύνεον ἀγαπαζόμενοι κεφαλήν τε καὶ ὤμους.
ὣς δ' αὔτως Ὀδυσεὺς κεφαλὰς καὶ χεῖρας ἔκυσσεν.
καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
εἰ μὴ Ὀδυσσεὺς αὐτὸς ἐρύκακε, φώνησέν τε·
Παύεσθον κλαυθμοῖο, γόοιό τε· μή τις ἴδηται
ἐξελθὼν μεγάροιο, ἀτὰρ εἴπῃσι καὶ εἴσω.
ἀλλὰ προμνηστῖνοι ἐςέλθετε, μηδ' ἅμα πάντες·
πρῶτος ἐγώ, μετὰ δ' ὔμμες· ἀτὰρ τόδε σῆμα τετύχθω.
ἄλλοι μὲν γὰρ πάντες, ὅσοι μνηστῆρες ἀγαυοί,

ἀλλὰ καὶ κασιγνήτους τῷ Τηλεμάχῳ τοὺς δούλους ἔσεσθαι, κολακεία καίριος φανερά. πῶς γὰρ ἂν ἔσονται κασίγνητοι τῷ δεσπότῃ οἱ δοῦλοι; οὕτω δὲ κολακικῶς καὶ δίους αὐτοὺς ἐνταῦθα λέγει (v. 234. et 240.). — ἴσως δὲ προςληπτέον συνήθως ἔξωθεν καὶ τὸ ὡς ἐπίῤῥημα ἐν τῷ, ἑτάρω τε κασιγνήτω τε, ἵνα λέγῃ, ὅτι ἔσεσθε ὡς κασίγνητοι. Eust.

V. 218. εὖ γνῶτον] ἀσφαλῶς γνωρίσητε. Vulg.

πιστωθῆτον] Ἀντὶ τοῦ, πίστιν λάβοιτε, πιστεύσοιτε. Eust.

V. 221. ἀποέργαθεν] ἀφεῖλεν, ἀπεκάλυψεν. Vulg. ἀποέρξας ἤτοι ἀπαγαγὼν τὰ ῥάκεα. Eust.

V. 230. προμνηστῖνοι] Εἰσὶ προμνηστῖνοι, τουτέστιν ὡς οἷον εἰπεῖν προμενετῖνοι, οἱ προμένοντες ἀλλήλους καὶ μὴ ἅμα πάντες προϊόντες κατὰ τὸν ποιητήν, ἀλλὰ πρῶτος οὗτος, εἶτα ἄλλος, καὶ ἐφεξῆς. πλεονάζει δὲ τὸ σ ἐν τῷ προμνηστῖνοι, καθὰ καὶ πρὸ βραχέων ἐν τῷ κατάντηστιν (υ, 387.). — Τοῦ δὲ προ-

οὐκ ἐάσουσιν ἐμοὶ δόμεναι βιὸν ἠδὲ φαρέτρην·
ἀλλὰ σύ, δῖ' Εὔμαιε, φέρων ἀνὰ δώματα τόξον,
ἐν χείρεσσιν ἐμοὶ θέμεναι· εἰπεῖν τε γυναιξίν,
κληΐσσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας·
ἢν δέ τις ἢ στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ
ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μήτι θύραζε
προβλώσκειν, ἀλλ' αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἔργῳ.
σοὶ δέ, Φιλοίτιε δῖε, θύρας ἐπιτέλλομαι αὐλῆς
κληΐσσαι κληῗδι, θοῶς δ' ἐπὶ δεσμὸν ἰῆλαι.
Ὣς εἰπών, εἰςῆλθε δόμους εὐναιετάοντας·
ἕζετ' ἔπειτ' ἐπὶ δίφρον ἰών, ἔνθεν περ ἀνέστη·
ἐς δ' ἄρα καὶ τὼ δμῶε ἴτην θείου Ὀδυσῆος.
Εὐρύμαχος δ' ἤδη τόξον μετὰ χερσὶν ἐνώμα,
θάλπων ἔνθα καὶ ἔνθα σέλᾳ πυρός· ἀλλά μιν οὐδ' ὧς
ἐντανύσαι δύνατο· μέγα δ' ἔστενε κυδάλιμον κῆρ·
ὀχθήσας δ' ἄρα εἶπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·

μνηστῖνος τὸ ἀνάλογον ἀγχηστῖνος καὶ εἴ τι τοιοῦτον. χρῆσις δὲ αὐτοῦ κεῖται καὶ ἐν τῇ νεκυίᾳ (v. ad λ, 232.). Eust. προμνηστῖνοι] εἷς παρ' εἷς, τὸ λεγόμενον, ἄλλος πρὸ ἄλλου, ἀλλεπάλληλοι, ὅ ἐστι παραμένοντες ἀλλήλους. Ambr. Q.

V. 235. θέμεναι] Γρ. δόμεναι. Vind. 133.

V. 236. κληΐσσαι] ἐπικλεῖσαι. Vulg. κληῖσαι. Eust. κληΐσαι. Vind.

V. 238. ἐν ἕρκεσι] τοῖς τειχίοις. Vulg.

V. 239. προβλώσκειν] προϊέναι ἔξω. Id. ἐξέρχεσθαι, προέρχεσθαι, προβλέπειν. Ambr. Q. v. ad π, 466. et τ, 25.

V. 241. ἰῆλαι] ἐπιβαλεῖν. Vulg. v. ϑ, 443. 447.

V. 246. σέλᾳ] ἐν φλογί. Vulg. Ἰστέον ὅτι σέλας οὐ μόνον πυρός, ἀλλὰ καὶ ἡλίου. Eust.

Ὢ πόποι! ἦ μοι ἄχος περί τ' αὐτοῦ καὶ περὶ πάντων·
οὔτι γάμου τοσσοῦτον ὀδύρομαι, ἀχνύμενός περ·
εἰσὶ καὶ ἄλλαι πολλαὶ Ἀχαιΐδες, ἡμὲν ἐν αὐτῇ
ἀμφιάλῳ Ἰθάκῃ, ἠδ' ἄλλῃσιν πολίεσσιν·
ἀλλ' εἰ δὴ τοσσόνδε βίης ἐπιδευέες εἰμὲν
ἀντιθέου Ὀδυσῆος, ὅτ' οὐ δυνάμεσθα τανύσσαι
τόξον· ἐλεγχείη δὲ καὶ ἐσσομένοισι πυθέσθαι.
Τὸν δ' αὖτ' Ἀντίνοος προσέφη, Εὐπείθεος υἱός·
Εὐρύμαχ', οὐχ οὕτως ἔσται· νοέεις δὲ καὶ αὐτός.
νῦν μὲν γὰρ κατὰ δῆμον ἑορτὴ τοῖο θεοῖο
ἁγνή· τίς δέ κε τόξα τιταίνοιτ'; ἀλλὰ ἕκηλοι
κάτθετ'· ἀτὰρ πελέκεάς γε καὶ εἴ κ' εἰῶμεν ἅπαντας
ἑστάμεν· οὐ μὲν γάρ τιν' ἀναιρήσεσθαι ὀΐω,
ἐλθόντ' ἐς μέγαρον Λαερτιάδεω Ὀδυσῆος.
ἀλλ' ἄγετ', οἰνοχόος μὲν ἐπαρξάσθω δεπάεσσιν,
ὄφρα σπείσαντες καταθείομεν ἀγκύλα τόξα.

V. 253. εἰμέν] ἤγουν ἐσμέν. Eust. v. ad v. 195.

V. 255. ἐλεγχείη] ἀδοξία. Vulg. cf. ξ, 38.

V. 258. τοῖο θεοῖο] τοῦ θεοῦ τὸ ἐπὶ τοῦ τόξου (Barn. τοῦ ἐπιστατοῦντος τῷ τόξῳ, ἤγουν Ἀπόλλωνος, ἡλίου). Vulg. Ἑορτὴ δὲ ἦν ἄρτι Ἀπόλλωνος ἡλίου διὰ τὴν ἐν τριακάδι σύνοδον. Ἀπόλλωνος γὰρ ἱερὰ πᾶσα νουμηνία, καθὰ καὶ ἡ τοῦ σεληνιακοῦ μηνὸς ἑβδόμη, ὡς γενέθλιος Ἀπόλλωνος. Eust.

V. 261. ἀναιρήσεσθαι] Τὸ ἀναιρήσεσθαι ἀνελέσθαι τι δηλοῖ κάτω κείμενον, τοιοῦτον οἷόν τι καὶ πρὸ ὀλίγων (v. 117.) μεταφορικῶς τό, ἄεθλια πατρὸς καλὰ ἀνελέσθαι. Eust.

V. 263. ἐπαρξάσθω] Ἐπάρξασθαι, τὸ ἐπὶ τοῖς φθάσασι πάλιν ἄρξασθαι. Eust. cf. ad γ, 340. η, 183. σ, 417.

V. 264. καταθείομεν] ἀποθώμεθα. Vulg.

ἠῶθεν δὲ κέλεσθε Μελάνθιον, αἰπόλον αἰγῶν,
αἶγας ἄγειν, αἳ πᾶσι μέγ' ἔξοχοι αἰπολίοισιν,
ὄφρ' ἐπὶ μηρία θέντες Ἀπόλλωνι κλυτοτόξῳ,
τόξου πειρώμεσθα, καὶ ἐκτελέωμεν ἄεθλον.
Ὣς ἔφατ' Ἀντίνοος· τοῖσιν δ' ἐπιήνδανε μῦθος.
τοῖσι δὲ κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν,
κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο·
νώμησαν δ' ἄρα πᾶσιν, ἐπαρξάμενοι δεπάεσσιν.
οἱ δ' ἐπεὶ οὖν σπεῖσάν τ', ἔπιόν θ', ὅσον ἤθελε θυμός,
τοῖς δὲ δολοφρονέων μετέφη πολύμητις Ὀδυσσεύς·
Κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης·
[ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει·]
Εὐρύμαχον δὲ μάλιστα καὶ Ἀντίνοον θεοειδέα
λίσσομ', ἐπεὶ καὶ τοῦτο ἔπος κατὰ μοῖραν ἔειπεν,
νῦν μὲν παῦσαι τόξον, ἐπιτρέψαι δὲ θεοῖσιν·
ἠῶθεν δὲ θεὸς δώσει κράτος, ᾧ κ' ἐθέλῃσιν.
ἀλλ' ἄγε μοι δότε τόξον ἐΰξοον, ὄφρα μεθ' ὑμῖν
χειρῶν καὶ σθένεος πειρήσομαι, εἴ μοι ἔτ' ἐστὶν
ἴς, οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν,
ἦ ἤδη μοι ὄλεσσεν ἄλη τ' ἀκομιστίη τε.

V. 266. ἔξοχοι] ὑπερέχουσαι. Id.

V. 278. ἐπεὶ καὶ τοῦτο ἔπος] ὁ Ἀντίνοος. πρὸς γὰρ τὸ δεύτερον τὸ πρότερον. Id.

V. 279. ἐπιτρέψαι δὲ θεοῖσιν] εἶξαι καὶ συγχωρῆσαι τῇ ἑορτῇ. Id.

V. 284. ἄλη τ' ἀκομιστίη τε] ἤγουν ἡ πλάνη καὶ τὸ μὴ ἔχειν κομιδήν, δι' ἧς τημελεῖται τὸ σῶμα. Eust. ἄλη] πλάνη. ἀκομιστίη] τὸ ἀτημέλητον εἶναι. Vulg.

Ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα πάντες ὑπερφιάλως νεμέσησαν,
δείσαντες, μὴ τόξον ἐΰξοον ἐντανύσειεν.
Ἀντίνοος δ᾽ ἐνένιπτεν, ἔπος τ᾽ ἔφατ᾽, ἔκ τ᾽ ὀνόμαζεν·
Ἆ δειλὲ ξείνων, ἔνι τοι φρένες οὐδ᾽ ἠβαιαί·
οὐκ ἀγαπᾷς, ὃ ἕκηλος ὑπερφιάλοισι μεθ᾽ ἡμῖν
δαίνυσαι; οὐδέ τι δαιτὸς ἀμέρδεαι, αὐτὰρ ἀκούεις
μύθων ἡμετέρων καὶ ῥήσιος; οὐδέ τις ἄλλος
ἡμετέρων μύθων ξεῖνος καὶ πτωχὸς ἀκούει.
οἶνός σε τρώει μελιηδής, ὅςτε καὶ ἄλλους

V. 288. *ἆ δειλὲ ξείνων*] Τό, ἆ δειλὲ ξείνων, ἁπλοῦν ὂν ἀντὶ ὑπερθετικοῦ εἴληπται, τοῦ δειλαιότατε. ἐῤῥέθη δὲ οὕτως ἢ ἀπαρατηρήτως διὰ θυμόν, ἢ καὶ ἄλλως ἁπλούστερον κατὰ τό, νικᾷ γὰρ ἡ ἀρετή με τῆς ἔχθρας πολύ, ἤγουν πλεῖον, καὶ τό, μεταβολὴ πάντων ἡδύ, ὅ ἐστιν ἡδύτερον, ὥς τινές φασι. Eust. cf. ξ, 361.

ἔνι] ἤγουν ἔνεισι. Id.

V. 289. *οὐκ ἀγαπᾷς*] Τό, οὐκ ἀγαπᾷς, ἔπεισε τοὺς ὕστερον, ἐπὶ τοῦ ἀρκεῖσθαι τιθέναι τὸ ἀγαπᾶν, ὃ καὶ μετὰ δοτικῆς ἐκεῖνοι συντάσσουσιν. Id.

ὑπερφιάλοισι] Νῦν, τοῖς κατ᾽ ἀρετὴν διαφέρουσι. Vulg. Σημειοῦνται οἱ παλαιοὶ καὶ ὡς ὑπερφιάλους τοὺς μνηστῆρας ὁ Ἀντίνοος ἐπὶ ἐπαίνῳ φησίν. οὐ γὰρ δή που ψέγει τοὺς κατ᾽ αὐτόν, εἰ μὴ ἄρα βαρυνόμενος λέγει, ὡς ἄξιος κρίνῃ συνευωχεῖσθαι ἡμῖν τοῖς, ὡς οἱ πολλοί φασιν, ὑπερφιάλοις. ᾧ δὴ ὅμοιόν τί ἐστιν ἐφεξῆς καὶ τό, ἕκηλος πῖνε μετ᾽ ἀνδράσι κουροτέροισιν (v. 310.), ὡς ταυτὸν ὂν ὑπερφιάλους καὶ κουροτέρους εἰπεῖν. Eust. cf. Eust. ad α, 134.

V. 290. *ἀμέρδεαι*] Ἀμέρδειν ἐν ἄλλοις μὲν τὸ σκοτίζειν, νῦν δέ, δαιτὸς ἀμέρδεσθαι, τὸ στερίσκεσθαι, ἀπὸ τοῦ μερίζειν, ἵνα ᾖ ἀμέρδειν τὸ μερίδος ἀποστερεῖν. Id. cf. θ, 64.

V. 291. *ῥήσιος*] γνώμης. Vulg. Τό, μύθων ἡμετέρων καὶ ῥήσιος, ταυτὰ δηλοῦσιν, ὥςπερ καὶ τό, ὃς ἂν τὸν οἶνον χανδὸν ἕλῃ μηδ᾽ αἴσιμα πίνῃ, τουτέστι κατὰ τὸ αἴσιον καὶ καθῆκον. Eust.

V. 293. *τρώει*] Τρώει ἀντὶ τοῦ βλάπτει. γίνεται δὲ ἐκ τοῦ

βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ, μηδ' αἴσιμα πίνῃ.
οἶνος καὶ Κένταυρον, ἀγακλυτὸν Εὐρυτίωνα,
ἄασ' ἐνὶ μεγάρῳ μεγαθύμου Πειριθόοιο,
ἐς Λαπίθας ἐλθόνθ'· ὁ δ' ἐπεὶ φρένας ἄασεν οἴνῳ,
μαινόμενος κάκ' ἔρεξε δόμον κάτα Πειριθόοιο·

τρῶ τοῦ συγκοπέντος ἐκ τοῦ τείρω. ἐκ τούτου δὲ παρὰ τοῖς ὕστερον καὶ τὸ τιτρώσκω, ὁμοίως τῷ γνῶ γιγνώσκω, παρῆκται, καὶ τὸ τρῶμα, καὶ ἡ τρώμη ἐπὶ βλάβης Ἰωνικῶς, ὁμοίως τῷ βρῶμα βρώμη, καὶ τοῖς τοιούτοις. Id. τρώει] τιτρώσκει, βλάπτει. Vulg.

V. 294. ὃς ἄν — πίνῃ] Τό, ὃς καὶ ἄλλους βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ, συνήθως ἀπὸ πληθυντικοῦ κατῆλθεν εἰς ἑνικόν, πρὸς ἀκρίβειαν ἐννοίας. Eust. χανδόν] ἀθρόως καὶ κεχηνότως. Vulg.

μηδ' αἴσιμα πίνῃ] Ἐπῆκται τό, μηδ' αἴσιμα πίνῃ, ὡς τοῦτο ὂν χανδὸν πίνειν τὸ μὴ αἴσιμα πίνειν. εἴρηται οὖν τὸ χανδὸν πίνειν ὡς ἀπό τινος δοχείου διαχάσκοντος ἀεὶ πρὸς ὑποδοχὴν ὑγροῦ. Eust. αἴσιμα] δεόντως. Vulg.

V. 295. οἶνος — Εὐρυτίωνα] ὃν ἱστορεῖ φασι Βακχυλίδης ἐπιξενωθέντα τινὶ ἐν Ἤλιδι, καὶ ὑβριστικῶς ἐπιχειρήσαντα τῇ τοῦ ξενοδοχήσαντος θυγατρί, ὑφ' Ἡρακλέος ὕστερον ἀναιρεθῆναι τοῖς ἐκεῖ ἐπιστάντος. Eust.

V. 296. ἄασεν] Τὸ ἄασεν, ἀντὶ τοῦ ἔβλαψε, λέξις μέν ἐστιν οὐ κοινή, καιριωτάτη δὲ ὡς ἐν ποιήσει. διὸ καὶ τρὶς αὐτῇ ἐνταῦθα χρᾶται Ὅμηρος. ἐκ δὲ τούτου τοῦ ῥήματος καὶ ἡ ἄτη κατὰ συναίρεσιν διὰ διχρόνου ἐκτεταμένου, ἴσως δὲ καὶ ὁ ἀεσίφρων θυμός (v. 302.), ἤγουν βλαψίφρων, φρενοβλαβής, οὗπερ ἁπλοῦν τό, φρεσὶν ἀασθείς, ἤγουν βλαβείς, ὃ ταυτόν ἐστι τῷ μανείς, ἐπεὶ καὶ μανίᾳ ἔοικεν ἡ ἄκρα μέθη, κατὰ τό, μαινόμενος κάκ' ἔρεξε (scr. ἔρεξε). τοιοῦτον δὲ καὶ τό, φρένας ἄασεν οἴνῳ. Eust.

Πειριθόοιο] Λέγεται ὅτι Πειρίθους, τὴν Ἀδράστου (Barn. in Schol. Vulg. emend. Ἄτρακος) Ἱπποδάμειαν ἀγόμενος, συνεκαλέσατο κατὰ συγγένειαν Λαπίθας καὶ Κενταύρους. ὅτε Κένταυροι μὲν προαχθέντες ὑπὸ μέθης τῶν Λαπιθῶν ἁρπάσαντες τὰς γυναῖκας προέθεντο, Λαπίθαι δ' ἀνεῖλον αὐτούς. Id.

V. 298. ἔρεξε] Τὸ ἔρεξε φυσικῶς καὶ οὐ κατὰ Ἀττικοὺς

ἥρωας δ' ἄχος εἷλε, δι' ἐκ προθύρου δὲ θύραζε
ἕλκον ἀναΐξαντες, ἀπ' οὔατα νηλέϊ χαλκῷ
ῥῖνάς τ' ἀμήσαντες· ὁ δὲ, φρεσὶν ᾗσιν ἀασθεὶς,
ἤϊεν ἣν ἄτην ὀχέων ἀεσίφρονι θυμῷ.
ἐξ οὗ Κενταύροισι καὶ ἀνδράσι νεῖκος ἐτύχθη,
οἷ τ' αὐτῷ πρώτῳ κακὸν εὕρετο οἰνοβαρείων.
ὣς καὶ σοὶ μέγα πῆμα πιφαύσκομαι, αἴ κε τὸ τόξον
ἐντανύσῃς· οὐ γάρ τευ ἐπητύος ἀντιβολήσεις

ἀδιπλασίαστον ἔχει τὸ ῥῶ. Id. μαινόμενος κάκ' ἔρεξε] Ἤθελε γὰρ συμμιγῆναι τῇ γυναικὶ τοῦ Πειρίθου. Ambr. Q.

V. 301. ἀμήσαντες] κόψαντες. ἀασθεὶς] βλαβείς. Vulg. Τό, οὔατα ῥῖνάς τε ἀμήσαντες, ἀντὶ τοῦ, ἐκτεμόντες καὶ ῥᾷον ἀποκόψαντες ὡς εἴ καί τι φυτὸν ἀμώμενον. Eust. De v. ἀασθεὶς v. ad v. 296. cf. κ, 68.

V. 302. ὀχέων] ὑποφέρων, ἢ ἔχων καὶ βαστάζων. Vulg. Τό, ἣν ἄτην ὀχέων, ἀστείως εἴρηται ἀντὶ τοῦ, ὀχῶν καὶ βαστάζων τὴν ἑαυτοῦ βλάβην, ὡς οἷά τις ἀχθοφορῶν Ἱπποκένταυρος, ἐπεὶ καὶ ἐφ' ἵππων λέγεται τὸ ὀχεῖν. ὡς γοῦν ἵππος ὀχεῖ τουτέστι φέρει τινά, οὕτω καὶ ὁ Κένταυρος Εὐρυτίων τὴν κατ' αὐτὸν βλάβην. Eust. v. ad α, 297. η, 211. λ, 619.

ἀεσίφρονι] φρενοβλαβεῖ. Vulg. v. ad. v. 296.

V. 304. εὕρετο] Τὸ εὕρετο τρίτον ἐστὶν ἑνικὸν δευτέρου ἀορίστου τοῦ εὑρόμην, ὃ κεῖται καὶ παρὰ Σοφοκλεῖ. τὸ γὰρ εὑράμην καὶ τὸ εὕρατο οὐ σύνηθες Ἀττικοῖς. Eust.

οἰνοβαρείων] Τοῦ οἰνοβαρείων βαρύτονος ἐνεστὼς κατὰ τὸ κιχείω καὶ ὅσα τοιαῦτα. τοῦ μέντοι καρηβαριῶν περισπώμενόν ἐστι τὸ θέμα. αἴτιον δὲ ἀμφοῖν ὁ κατὰ τὸ μέτρον δακτυλισμός. οὔτε γὰρ τὸ καρηβαριῶ ἐχρῆν διφθόγγῳ παραλήγεσθαι. ἄχρηστον γὰρ τοῦτό γε εἰς μέτρον ἡρωϊκόν, οὔτε αὖ πάλιν τὸ οἰνοβαρείω ἐχρῆν ἐκπεσεῖν διφθόγγου. ἐγίνετο γὰρ οὕτω ποὺς Ἰωνικὸς ἀπὸ μείζονος, ἄχρηστος μέτρῳ δακτυλικῷ. καλὸν τοίνυν ἐκεῖ μὲν ἡ διὰ τοῦ ῑ, ἐνταῦθα δὲ ἡ διὰ διφθόγγου γραφή. Id.

V. 306. ἐπητύος] μεταιτήσεως. Vulg. Ἐπητύς, κατὰ μέν τινας ἡ μεταίτησις, ὡς ἀπὸ τοῦ ἐπαιτεῖν. ἕτεροι δὲ ἐπητὺν τὸν

ἡμετέρῳ ἐνὶ δήμῳ, ἄφαρ δέ σε νηῒ μελαίνῃ
εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων,
πέμψομεν· ἔνθεν δ' οὔτι σαώσεαι· ἀλλὰ ἕκηλος
πῖνέ τε, μηδ' ἐρίδαινε μετ' ἀνδράσι κουροτέροισιν.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Ἀντίνο', οὐ μὲν καλὸν ἀτέμβειν, οὐδὲ δίκαιον,
ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ' ἵκηται.
ἔλπεαι, αἴ χ' ὁ ξεῖνος Ὀδυσσῆος μέγα τόξον
ἐντανύσῃ, χερσίν τε βίηφί τε ἧφι πιθήσας,
οἴκαδέ μ' ἄξεσθαι, καὶ ἑὴν θήσεσθαι ἄκοιτιν;
οὐδ' αὐτός που τοῦτό γ' ἐνὶ στήθεσσιν ἔολπεν·
μηδέ τις ὑμείων τοῦγ' εἵνεκα θυμὸν ἀχεύων
ἐνθάδε δαινύσθω· ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικεν.
Τὴν δ' αὖτ' Εὐρύμαχος, Πολύβου παῖς, ἀντίον ηὔδα·
κούρη Ἰκαρίοιο, περίφρον Πηνελόπεια,
οὔτι σε τόνδ' ἄξεσθαι ὀϊόμεθ'· οὐδὲ ἔοικεν·

ἐν λόγοις φασὶν ἔπαινον, ὡς ἀπὸ τοῦ ἐπήτης ἢ ἐπητής ὀξυτόνως, ὃ δηλοῖ τὸν φρόνιμον καὶ λόγιον. Eust. cf. ad σ, 128.

ἀντιβολήσεις] τεύξῃ. Vulg. Ἀντιβολῆσαι νῦν τὸ ἐπιτυχεῖν, ἐν ἄλλοις δὲ τὸ συναντῆσαι, παρὰ δὲ τοῖς ὕστερον καὶ τὸ ἱκετεῦσαι. Eust. Ἀντιβολήσειν. ἐπιτεύξειεν. ἐν τῇ φ̄ τῆς Ὀδυσσείας (scr. Ἀντιβολήσεις. ἐπιτεύξεις v. ἐπιτεύξειας). Apollon.

V. 308. εἰς Ἔχετον βασιλῆα] cf. ad σ, 85.

V. 310. μηδ' ἐρίδαινε] Γρ. μηδ' ἐρέεινε. Vind. 50.

V. 312. ἀτέμβειν] v. τ, 42. 549. υ, 294.

V. 315. ἧφι] τῇ ἑαυτοῦ. πιθήσας] πιστεύσας, θαῤῥήσας. Vulg.

V. 318. τοῦ εἵνεκα] τούτου χάριν, ὅτι οὕτως (scr. οὗτος) ἐμὲ ἄξεται. Id.

V. 319. οὐδὲ ἔοικε] τοῦτο ὑμᾶς ἐννοεῖν. Id.

ἀλλ' αἰσχυνόμενοι φάτιν ἀνδρῶν ἠδὲ γυναικῶν,
μή ποτέ τις εἴπῃσι κακώτερος ἄλλος Ἀχαιῶν·
ἦ πολὺ χείρονες ἄνδρες ἀμύμονος ἀνδρὸς ἄκοιτιν
μνῶνται, οὐδέ τι τόξον ἐΰξοον ἐντανύουσιν·
ἀλλ' ἄλλος τις, πτωχὸς ἀνὴρ ἀλαλήμενος ἐλθών,
ῥηϊδίως ἐτάνυσσε βιόν, διὰ δ' ἧκε σιδήρου.
ὣς ἐρέουσ'· ἡμῖν δ' ἂν ἐλέγχεα ταῦτα γένοιτο.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
Εὐρύμαχ', οὔπως ἔστιν ἐϋκλείας κατὰ δῆμον
ἔμμεναι, οἳ δὴ οἶκον ἀτιμάζοντες ἔδουσιν
ἀνδρὸς ἀριστῆος· τί δ' ἐλέγχεα ταῦτα τίθεσθε;
οὗτος δὲ ξεῖνος, μάλα μὲν μέγας ἠδ' εὐπηγής,
πατρὸς δ' ἐξ ἀγαθοῦ γένος εὔχεται ἔμμεναι υἱός·

V. 323. φάτιν — γυναικῶν] Ἰστέον ὅτι πολλὴν αἰσχύνην δηλοῖ ὁ Εὐρύμαχος ἐν τῷ, φάτιν ἀνδρῶν ἠδὲ γυναικῶν. πάγκοινον γὰρ τὸ τοιοῦτον ὄνειδος. Eust. ἀλλ' αἰσχυνόμενοι — γυναικῶν, ἀτέμβομεν δηλαδὴ τὸν τοῦ Τηλεμάχου ξεῖνον. τοῦτο γὰρ ἀναγκαίως ἐκ μακροῦ ἀπὸ κοινοῦ νοεῖται, πρὸ δέκα στίχων κείμενον (v. 312.). Id.

V. 324. κακώτερος] τουτέστιν ἀσθενής, ἢ δυςγενής. Id. cf. ξ, 275.

V. 328. διὰ δ' ἧκε] διέπεμψε, διεπέρασεν. Vulg.

V. 329. ἐλέγχεα] Δῆλον ὅτι τριχῶς λέγεται, τὸ ἔλεγχος, ἡ ἐλεγχεία, καὶ κοινότερον ὁ ἔλεγχος. — Τὸ δὲ ἐλέγχεα ποιεῖ τὴν τῆς ἐλεγχείης διὰ διφθόγγου γραφήν, ὡς καὶ τὸ ἔγχεα τὴν τῆς ἐγχείης. Eust.

V. 331. ἐϋκλεῖας] Τὸ εὐκλεῖας τοὺς εὐκλεέας δηλοῖ, συναιρεθὲν συνήθως, διὸ καὶ προπερισπᾶται διὰ τὸ συνεστάλθαι τὴν λήγουσαν (sic?). Eust. Etiam text. Eust. ἐϋκλεῖας.

V. 333. τί δ' ἐλέγχεα ταῦτα τίθεσθε] τουτέστι, τὰ μεγάλα παρορῶντες ἐλέγχεα τί δήποτε τὰ μικρὰ ὑφορᾶσθε; Id.

ἐλέγχεα πάντα] Γρ. ταῦτα. Harl.

V. 334. εὐπηγής] εὐπαγής. Vulg. εὔτραφής. Ambr. Q. Τὸ εὐπηγής, εὐπαγής φασιν οἱ μεθ' Ὅμηρον. Eust.

V. 335. γένος — υἱός] Περιττὸν τὸ υἱός. νοεῖται γὰρ ὁ

ἀλλ᾽ ἄγε οἱ δότε τόξον ἐΰξοον, ὄφρα ἴδωμεν.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
εἴ κέ μιν ἐντανύσῃ, δώῃ δέ οἱ εὖχος Ἀπόλλων,
ἕσσω μιν χλαῖνάν τε χιτῶνά τε, εἵματα καλά·
δώσω δ᾽ ὀξὺν ἄκοντα, κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν,
καὶ ξίφος ἄμφηκες· δώσω δ᾽ ὑπὸ ποσσὶ πέδιλα,
πέμψω δ᾽, ὅππῃ μιν κραδίη θυμός τε κελεύει.
Τὴν δ᾽ αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
μῆτερ ἐμή, τόξον μὲν Ἀχαιῶν οὔτις ἐμεῖο
κρείσσων, ᾧ κ᾽ ἐθέλω δόμεναί τε καὶ ἀρνήσασθαι·
οὔθ᾽ ὅσσοι κραναὴν Ἰθάκην κάτα κοιρανέουσιν,
οὔθ᾽ ὅσσοι νήσοισι πρὸς Ἤλιδος ἱπποβότοιο·
τῶν οὔτις μ᾽ ἀέκοντα βιήσεται, αἴ κ᾽ ἐθέλωμι
καὶ καθάπαξ ξείνῳ δόμεναι τάδε τόξα φέρεσθαι.
ἀλλ᾽ εἰς οἶκον ἰοῦσα τὰ σ᾽ αὐτῆς ἔργα κόμιζε,

λόγος καὶ τούτου μὴ κειμένου. καὶ ἄλλως δὲ πρὸς ἑρμηνείαν ἐπῆκται τοῦ γένος, ἵνα εἴη γένος ἐνταῦθα ὁ υἱός. Eust.

V. 345. κρείσσων] Ὅτι κεῖται καὶ ἐνταῦθα τὸ κρείσσων ἐπὶ ἐγκρατοῦς καὶ ἐξουσίαν ἔχοντος. — Οὐκοῦν καὶ ἐν Ἰλιάδι (α, 80.) τό, κρείσσων γὰρ βασιλεύς, ὅτε χώσεται κ. ἑ., τοιαύτην τινὰ σημασίαν ἔχει. Ὅρα δ᾽ ἐν τούτοις καὶ ὅτι τόξον τε ἑνικῶς ἔφη, καὶ τόξα πληθυντικῶς. Id.

V. 346. κραναὴν Ἰθάκην] ὑψηλήν. Ambr. Q.

V. 347. νήσοισι πρὸς Ἤλιδος] ταῖς περὶ τὸ Δουλίχιον. Vulg. Κεῖται ἐν τῷ τόπῳ τούτῳ καὶ ἡ Ἦλις ἱππόβοτος, ὅπερ ἀλλαχοῦ τῇ ὅλῃ Πελοποννήσῳ ἐπιλέγεται. — νῆσοι δὲ ἐγγὺς Ἤλιδος, Δουλίχιον, Ζάκυνθος, Σάμη, καὶ λοιπαί. Eust. Ἔνιοι, ναίουσι. Vulg. ed rec. Γρ. οὐδ᾽ ὅσσοι ναίουσι. Harl.

V. 349. καθάπαξ] Τὸ καθάπαξ ἀντὶ τοῦ, εἰς τὸ παντελές (Vulg. καθόλου), ἅπαξ ἐνταῦθα εἰρῆσθαι σημειοῦνται οἱ παλαιοί, λέγοντες καὶ ὅτι οὐδὲ κατάληξις εἰς ξ καὶ ἀρχὴ αὖθις ἀπὸ τοῦ αὐτοῦ ἑτέρωθί πού ἐστι παρὰ τῷ ποιητῇ, ἀλλ᾽ ἢ μόνον ἐνταῦθα ἐν τῷ, καθάπαξ ξείνῳ δόμεναι. Eust.

V. 350—353. ἀλλ᾽ εἰς οἶκον κ. ἑ.] Ἡ ἐκ τοῦ ἀνδρῶνος

ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι· τόξον δ' ἄνδρεσσι μελήσει
πᾶσι, μάλιστα δ' ἐμοί· τοῦ γὰρ κράτος ἔστ' ἐνὶ οἴκῳ.
Ἡ μὲν θαμβήσασα πάλιν οἶκόνδε βεβήκει·
παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ.
ἐς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξίν,
κλαῖεν ἔπειτ' Ὀδυσῆα, φίλον πόσιν, ὄφρα οἱ ὕπνον
ἡδὺν ἐπὶ βλεφάροισι βάλε γλαυκῶπις Ἀθήνη.
Αὐτὰρ ὁ τόξα λαβὼν φέρε καμπύλα δῖος ὑφορβός·
μνηστῆρες δ' ἄρα πάντες ὁμόκλεον ἐν μεγάροισιν·
ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
Πῆ δὴ καμπύλα τόξα φέρεις, ἀμέγαρτε συβῶτα,
πλαγκτέ; τάχ' αὖ σ' ἐφ' ὕεσσι κύνες ταχέες κατέδονται,

ἀναχώρησις (sc. τῆς Πηνελόπης) γίνεται διὰ τοῦ υἱοῦ, ὃς καὶ ἐνταῦθα θάμβος ἐνιεὶς τῇ μητρί, καθὰ καὶ ἐν τῇ ᾱ ῥαψωδίᾳ (v. 356—359.), φησίν, ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε, καὶ τοὺς ἑξῆς τρεῖς στίχους, παραποιήσας μόνον τό, μῦθος δ' ἄνδρεσσι μελήσει, καὶ εἰπών, τόξον δ' ἄνδρεσσι μελήσει, κατὰ τό, πόλεμος δ' ἄνδρεσσι μελήσει (Il. ξ, 492.). Eust. (Vind. 50. μῦθος, supra scr. Γρ. τόξον. ἢ περὶ τῆς τοῦ τόξου δόσεως μῦθος).

V. 354. ἡ μὲν θαμβ.] Vind. 133. praemittit versum: ὣς φάτο· ῥίγησε δὲ περίφρων Πηνελόπεια, quem agnoscere videtur Eust., dicens: ἡ δὲ ῥίγησεν, ἀναλόγως τῷ καιρῷ, καὶ θαμβήσασα ἔβη ἔσω. In textu Eust. non legitur.

V. 362. ἀμέγαρτε] v. ad ρ, 219.

V. 363. πλαγκτέ] παραπλήξ, τὴν διάνοιαν πεπλανημένε. Vulg. Τὸ πλαγκτὲ ἀντὶ τοῦ, ἔμπληκτε, παραπλήξ, ἢ πλαζόμενε τὴν διάνοιαν, οὐ μὴν σταθηρέ. Eust.

οἷον ἀπ' ἀνθρώπων, οὓς ἔτρεφες· εἴ κεν Ἀπόλλων
ἡμῖν ἱλήκῃσι καὶ ἀθάνατοι θεοὶ ἄλλοι.
Ὣς φάσαν· αὐτὰρ ὁ θῆκε φέρων αὐτῷ ἐνὶ χώρῳ,
δείσας, οὕνεκα πολλοὶ ὁμόκλεον ἐν μεγάροισιν.
Τηλέμαχος δ' ἑτέρωθεν ἀπειλήσας ἐγεγώνει·
Ἄττα, πρόσω φέρε τόξα· τάχ' οὐκ εὖ πᾶσι πιθήσεις·
μή σε, καὶ ὁπλότερός περ ἐὼν, ἀγρόνδε δίωμαι,
βάλλων χερμαδίοισι· βίηφι δὲ φέρτερός εἰμι.
αἲ γὰρ πάντων τόσσον, ὅσοι κατὰ δώματ' ἔασιν,
μνηστήρων χερσίν τε βίηφί τε φέρτερος εἴην·
τῷ κε τάχα στυγερῶς τιν' ἐγὼ πέμψαιμι νέεσθαι
ἡμετέρου ἐξ οἴκου· ἐπεὶ κακὰ μηχανόωνται.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν

V. 364. ἀπ' ἀνθρώπων] Τὸ, ἀπ' ἀνθρώπων, ἑρμηνευτικόν ἐστι τοῦ, οἷον. μόνος γὰρ ὁ μὴ μετ' ἀνθρώπων. Eust.

V. 365. ἱλήκῃσι] ἵλεως γένηται. Vulg. Τὸ ἱλήκῃσι χρόνου παρακειμένου ἐστίν, οὗ ἐνεστὼς μὲν οὐχ εὕρηται, προστακτικὸν δὲ τὸ ἵληθι καὶ ἵλαθι. Eust.

V. 367. ὁμόκλεον] Τὸ ὁμοκλεῖν δηλῶν Ὅμηρος ταυτὸν εἶναι τῷ ἀπειλεῖν, ἔφη, πολλοὶ ὁμόκλεον, εἶτα Τηλεμάχου (scr. Τηλέμαχος) ἀπειλήσας τό, οὐκ εὖ πᾶσι πιθήσεις, παροιμιῶδες καὶ ἐπὶ ἀρέσκου καὶ πᾶσιν ἐθέλοντος πάντα πείθεσθαι. Eust.

V. 369. ἄττα] v. ad π, 31.

V. 370. δίωμαι] τουτέστι διώξω. Eust. v. ρ, 317. 398. υ, 343.

V. 376. ἡδὺ γέλασσαν] Τὸ αἴτιον αὐτοῖς τοῦ γελᾶν, ἐπεὶ οὔτε ὡς δεσπότης ἐπιτάσσειν εἶπε τῷ δούλῳ, ἀλλὰ ὡς βίῃ φέρτερος, καὶ οὐδὲ δοῦλον προσεῖπε. τὸ γὰρ ἄττα δεδήλωται ἀδελφικὸν εἶναι πρόσφθεγμα. καὶ ἡ διὰ χερμάδων δὲ βολὴ παιδι-

μνηστῆρες· καὶ δὴ μεθίεν χαλεποῖο χόλοιο
Τηλεμάχῳ· τὰ δὲ τόξα φέρων ἀνὰ δῶμα συβώτης
ἐν χείρεσσ' Ὀδυσῆϊ δαΐφρονι θῆκε παραστάς.
ἐκ δὲ καλεσσάμενος προσέφη τροφὸν Εὐρύκλειαν·
Τηλέμαχος κέλεταί σε, περίφρων Εὐρύκλεια,
κληΐσσαι μεγάροιο θύρας πυκινῶς ἀραρυίας·
ἣν δέ τις ἢ στοναχῆς ἠὲ κτύπου ἔνδον ἀκούσῃ
ἀνδρῶν ἡμετέροισιν ἐν ἕρκεσι, μήτι θύραζε
προβλώσκειν, ἀλλ' αὐτοῦ ἀκὴν ἔμεναι παρὰ ἔργῳ.
Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
κλήϊσσεν δὲ θύρας μεγάρων εὐναιεταόντων.

κώτερον ἠπείληται. ὡμολόγησε δὲ καὶ τὸ ἔλαττον φέρεσθαι τῶν μνηστήρων. ταῦτα δὲ πάντα ὡς ἀφελῆ γλυκέως ἐπιτετηδευμένα εἰς γέλωτα τοῖς μνηστῆρσι τὸν γέλων μετέτρεψεν. ὃς δὴ γέλως παρὰ τῷ ποιητῇ λύσις ἐστὶ καὶ αὐτὸς μεγάλων καὶ δυςλύτων περιπετειῶν. Eust.

V. 377. μεθίεν] μεθίεσαν. Ms. Barn. Τό, μεθίεν χόλοιο, δηλοῖ μὲν τὸ μεθίεσαν καὶ ἠμέλουν, γίνεται δὲ συνήθως ἐκ τοῦ μεθιείς μεθιέντος ἀποβολῇ τοῦ τος, ὁμοίως τῷ τράφεν καὶ κόσμηθεν καὶ ἑτέροις μυρίοις. Eust.

V. 382. μεγάροιο θύρας] ἤγουν τῆς γυναικωνίτιδος. — οὐκ ἀληθεύει μὲν ὁ Εὔμαιος εἰπών, ὡς ὁ Τηλέμαχος οὕτω κελεύει (v. 235. sequ.), πλὴν ὡς πεπνυμένος ψεύδεται καὶ αὐτός. οὐ γὰρ ἔδει πάντως εἰπεῖν, ὅτι Ὀδυσσεὺς κέλεταί σε τάδε ποιῆσαι. οὐ γὰρ οἶδε τὸν αὐτῆς ἐκείνου ἀναγνωρισμόν (τ, 392. sequ.). συνετὸς δὲ καὶ ἄλλως Εὔμαιος. ἐκεῖνος μὲν γὰρ ἐκέλευσε τῷ Εὐμαίῳ εἰπεῖν γυναιξὶ κληῖσαι μεγάροιο θύρας, ἀορίστως εἰπών. ὁ δὲ διέκρινε δεῖν εἶναι ὡρισμένως τοῦτο περὶ τῆς γυναικωνίτιδος τῇ Εὐρυκλείᾳ εἰπεῖν. Eust.

V. 385. προβλώσκειν] v. ad v. 239. π, 466. τ, 25.

V. 387. μεγάρων εὐναιεταόντων] οἰκημάτων καλῶς κατεσκευασμένων. Ambr. Q. Ὅρα τὸ μεγάρων. ἐπλήθυνε γὰρ συνήθως τὸ προῤῥηθέν, μεγάροιο θύρας (v. 382.). Eust.

Σιγῇ δ' ἐξ οἴκοιο Φιλοίτιος ἆλτο θύραζε,
κλήϊσσεν δ' ἄρ' ἔπειτα θύρας εὐερκέος αὐλῆς.
κεῖτο δ' ὑπ' αἰθούσῃ ὅπλον νεὸς ἀμφιελίσσης
βύβλινον, ᾧ ῥ' ἐπέδησε θύρας, ἐς δ' ἤϊεν αὐτός·
ἕζετ' ἔπειτ' ἐπὶ δίφρον ἰών, ἔνθεν περ ἀνέστη,
εἰςορόων Ὀδυσῆα. ὁ δ' ἤδη τόξον ἐνώμα,
πάντῃ ἀναστρωφῶν, πειρώμενος ἔνθα καὶ ἔνθα,
μὴ κέρα ἶπες ἔδοιεν, ἀποιχομένοιο ἄνακτος.

V. 390. ὅπλον] σχοινίον. Vulg. Ὅρα καὶ ἐνταῦθα κλείδωμα θυρῶν, εἶτα καὶ δεσμόν, οὐκέτι δι' ἱμάντων, οὐ γὰρ ἦν τὰς τηλικάςδε θύρας οὕτω συνδεθῆναι, ἀλλὰ διὰ σχοινίου ναυτικοῦ, εἴτε καινὸν ἐκεῖνο εἴτε καὶ τέτριπται. Eust.

V. 391. βύβλινον (ed. ant. et Ambr. Vind. βίβλινον)] καννάβινον. οἱ δέ, τὸ ἐκ παπύρου. Vulg. Ambr. B. Βίβλινον, οὐ τὸ ἐκ βίβλου, ὅ ἐστι παπύρου Αἰγυπτίας, ἀλλὰ βοτάνης τινὸς ἐμφεροῦς παπύρῳ. οἱ δὲ καννάβινόν φασιν, ἕτεροι δέ, τὸ ἐκ φιλύρας. — Ἐνταῦθα δὲ σημείωσαι, ὅτι τε ἡ Βύβλος ἐπὶ πόλεως μέν, τῆς καὶ ἐν τῷ περιηγητῇ, μόνως διὰ τοῦ υ γράφεται, ἐπὶ δὲ φυτοῦ ὡς ἐπιπολὺ μὲν καὶ μάλιστα παρὰ τοῖς ἀρχαίοις ὁμοία ἡ γραφή, οἱ δὲ νεώτεροι τρέψαντες κατὰ τὸ δύφρος δίφρος, μῦσος μῖσος, Μοῦσα Μοῖσα, τύπτουσα τύπτοισα, καὶ ὅσα τοιαῦτα Δωρικὰ καὶ Αἰολικά, βίβλος διὰ τοῦ ι φασί, καὶ τὸ πλέον ἐπὶ τῆς ὑποκειμένης βίβλου τοῖς γράμμασι. Eust.

V. 394. ἀναστρωφῶν] ἀναστρέφων. πειρώμενος] καταμανθάνων. Vulg.

V. 395. ἶπες] θηρία ἐσθίοντα τὰ κέρατα, παραπλήσια κώνωψι. κατανοεῖ (ed. ant. κατανόει, Barn. κατενόει) δέ, μὴ ἄρα ἄχρηστα αὐτῷ γένηται, καὶ ἑτέρᾳ δέον χρήσασθαι μηχανῇ. Vulg. Ἰστέον ὅτι θηρίδια οἱ ἶπες κέρασιν ἐμφυόμενα καὶ κατεσθίοντα, παραπλήσιά φασι κώνωψι. γίνεται δὲ παρὰ τὸ ἴπτειν ὅ ἐστι φθείρειν. τινὲς δὲ ὑφὲν κεραΐπες γράφουσιν, ἀντὶ τοῦ, ἐν τοῖς κέρασιν ἶπες, πρὸς διαστολὴν τῶν ἐν φυτοῖς. ἄλλοι δέ, κεραΐδες (scr. κεραΐδες), ὡς ἀπὸ τοῦ κεραΐζειν, ἵνα δηλοῖ τὰς τῶν τόξων φθαρτικάς. κεράτινον δὲ ἦν φασιν, ὡς φαίνεται, τὸ τόξον, οὐ μὴν κατὰ τὰ πάλαι Σκυθικὰ ξύλινον. Ἐκτείνεται δὲ ἡ ἄρχουσα τοῦ ἶπες, διὸ καὶ περισπᾶται. Eust.

ὧδε δέ τις εἴπεσκεν, ἰδὼν ἐς πλησίον ἄλλον·
Ἦ τις θηητὴρ καὶ ἐπίκλοπος ἔπλετο τόξων·
ἤ ῥά νύ που τοιαῦτα καὶ αὐτῷ οἴκοθι κεῖται,
ἢ ὅγ' ἐφορμᾶται ποιησέμεν· ὡς ἐνὶ χερσὶν
νωμᾷ ἔνθα καὶ ἔνθα κακῶν ἔμπαιος ἀλήτης.
Ἄλλος δ' αὖτ' εἴπεσκε νέων ὑπερηνορεόντων·
αἲ γὰρ δὴ τοσσοῦτον ὀνήσιος ἀντιάσειεν,
ὡς οὗτός ποτε τοῦτο δυνήσεται ἐντανύσασθαι.

V. 397. θηητήρ] θαυμαστικός, ἔμπειρος. Vulg. θαυμαστής, θεατήρ. Hesych. (Vind. 133. θηρητήρ).

ἐπίκλοπος] ἐπιθυμητής, ὀρεκτικός, κλέπτης. κλέπτειν γὰρ τὸ ἐπιθυμεῖν, καὶ κλέπτης ὁ ἐπιθυμητὴς τῶν ἀλλοτρίων. Vulg. Ὁ ἐπίκλοπος καὶ τὸν ἁπλῶς κλέπτην ἔστιν ὅτε δηλοῖ, καὶ τὸν πανοῦργον δέ. Eust. Ἐπίκλοπος. ἐπιθυμητής. ἢ κλέπτων καὶ ἐξαπατῶν τοῖς λόγοις. Apollon. δόλιος, πανοῦργος ἢ ἐπιθυμῶν τοῦ κλέπτειν. Hesych. Ἐπίκλοπος. ἀσύνετος καὶ παραλογιστικός. ἢ ἀπατεών, οἷον, θηητὴρ ἐπίπλοκος. νῦν ὁ ἐπιθυμητής· ἐν ἄλλοις δὲ καὶ τὸν παραλογιστὴν σημαίνει, οἷον, Ἀττά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων (Il. χ, 281.). Etymol. M. ἐπίπλοκος] Γρ. ἐπίκλοπος. Harl.

V. 399. ἐφορμᾶται] προτεθύμηται. Vulg. Τό, ἐφορμᾶται ποιήσειν, ὅμοιόν ἐστι τῷ ὁρμαίνει. ἀπὸ τοῦ ὁρμῶ γὰρ τὸ ὁρμαίνω γίνεται. Eust.

V. 400. νωμᾷ] Τό, νωμᾶν ἔνθα καὶ ἔνθα, ταυτόν ἐστι τῷ ἀναστρωφᾶν, ὅπερ ἀνωτέρω αὐτοῦ κεῖται (v. 394.). πρὸς δὲ ὁμοιότητα τοῦ, χερσὶ νώμων (scr. νωμᾷ v. νωμᾶν), ἢ καὶ διαστολὴν εἴρηται ἀλλαχοῦ τό, ἐν φρεσὶν ἐνώμα, ἤγουν διελογίζετο (v. σ, 216. coll. ν, 255. υ, 257.). Eust.

ἔμπαιος] v. ad υ, 379.

V. 402. τοσοῦτον ὀνήσιος ἀντιάσειεν] Ὁ νοῦς· εἴθε καὶ ἐπὶ τοσοῦτον ὄνησιν, ὧν βούλεται, λάβοι. ἢ οὕτως. εἴθε τοσοῦτον μετάσχοι, ὡς οὐ (Buttm. conj. ὅσον) δυνήσεται ἐντανῦσαι. Vulg.

ὀνήσιος] ὠφελείας. ἢ τῆς βρώσεως, ἣν εἰλήφει παρὰ τῶν μνηστήρων. Id.

Ὣς ἄρ᾽ ἔφαν μνηστῆρες· ἀτὰρ πολύμητις Ὀδυσσεύς,
αὐτίκ᾽ ἐπεὶ μέγα τόξον ἐβάστασε, καὶ ἴδε πάντη,
ὡς ὅτ᾽ ἀνὴρ φόρμιγγος ἐπιστάμενος καὶ ἀοιδῆς
ῥηϊδίως ἐτάνυσσε νέῳ περὶ κόλλοπι χορδήν,
ἅψας ἀμφοτέρωθεν ἐϋστρεφὲς ἔντερον οἰός,
ὣς ἄρ᾽ ἄτερ σπουδῆς τάνυσεν μέγα τόξον Ὀδυσσεύς,

V. 405. ἐπεὶ μέγα τόξον ἐβάστασε] Ἰστέον ὅτι ἐν τῷ, ἐπεὶ μ. τόξον ἐβάστασε καὶ ἴδε πάντῃ, ἀκόλουθον μὲν ἦν, εἰπεῖν εὐθύς, ὡς ἄτερ σπουδῆς· ἐτάνυσεν. ὁ δὲ ποιητὴς κοινότερον ἐπήγαγεν εὐθὺς ἐμβλητικῶς παραβολήν, ὡς ὅτ᾽ ἀνήρ, κ. ἑ. εἶτα ἀπέδωκε κοινῶς πρός τε τό, ἐπεὶ μέγα τόξον ἐβάστασε, καὶ πρὸς αὐτὴν τὴν παραβολήν, μίαν ἀπόδοσιν τό, ὡς ἄρ᾽ ἄτερ σπουδῆς τάνυσε μέγα τόξον. Ὅρα δὲ καὶ τό, ἐβάστασε τόξον, κοινότερον λεχθέν, καὶ τό, ἐπιστάμενος φόρμιγγος καὶ ἀοιδῆς, κατὰ γενικὴν συνταχθὲν ὁμοίως τῷ εἰδέναι καὶ τῷ γνῶναι, ἃ καὶ αὐτὰ οἶδασι παρὰ τῷ ποιητῇ καὶ τὴν μετὰ γενικῆς σύνταξιν (v. ad. v. 36.). Eust.

V. 406. ἀοιδῆς] Τὸ ἀοιδῆς ἀκριβῶς πρόσκειται. ἐπίσταται μὲν γὰρ φόρμιγγος καὶ ὁ τέκτων αὐτῆς. τὸ δέ, καὶ ἀοιδῆς, μόνου ἐστὶ τοῦ ἀοιδοῦ. δοκεῖ δὲ τὸ ἐπιστάμενος ἀρχή τις εἶναι τοῖς ὕστερον τοῦ καὶ τὰς τέχνας ἐπιστήμας λέγεσθαι. Id.

V. 407. νέῳ] Ἀντὶ τοῦ, καινῷ. κόλλοπι] κολλάβῳ. εἴρηται δὲ παρὰ τὴν κόλλαν. Vulg. ἔνθα τείνονται αἱ ἐν τῇ λύρᾳ χορδαί. Ambr. Q. Κόλλοψ, ὁ παρὰ τοῖς ὕστερον κόλλαβος, δι᾽ οὗ τείνονται αἱ τοιαῦται χορδαί, καὶ οὕτω φασὶ λεγόμενος, διότι τὸ παλαιὸν ἐκ δερμάτων σκληρῶν ἦν τῶν πρὸς τῷ τραχήλῳ τῶν βοῶν, ἔστι δ᾽ ὅτε καὶ τῶν οἰῶν, ἃ καὶ αὐτὰ κόλλοπες ἐκαλοῦντο διὰ τὸ ἐξ αὐτῶν ἀναβραττομένων κόλλαν γίνεσθαι. Eust.

V. 408. ἅψας] Ἀντὶ τοῦ, ἐκδήσας. Eust. ἔντερον οἰός] τὴν χορδήν. Vulg. Τό, ἐϋστρεφὲς ἔντερον οἰός, περίφρασίς ἐστι τοῦ χορδή, ἤδη δὲ καὶ ὁρισμὸς αὐτῆς. κυρίως γὰρ χορδὴ εὐτραφὲς ἤτοι εὔκλωστον ἔντερον οἰός. Eust.

V. 409. ἄτερ σπουδῆς] Ἀντὶ τοῦ, δίχα καμάτου. ἐξ οὗ ἐν Ἰλιάδι ἀσπουδεί, τὸ ἀπονητί, οἷον, μὴ μὰν ἀσπουδεί γε νεῶν ἐπιβαῖεν ἕκηλοι (Il. Θ, 512.). Eust.

δεξιτερῇ δ' ἄρα χειρὶ λαβὼν πειρήσατο νευρῆς·
ἡ δ' ὑπὸ καλὸν ἄεισε, χελιδόνι εἰκέλη αὐδήν.
μνηστῆρσιν δ' ἄρ' ἄχος γένετο μέγα, πᾶσι δ' ἄρα χρὼς
ἐτράπετο· Ζεὺς δὲ μεγάλ' ἔκτυπε, σήματα φαίνων·
γήθησέν τ' ἄρ' ἔπειτα πολύτλας δῖος Ὀδυσσεύς,
ὅττι ῥά οἱ τέρας ἧκε Κρόνου παῖς ἀγκυλομήτεω.
εἵλετο δ' ὠκὺν ὀϊστόν, ὅς οἱ παρέκειτο τραπέζῃ
γυμνός· τοὶ δ' ἄλλοι κοίλης ἔντοσθε φαρέτρης
κείατο, τῶν τάχ' ἔμελλον Ἀχαιοὶ πειρήσεσθαι.
τόν ῥ' ἐπὶ πήχει ἑλών, ἕλκεν νευρὴν γλυφίδας τε,

V. 410. πειρήσατο] μὴ ἄρα κραυρωθεῖσα ἠχρείωται. Id.

V. 411. χελιδόνι] Ὅτε δηλαδὴ μὴ ἀποτάδην ἐκείνη ᾄδει, ἀλλὰ κατά τι κόμμα, ὡς εἴωθεν. Id.

ἄντην] Ἄντην ἐν ἄλλοις μὲν τὸ ἀντικρύ, ἐνταῦθα δὲ τὸ ἄντικρυς ἤτοι φανερῶς, ὃ καὶ αὐτὸ ἀντικρύ λέγεται παρὰ τῷ ποιητῇ, οἷον, ἀντικρὺ δ' ἀπόφημι (Il. η, 362.). τὸ γὰρ ἄντικρυς τῶν ὑστέρων ἐστί. Id.

V. 412. χρώς] ἡ χροιά. Vulg.

V. 413. ἐτράπετο] ἐτράπη, ἠλλοιώθη. Vulg.

σήματα φαίνων] Ὅρα ὅτι τὸ αὐτὸ κτύπημα τῆς βροντῆς καὶ σῆμα εἶπε καὶ τέρας, τοῦτο μὲν ἑνικῶς, ἐκεῖνο δὲ πληθυντικῶς. σήματα γάρ φησι φαίνων, ἢ καὶ ὑπερβατῶς, μεγάλα σήματα φαίνων. καὶ ἔστι σῆμα μὲν ὡς σημεῖον ἁπλῶς τοῦ μέλλοντος, τέρας δὲ ἢ διὰ τὸ ὡς εἰκὸς καὶ νῦν ἀνέφελον τοῦ ἀέρος, ἢ καὶ ὡς ἐκ τῶν ἀνωτάτω τόπων, ἔνθα καὶ τὰ τείρεα, οἷς τὸ τέρας παρωνυμεῖται. Eust.

V. 417. κοίλης] βαθείας, διὰ τὸ γεγλύφθαι. Vulg.

V. 419. πήχει] τῷ τοῦ τόξου κέρατι. Id. Ἔστι τὸ μέν, ἐπὶ πήχει ἑλών, ἀντὶ τοῦ, κρατήσας καὶ θεὶς τὸν ὀϊστὸν ἐπὶ τῷ πήχει τοῦ τόξου, ἤγουν τῷ κέρατι, ἔνθα ἡ τοῦ τόξου λαβή. κεῖται δὲ ἡ λέξις καὶ ἐν Ἰλιάδι, οἷον, ὁ δὲ τόξου πῆχυν ἀνεῖλκε (λ, 375. ν, 583.) γλυφίδες δὲ αἱ τοῦ ὀϊστοῦ, αἷς ἐνίεται ἡ νευρά, οὕτω καλουμένη ἀρχαιολογικῶς. ὕστερον γὰρ ἐκ δερμάτων βοός,

αὐτόθεν ἐκ δίφροιο καθήμενος, ἧκε δ᾽ ὀϊστὸν
ἄντα τιτυσκόμενος· πελέκεων δ᾽ οὐκ ἤμβροτε πάντων
πρώτης στειλειῆς, διὰ δ᾽ ἀμπερὲς ἦλθε θύραζε
ἰὸς χαλκοβαρής· ὁ δὲ Τηλέμαχον προςέειπεν·
Τηλέμαχ᾽, οὔ σ᾽ ὁ ξεῖνος ἐνὶ μεγάροισιν ἐλέγχει,
ἥμενος· οὐδέ τι τοῦ σκοποῦ ἤμβροτον, οὐδέ τι τόξον
δὴν ἔκαμον τανύων· ἔτι μοι μένος ἔμπεδόν ἐστιν·
οὐχ ὥς με μνηστῆρες ἀτιμάζοντες ὄνονται.

οὐ μὴν ἐκ νεύρων αἱ τῶν τόξων νευραί. Εἰ δὲ εἷλκε νευρὴν γλυφίδας τε, ἐρυστὸν ἄρα καὶ ῥυτὸν οὐ μόνον τὸ τόξον, ἀλλὰ καὶ ὀϊστός, ὡς προείρηται (v. ad *σ*, 262.). Eust.

V. 420. *ἐκ δίφρ. καθήμενος*] *Τὸ ἐκ δίφρου καθήμενον τοξεύειν ἤργησεν ὕστερον. κάμπτοντες γὰρ ἐν τοιούτοις γόνυ οὕτω τοξεύουσι.* Id.

V. 421. *τιτυσκόμενος*] *καταστοχαζόμενος.* Vulg.

V. 422. *πρ. στειλειῆς*] *Ἀπρώτης* (rec. *διὰ πρώτης*, Buttm. *ἀπὸ πρώτης*) *γὰρ ὀπῆς τῶν πελέκεων διηνεκῶς ἦλθεν.* Vulg. *Στειλειή, ὀπὴ πελέκεως, εἰς ἣν ἐνείρεται ἤγουν ἐμβάλλεται στελεός, ὃς καὶ οὐδετέρως λέγεται τὸ στελεόν, καὶ πλεονασμῷ δὲ διχρόνων ὁ στειλειός καὶ τὸ στειλειόν. ὅθεν καὶ ἡ στειλειά, δι᾽ ἧς στέλλεται τὸ διϊὸν ἢ ἐμβαλλόμενον. Ἰστέον δὲ ὅτι ἐχρῆν μὴ ἁμαρτεῖν τῆς πρώτης τῶν πελέκεων στειλειῆς, καὶ εὐθὺς ἅμα τῇ βολῇ διελθεῖν θύραζε τὸν ὀϊστόν, διὰ τὸ ἐπὶ στάθμην αὐτοὺς ἀπευθυνθῆναι. Ὅρα δὲ καὶ νῦν τὸ θύραζε, ἀντὶ τοῦ ἁπλῶς ἔξω, ὅπερ ἦν ἐνταῦθα τὸ ἐκεῖθεν ἀντικρὺ τῆς πρώτης στειλειῆς.* Eust.

V. 423. *χαλκοβαρής*] *ὁ ἀπὸ σιδήρου ἰσχυρός.* Vulg. *Ἰὸς χαλκοβαρὴς πρὸς διαστολὴν κεῖται τοῦ ἀσιδήρου, ὃς οὐκ ἂν εἴη χρήσιμος τοῖς οὕτως ὀϊστεύουσιν.* Eust.

V. 424. *ἐλέγχει*] *ἐπονείδιστον τίθησιν.* Vulg.

V. 427. *ὄνονται*] *ἐκφαυλίζουσιν.* Id. *μέμφονται, ἐκφαυλίζουσι. Ὅρα δὲ τὸ ὄνονται φανερῶς βαρύτονον ὄν, ὡς ἀπὸ ἐνεστῶτος τοῦ ὄνω ὄνομαι. ὅθεν τὸ ὀνῶ ὀνόσω παράγωγον ῥῆμα*

νῦν δ' ὥρη, καὶ δόρπον Ἀχαιοῖσιν τετυκέσθαι
ἐν φάει, αὐτὰρ ἔπειτα καὶ ἄλλως ἑψιάασθαι
μολπῇ καὶ φόρμιγγι· τὰ γάρ τ' ἀναθήματα δαιτός.
Ἦ, καὶ ἐπ' ὀφρύσι νεῦσεν· ὁ δ' ἀμφέθετο ξίφος ὀξὺ
Τηλέμαχος, φίλος υἱὸς Ὀδυσσῆος θείοιο·
ἀμφὶ δὲ χεῖρα φίλην βάλεν ἔγχεϊ· ἄγχι δ' ἄρ' αὐτοῦ
πὰρ θρόνον ἑστήκει, κεκορυθμένος αἴθοπι χαλκῷ.

καινότροπον, καὶ οὐ φύσει ὂν τρίτης συζυγίας τῶν περισπωμένων. Eust.

V. 428. 429. νῦν δ' ὥρη κ. ἑ.] Οἱ παλαιοὶ φασὶν ἐνταῦθα, καὶ ὅτι παρέλκει τὴν διάνοιαν τῶν μνηστήρων Ὀδυσσεύς, δόρπου μνησθείς, καὶ ὅτι συμβολικῶς ἢ καὶ ὡς ἐν εἰρωνείᾳ δόρπον μὲν αὐτῶν τὸν θάνατον λέγει. τὸ δὲ ἑψιάασθαι ἀντὶ τοῦ οἰμώζειν. ἄλλως δὲ τί ἐστι τὸ ἑψιᾶσθαι, ἱκανῶς προδεδήλωται. νῦν δὲ σημειωτέον ὅτι καὶ ἐπὶ μολπῆς καὶ φόρμιγγος τὸ ἑψιᾶσθαι τίθεται. Eust. ἑψιάασθαι] τέρπεσθαι. Vulg. παῖξαι. Ambr. Q.

V. 431. ἀμφέθετο] ἐπεῖχεν, ηὐτρέπισεν. Vulg. ηὐτρέπισε. Ambr. Q.

V. 433. χεῖρα φίλην] Τό, χεῖρα φίλην, ὅμοιον τῷ, φίλας ὅ,τι χεῖρας ἵκοιτο. ἀφιλῶς γὰρ καὶ εἰς οὐδὲν ἀναγκαῖον κεῖται καὶ ἐκεῖ τὸ φίλας, καὶ ἐνταῦθα τὸ φίλην. ἴσως δὲ νῦν ἔστι τις ἔμφασις τοῦ φίλην αὐτῷ δὴ τῷ ποιητῇ τὴν τοιαύτην εἰρῆσθαι χεῖρα. Eust.

ΤΗΣ ΤΟΥ ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ ΡΑΨΩΙΔΙΑ Η ΓΡΑΜΜΑ Χ.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Χ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Τὰ περὶ τὴν μνηστηροφονίαν ἐργασάμενος Ὀδυσσεύς, παρούσης Ἀθηνᾶς, ἐν τοῖς ἑξῆς τὰς θεραπαίνας διὰ Τηλεμάχου καὶ τῶν οἰκείων κολάζει ἅμα Μελανθίῳ. (Vulg. Pal.) Ἄλλως. Τὴν μνηστηροφονίαν περιέχει, καὶ τὴν τῶν σωμάτων συγκομιδήν, καὶ ὡς καθαίρει τοῦ φόνου τὸν οἶκον ὁ Ὀδυσσεύς. Eust.

Ἐπιγραφαί.

Μνηστηροφονία. ἤ, Μνηστήρων φόνος.

Ἄλλως.

Χῖ, Ὀδυσεὺς μνηστῆρας ἐκαίνυτο νηλέϊ χαλκῷ.

Αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς·

V. 1. γυμνώθη ῥακέων] Νοητέον ἐνταῦθα ὅτι ζωσάμενος Ὀδυσσεὺς ἐγυμνώθη τὰ σκέλη μόνα, ὡς μηδὲ τὴν ῥηθεῖσαν οὐλὴν παραφαίνεσθαι. οὐ γὰρ δήπου τὸ ὅλον ἐγύμνου σῶμα, εἰς πόλεμον παραταττόμενος. (Vulg. τὴν ῥακώδη ἀπεδύσατο ἐσθῆτα, οὐχ ὅλως, ἀλλὰ τῶν περιττῶν καὶ ῥακωδῶν, τὰ σκέποντα τὰ ἀναγκαῖα ἔχων.) δηλοῖ δὲ τὸ ἐνδεδύσθαι αὐτὸν καὶ ἡ μαῖα ἐν τοῖς ἑξῆς, (v. 488.) εἰποῦσα, μηδ' οὕτω ῥάκεσσι (scr. ῥάκεσι) πεπυκασμένος εὐρέας ὤμους ἕσταθι. Eust.

ἆλτο δ' ἐπὶ μέγαν οὐδόν, ἔχων βιὸν ἠδὲ φαρέτρην,
ἰῶν ἐμπλείην· ταχέας δ' ἐκχεύατ' ὀϊστοὺς
αὐτοῦ πρόσθε ποδῶν, μετὰ δὲ μνηστῆρσιν ἔειπεν·
Οὗτος μὲν δὴ ἄεθλος ἀάατος ἐκτετέλεσται·
νῦν αὖτε σκοπὸν ἄλλον, ὃν οὔπω τις βάλεν ἀνήρ,
εἴσομαι, αἴ κε τύχωμι, πόρῃ δέ μοι εὖχος Ἀπόλλων.
Ἦ, καὶ ἐπ' Ἀντινόῳ ἰθύνετο πικρὸν ὀϊστόν.
ἤτοι ὁ καλὸν ἄλεισον ἀναιρήσεσθαι ἔμελλεν,
χρύσεον, ἄμφωτον· καὶ δὴ μετὰ χερσὶν ἐνώμα,
ὄφρα πίοι οἴνοιο· φόνος δέ οἱ οὐκ ἐνὶ θυμῷ
μέμβλετο· τίς κ' οἴοιτο μετ' ἀνδράσι δαιτυμόνεσσιν,

V. 2. ἆλτο] Ὅτι τό, ἆλτο ἐπὶ οὐδόν, ἀντὶ τοῦ ἥλατο, καιρίως ἔφη, ὡς ὑψηλοτέρου τῆς θύρας ὄντος τοῦ οὐδοῦ. ψιλοῦται δὲ τὸ ἆλτο καὶ ταῦτα ἀπὸ τοῦ ἅλλεσθαι γεγονός, οὐ μόνον ὡς Αἰολικόν, ἀλλὰ διὰ τὴν ἐπαγωγὴν τοῦ ψιλοῦ τ. Id.

V. 5. ἀάατος] Ἀάατος δύναται ἡ δίχα βλάβης ἐνταῦθα εἶναι, ἵνα λέγῃ Ὀδυσσεύς, ὡς οὐ πολυβλαβής, ὦ μνηστῆρες, ἐμοὶ ὁ παρὼν ἄεθλος, ὡς ὑμεῖς ἐλέγετε, ἀλλὰ ἐστερημένος ἄτης, καὶ ὡς εἰπεῖν ἀβλαβής. λέγοι δ' ἂν αὐτὸν καὶ ἄλλως εἰρωνικῶς ἀάατον ἤγουν πολυβλαβῆ, κατὰ τὸ δοκοῦν τοῖς μνηστῆρσι. Id. cf. ad φ, 91.

V. 7. εἴσομαι] τουτέστι γνώσομαι, ἢ ἐπιπορεύσομαι. Id.

V. 8. ἰθύνετο] ἐπὶ εὐθείας ἐτόξευεν. Vulg.

V. 10. ἄμφωτον] τὸ ἐξ ἑκατέρων τῶν μερῶν ὦτα ἔχον. Id.

V. 11. ὄφρα πίοι οἴνοιο] Τό, ὄφρα πίοι οἴνοιο, Ἀττικῶς ἐῤῥέθη. ἄλλως γὰρ τὸ πίνειν αἰτιατικῇ συντάσσεται. ἴσως δὲ καὶ οὐδὲ ἔμελλε τὸν ὅλον ἐκπιεῖν οἶνον, ἀλλά τι μέρος αὐτοῦ, ὡς εἰώθασι ποιεῖν οἱ, ὡς προεδηλώθη, προπίνοντες. τὰ δὲ τοιαῦτα γενικῇ συντάσσονται, ὅτε δηλαδὴ μὴ τὸ πᾶν δαπανᾶται, ἀλλά τι μέρος αὐτοῦ, οἷον, λέων βοὸς βεβρωκὼς (infra v. 403.), καί, ὄφις μυρμήκων φαγών, καὶ ὅσα τοιαῦτα. Eust.

V. 12. μέμβλετο] Τὸ μέμβλετο, ποιητικὴ αὕτη λέξις, ἐκ

μοῦνον ἐνὶ πλεόνεσσι, καὶ εἰ μάλα καρτερὸς εἴη,
οἷ τεύξειν θάνατόν τε κακὸν καὶ Κῆρα μέλαιναν;
τὸν δ' Ὀδυσεὺς κατὰ λαιμὸν ἐπισχόμενος βάλεν ἰῷ,
ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή.
ἐκλίνθη δ' ἑτέρωσε, δέπας δέ οἱ ἔκπεσε χειρός,
βλημένου· αὐτίκα δ' αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθεν

τοῦ μεμέλητο γίνεται, ὃ ἐστι διὰ μελήσεώς ἦν, κατά τε συγκοπὴν καὶ ἐπένθεσιν τοῦ β̄ δι' εὐφωνίαν καὶ συστολὴν τοῦ παραλήγοντος η̄ εἰς ε̄. Id.

δαιτυμόνεσσιν] Δαιτυμόνες νῦν οἱ ἁπλῶς δαινύμενοι. ἐν μέντοι τῇ δ̄ ῥαψῳδίᾳ (v. 621.) ἐπὶ τῶν τὴν δαῖτα παρασκευαζόντων εὕρηται ἡ λέξις τεθεῖσα. οἱ δὲ ὕστερον ἐπὶ κλητῶν φίλων αὐτὴν τιθέασιν. Id. cf. η, 102. 148.

V. 14. μέλαιναν] Γρ. φυτεῦσαι. Vind. 5. et 50.

V. 15. ἐπισχόμενος] ἐπιλαβόμενος. Vulg. Τὸ ἐπισχόμενος ἀντὶ τοῦ καταστοχασάμενος. τοῦτο δὲ διὰ τὸ ἐπέχειν τὴν χεῖρα καὶ ἱστᾶν τὸν κατὰ σκοποῦ βάλλοντα. οἱ δὲ παλαιοὶ καὶ ἀντὶ τοῦ λαβόμενός φασιν, ἀστείως λέγοντες ὡς ἀπὸ χερσὶ κρατοῦντος. ὡς γὰρ ὁ ἄγχων ἐπέχει τινὰ τοῦ λαιμοῦ, οὕτω καὶ Ὀδυσσεὺς ἔβαλε τὸν Ἀντίνοον κατὰ λαιμόν, ἐπισχόμενος ἰῷ, ὡς οἷα καὶ χειρί. Eust.

V. 16. ἁπαλοῖο δι' αὐχένος] Τό, ἁπαλοῖο δι' αὐχένος, οὐ τοῦ ὅλου αὐχένος ἐπίθετον, ἀλλὰ τοῦ περὶ αὐτὸν ἁπαλωτέρου μέρους. ἄλλως γὰρ οὐκ ἂν ἁπαλὸς αὐχὴν λέγοιτο ὁ σκληρὸς καὶ παρὰ τὸν αὐχμὸν ἐτυμολογούμενος διὰ τὰ κατ' αὐτὸν ὀστᾶ, ὡς οἷά τις αὐχμήν. Id.

V. 17. ἐκλίνθη] Τὸ ἐκλίνθη εὕρηταί που ἐν τοῖς πρὸ τούτων (cf. Il. γ, 360.), καὶ τοῦ ν̄ ἐν τῷ, ἂψ δ' ἑτέρωσ' ἐκλίθη (τ, 470.), ἐπιτάξαντος τοῦ μέτρου ἐκεῖ τὴν τοῦ ν̄ ἀπέλευσιν κατὰ κοινοτέραν γραφήν. Id.

V. 18. βλημένου] Τὸ βλημένου ὤφειλε μὲν δοτικῇ εἶναι, ἵνα ἦν, δέπας δέ οἱ ἔκπεσε χειρὸς βλημένῳ, καὶ δὴ καὶ εὕρηνταί τινα τῶν ἀντιγράφων οὕτως ἔχοντα τῆς γραφῆς. τὰ μέντοι ἀκρι-

αἵματος ἀνδρομέοιο· θοῶς δ' ἀπὸ εἷο τράπεζαν
ὦσε ποδὶ πλήξας, ἀπὸ δ' εἴδατα χεῦεν ἔραζε·
σῖτός τε κρέα τ' ὀπτὰ φορύνετο. τοὶ δ' ὁμάδησαν
μνηστῆρες κατὰ δώμαθ', ὅπως ἴδον ἄνδρα πεσόντα·
ἐκ δὲ θρόνων ἀνόρουσαν, ὀρινθέντες κατὰ δῶμα,
πάντοσε παπταίνοντες ἐϋδμήτους ποτὶ τοίχους·
οὐδέ πῃ ἀσπὶς ἔην, οὐδ' ἄλκιμον ἔγχος, ἑλέσθαι.
νείκειον δ' Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσιν·
Ξεῖνε, κακῶς ἀνδρῶν τοξάζεαι· οὐκέτ' ἀέθλων
ἄλλων ἀντιάσεις· νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
καὶ γὰρ δὴ νῦν φῶτα κατέκτανες, ὃς μέγ' ἄριστος
κούρων εἰν Ἰθάκῃ· τῷ σ' ἐνθάδε γῦπες ἔδονται.

βέστερα γενικὴν ἔχουσιν, ὡς μηδὲ τοῦ πλαγιασμοῦ σολοικίζοντος, καθὰ καὶ ἐν ἄλλοις δεδήλωται (v. ad ζ, 157. ι, 216. et 256.). Id.

αὐλὸς] Αὐλὸς νῦν κατὰ τοὺς παλαιοὺς κρουνός, ἐξακόντισμα αἵματος, ὀξεῖα ἀναφορά. αὐλὸς γάρ φασι πᾶν τὸ στενόν, ὅθεν καὶ ἔναυλοι, στενοὶ ποταμοί. τοιοῦτον δέ τοι καὶ οἱ αὐλῶνες. Id.

V. 19. ἀνδρομέοιο] Ἀνδρόμεον οὐ μόνον αἷμα, ὡς νῦν, ἀλλὰ καὶ ψωμοὶ πρὸ τούτων ἀνδρόμεοι ἐπὶ Κύκλωπος (v. ι, 297. et 374.). Id.

V. 20. ὦσε π. πλ.] Τό, ὦσε ποδὶ πλήξας, σφαδάζειν δηλοῖ τὸν Ἀντίνοον ἐν τῷ πίπτειν. Id.

V. 21. φορύνετο] τουτέστιν ἐμολύνετο ἢ αἵματι ἢ καὶ ἄλλως κυλιόμενα εἰς γῆν. Id.

V. 27. τοξάζεαι] τοξεύων ἐπιτυγχάνεις. Vulg. Τό, κακῶς ἀνδρῶν τοξάζεαι, ἀντὶ τοῦ, ἀτεχνῶς τοξάζῃ κατὰ ἀνδρῶν. οὕτω γὰρ οἴονται. Eust.

Ἴσκεν ἕκαστος ἀνήρ, ἐπειὴ φάσαν οὐκ ἐθέλοντα
ἄνδρα κατακτεῖναι· τὸ δὲ νήπιοι οὐκ ἐνόησαν,
ὡς δή σφιν καὶ πᾶσιν ὀλέθρου πείρατ᾽ ἐφῆπτο.
τοὺς δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ κύνες, οὔ μ᾽ ἔτ᾽ ἐφάσκεθ᾽ ὑπότροπον οἴκαδ᾽ ἱκέσθαι
δήμου ἄπο Τρώων, ὅτι μοι κατεκείρετε οἶκον,
δμωῇσιν δὲ γυναιξὶ παρευνάζεσθε βιαίως,

V. 31. ἴσκεν] τουτέστιν, ὡς καὶ προεῤῥέθη ἀλλαχοῦ (v. ad τ, 203.), ἔλεγεν, ἢ ὑπενόει, ἤϊσκεν, ἐπειδὴ φάσαν οὐκ ἐθέλοντα ἄνδρα κατακτεῖναι, ἀλλὰ κατὰ ἀτεχνίαν τοῦ τοξεύειν. — Ἰστέον δὲ ὅτι νοθεύεται ὑπὸ τῶν παλαιῶν τὸ χωρίον τοῦτο. ἄκαιρον γάρ φασι καὶ γελοῖον, πάντας ὁμοῦ ταῦτα λέγειν, ὡς ἐκ συνθήματος οἷά τινα τραγικὸν χορόν. ἔθος γάρ φασιν Ὁμήρῳ, ἐν τοῖς τοιούτοις οὐχ οὕτω ποιεῖν, ἀλλὰ λέγειν, ὧδε δέ τις εἴπεσκεν. ἔστι δ᾽ εἰπεῖν, ὡς ἐσχημάτισεν Ὅμηρος νῦν ἄλλως τὸ τοιοῦτον νόημα, ὡς οἷα συγκεχυμένως ὑφ᾽ ἑκάστου τῶν μνηστήρων λεγόμενον. οὐ γὰρ εἶχεν ἐν τοσούτῳ ταράχῳ κοινῷ ἰδίᾳ ἠθοποιεῖν. Eust. Οὐδέποτε Ὅμηρος ἐπὶ τοῦ ἔλεγε τὸ ἴσκε, ἀλλ᾽ ἐπὶ τοῦ ὡμοίου (v. δ, 279.). ἠπάτηται οὖν ὁ διασκευαστὴς ἐκ τοῦ, ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὅμοια (τ, 203.). Vind. 31.

V. 33. ὀλ. πείρατ᾽ ἐφῆπτο] Τό, ὀλ. πείρατ᾽ ἐφῆπται, κεῖται μὲν καὶ μετ᾽ ὀλίγα (v. 41.), εἴληπται δὲ ὡς ἀπὸ σχοινίου, ἁπτομένου ποθὲν κατὰ τὰ πέρατα, καὶ δηλοῖ συμβολικῶς, ὅτι τέλειος καὶ πεπερατωμένος ὄλεθρος τῶν μνηστήρων ἧπται, καὶ οὗ ἐπέκεινα οὐκ ἔστιν εὑρεῖν ἕτερον ὄλεθρον. Eust.

V. 35. οἴκαδ᾽ ἱκέσθαι] Vind. 133. οἴκαδε νεῖσθαι. νεῖσθαι] ἐλθεῖν, ἐπανήξειν. Vulg. ed. ant.

V. 36. κατεκείρετε (ed. ant. κατεκείρατε)] κατεδαπανᾶτε. Vulg. Apud Eust. κατεκείρετε priore loco, mox κατεκείρεται vitiose.

V. 37. δμωῇσιν δὲ γυναιξί] Τό, γυναιξὶ δμωαῖς τοὺς μνηστῆρας παρευνάζεσθαι βιαίως, δμωὰς γυναῖκας ῥυστάζεσθαι ἀεικελίως, πρὸ τούτων ἔφη (v. π, 109. υ, 319.). γυναῖκες δ᾽ ἐν-

αὐτοῦ τε ζώοντος ὑπεμνάασθε γυναῖκα,
οὔτε θεοὺς δείσαντες, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν,
οὔτε τιν' ἀνθρώπων νέμεσιν κατόπισθεν ἔσεσθαι·
νῦν ὑμῖν καὶ πᾶσιν ὀλέθρου πείρατ' ἐφῆπται.
Ὣς φάτο· τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος εἷλεν·
[πάπτηνεν δὲ ἕκαστος, ὅπῃ φύγοι αἰπὺν ὄλεθρον·]
Εὐρύμαχος δέ μιν οἶος ἀμειβόμενος προσέειπεν·
Εἰ μὲν δὴ Ὀδυσεὺς Ἰθακήσιος εἰλήλουθας,
ταῦτα μὲν αἴσιμα εἶπες, ὅσα ῥέζεσκον Ἀχαιοί,

ταῦθα δμωαί, κατὰ τὸ φύσει σημαινόμενον τῆς γυναικός, ἤγουν θήλειαι ἄνθρωποι. ἐφεξῆς δὲ εὐθὺς ἐν τῷ, ὑπεμνάασθε γυναῖκα, τὴν ὑπὸ ἀνδρὶ λέγει. Eust.

V. 38. ὑπεμνάασθε] ὑπεφθείρετε, λεληθότως ἐμνηστεύεσθε. Vulg. Ἔστι τὸ ὑπεμνάασθε ἀντὶ τοῦ, ὑπούλως καὶ ψευδῶς καὶ οὐ κατὰ νόμον ἐμνηστεύεσθε, ὥσπερ καὶ τό, δμωαῖς παρευνάζεσθε, ἀντὶ τοῦ, παρὰ τὸ δέον συνεκοιμᾶσθε. Eust. Ὅρα δὲ καὶ ὡς μνησθεὶς Ὀδυσσεὺς τῆς γυναικός, σιωπᾷ τὴν τοῦ φίλου υἱοῦ ἐπιβουλήν, καὶ οὐκ ὀνειδίζει καὶ δι' αὐτήν, ἐπειδή φασιν ἴσως εἰς τοῦτο διανοεῖται, ὡς προεπιβεβουλευμένοι ἠμύνοντο. ἔφη γάρ που ὁ Τηλέμαχος (β, 316.), ὅτι πειρήσομαι εἴ πως ὔμμι κακὰς ἐπὶ Κῆρας ἰήλω. πρὸς δὲ τὸ τοιοῦτον ἰήλω ἔφη περὶ Ἀντινόου νῦν Εὐρύμαχος, ὅτι οὗτος ἐπίηλε τάδε ἔργα (v. 49.), ἤγουν οὗτος αἴτιος τῶν παρόντων κακῶν, κατηγορίαν ἐνιστῶν ἐπ' ἀκροαταῖς τοῖς ἔτι ζῶσι κατὰ τοῦ μηδὲν ἀντιλέγειν ἔχοντος. Id.

V. 40. ἔσεσθαι] Τό, οὔτε τινὰ κατόπισθε νέμεσιν ἔθεσθε, ἀλλαγὴν ἐποίησε σχήματος. ἦν γὰρ ἀκόλουθον ἄλλως εἰπεῖν, οὔτε θεὸν δείσαντες, οὔτε ἀνθρώπων νέμεσιν θέμενοι, κατὰ νοῦν δηλαδή. Eust. Ἔσεσθαι ἀναγνωστέον, ἵν' ᾖ, δείσαντες ἔσεσθαι. Vulg. (Ms. Barn. ἔθεσθε. ἀντὶ τοῦ, ἐνοήσατε.) Vind. 133. ἔδεσθε, vitiose.

V. 41. πείρατ' ἐφῆπται] v. ad v. 33.

V. 43. πάπτηνεν — ὄλεθρον] Hic versus omittitur in Vind. 133. et ab Eustathio in commentario.

πολλὰ μὲν ἐν μεγάροισιν ἀτάσθαλα, πολλὰ δ' ἐπ' ἀγροῦ.
ἀλλ' ὁ μὲν ἤδη κεῖται, ὃς αἴτιος ἔπλετο πάντων,
'Αντίνοος· οὗτος γὰρ ἐπίηλεν τάδε ἔργα,
οὔτι γάμου τόσσον κεχρημένος, οὔτε χατίζων,
ἀλλ' ἄλλα φρονέων, τά οἱ οὐκ ἐτέλεσσε Κρονίων·
ὄφρ' 'Ιθάκης κατὰ δῆμον ἐϋκτιμένης βασιλεύοι
αὐτός, ἀτὰρ σὸν παῖδα κατακτείνειε λοχήσας.
νῦν δ' ὁ μὲν ἐν μοίρῃ πέφαται· σὺ δὲ φείδεο λαῶν
σῶν· ἀτὰρ ἄμμες ὄπισθεν ἀρεσσάμενοι κατὰ δῆμον,
ὅσσα τοι ἐκπέποται καὶ ἐδήδοται ἐν μεγάροισιν,
τιμὴν ἀμφὶς ἄγοντες ἐεικοσάβοιον ἕκαστος,

V. 49. ἐπίηλεν] συνέστησεν. Vulg.

V. 54. ἐν μοίρῃ] δικαίως, δεόντως. Barn. ἐν μοίρῃ πέφαται, ἤτοι δεόντως πεφόνευται. Eust.

V. 55. ἀρεσσάμενοι] 'Αρεσάμενοι καὶ ἐνταῦθα ἀντὶ τοῦ, ἀρέσαντες, φιλιωθέντες, ἄρθμιοι γενόμενοι. Eust.

V 56. ἐδήδοται] Τὸ ἐδήδοται τὰ παλαιὰ ὑπομνήματα 'Αττικὸν εἶναί φασι παρακείμενον ἐκ τοῦ ἐδῶ ἐδοῖς, ὡς ὁμῶ, ὁμοῖς, ἵνα γίνοιτο οὕτως, ἐδῶ, ἐδώσω, ἤδοκα, καὶ 'Αττικῶς ἐδήδοκα, ἐξ οὗ τὸ ἐδήδομαι, ἐδήδοται. ἄλλως μέντοι ἔγνωσται εἶναι παρακείμενος τοῦ ἔδω βαρυτόνου, ἦκα, καὶ 'Αττικῶς ἔδηκα, εἶτα πλεονασμῷ τῆς δο συλλαβῆς, ὡς ἂν ἔχοι τρίτον τόπον συλλαβικὸν συστελλόμενον, ἐδήδοκα, ἐξ οὗ παθητικὸς παρακείμενος ἐδήδομαι. καὶ ἔστιν ὅμοιον τὸ ἐδήδοκα πρὸς τὸ ἄγω, ἄξω, ἦχα, ἄγηχα, καὶ πλεονασμῷ ἀγήοχα. ὁ δέ γε κανονίσας τὸ ἐδήδοκα ἐκ τοῦ ἐδῶ ἐδήσω, ὅθεν ἡ ἐδητύς, ἤδηκα, καὶ πλεονασμῷ τῆς δο συλλαβῆς καὶ συστολῇ τῆς ἀρχούσης ἐδήδοκα, ὅθεν τὸ ἐδήδομαι, εὐανάτρεπτον μὲν οὐδέν τι γράφει, οὐκ ἀφίησι δὲ καθαρῶς ἠττικίσθαι τὴν λέξιν. Eust.

V. 57. τιμήν] Τιμὴν τὴν ποινὴν λέγει. Eust.

ἀμφὶς ἄγοντες] χωρὶς ἕκαστον διδόντες. ἐεικοσά-

χαλκόν τε χρυσόν τ' ἀποδώσομεν, εἰσόκε σὸν κῆρ
ἰανθῇ· πρὶν δ' οὔτι νεμεσσητὸν κεχολῶσθαι.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Εὐρύμαχ', οὐδ' εἴ μοι πατρώϊα πάντ' ἀποδοῖτε,
ὅσσα τε νῦν ὔμμ' ἐστί, καὶ εἴ ποθεν ἄλλ' ἐπιθεῖτε,
οὐδέ κεν ὧς ἔτι χεῖρας ἐμὰς λήξαιμι φόνοιο,
πρὶν πᾶσαν μνηστῆρας ὑπερβασίην ἀποτῖσαι.
νῦν ὑμῖν παράκειται, ἐναντίον ἠὲ μάχεσθαι,
ἢ φεύγειν, ὅς κεν θάνατον καὶ Κῆρας ἀλύξῃ·
ἀλλά τιν' οὐ φεύξεσθαι ὀΐομαι αἰπὺν ὄλεθρον.
Ὣς φάτο· τῶν δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.

βοιον] εἴκοσι βοῶν ἄξιον. Vulg. Ἔχει τὸ χωρίον ἀμφιβολίαν ἐπιτηδευτήν. — ἄδηλον γὰρ ἐνταῦθα, εἴτε ἰδίᾳ ἕκαστος ἀνὰ εἰκοσάβοιον χαλκοῦ ἀποδώσει, καὶ αὖθις ἀνὰ εἰκοσάβοιον χρυσοῦ, εἴτε καὶ ἄλλως, ἰδίᾳ μὲν ἕκαστος ὡρισμένον τι εἰκοσάβοιον, δι' οὗ ἦν βόας εἴκοσι κτήσασθαι, ἰδίᾳ δὲ χαλκὸν καὶ χρυσὸν ἀορίστως. καὶ τὸ ἕκαστος δὲ ἀμφίβολόν τι ἔχει. οὐκ εὔδηλον γάρ, εἴτε ἕκαστος τῶν ὅλων μνηστήρων, εἴτε καὶ ἕκαστος τῶν Ἰθακησίων μόνον μνηστήρων. καὶ τό, κατὰ δῆμον, δὲ οὐ πάνυ δῆλον, εἰ καὶ τὸν ἐν Ἰθάκῃ δῆμον πάντα εἰς ἀπόδοσιν τιμῆς συνεισάγει Εὐρύμαχος, ὡς καὶ ἐκείνων δῆθεν πταιόντων, καθά που προδημηγορήσας ἐνέφηνεν ὁ Τηλέμαχος ἐρεθίζων τὸν δῆμον εἰς τὴν κατὰ τῶν μνηστήρων ἄμυναν. δοκεῖ δὲ ἀμφιβόλως οὕτω λαλῆσαι ὁ Εὐρύμαχος οὐχ οὕτω κατὰ δόλον, ὡς διὰ σύγχυσιν λογισμοῦ. Eust.

V. 58. ἀποδώσομεν] Τὸ ἀποδώσομεν χρεωστικὴν δηλοῖ ἔκτισιν, ἀφ' ἧς καὶ ἡ ἀνωτέρω ῥηθεῖσα τιμὴ ἐν τῷ, τιμὴν ἀμφὶς ἄγοντες. διαφορὰ γάρ τις τοῦ ἀποδοῦναι καὶ τοῦ δοῦναι. Id.

V. 61. ἀποδοῖτε] Τὸ ἀποδοῖτε καὶ τὸ ἐπιθεῖτε συγκοπή ἐστι τοῦ δοίητε καὶ θείητε, ὧν τρίτα τὸ ἀποδοῖεν καὶ ἐπιθεῖεν. Id.

V. 65. παράκειται] πρόκειται εἰς αἵρεσιν. Vulg.

τοῖσιν δ' Εὐρύμαχος προσεφώνεε δεύτερον αὖτις·
Ὦ φίλοι, οὐ γὰρ σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους·
ἀλλ' ἐπεὶ ἔλλαβε τόξον ἐΰξοον ἠδὲ φαρέτρην,
οὐδοῦ ἄπο ξεστοῦ τοξάσσεται, εἰςόκε πάντας
ἄμμε κατακτείνῃ· ἀλλὰ μνησώμεθα χάρμης.
φάσγανά τε σπάσσασθε, καὶ ἀντίσχεσθε τραπέζας
ἰῶν ὠκυμόρων· ἐπὶ δ' αὐτῷ πάντες ἔχωμεν
ἀθρόοι, εἴ κέ μιν οὐδοῦ ἀπώσομεν ἠδὲ θυράων,
ἔλθωμεν δ' ἀνὰ ἄστυ, βοὴ δ' ὤκιστα γένοιτο·
τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσσαιτο.
Ὣς ἄρα φωνήσας, εἰρύσσατο φάσγανον ὀξύ,
χάλκεον, ἀμφοτέρωθεν ἀκαχμένον· ἆλτο δ' ἐπ' αὐτῷ
σμερδαλέα ἰάχων· ὁ δ' ἁμαρτῇ δῖος Ὀδυσσεὺς
ἰὸν ἀποπροϊεὶς βάλλε στῆθος παρὰ μαζόν,
ἐν δέ οἱ ἥπατι πῆξε θοὸν βέλος· ἐκ δ' ἄρα χειρὸς

V. 70. οὐ γὰρ σχήσει] Ὅρα ὅτι καὶ ἐνταῦθα ὁ ποιητὴς ἐκ τοῦ γάρ συνδέσμου ἀρξάμενος ἐν τῷ, .οὐ γὰρ σχήσει ἀνὴρ ὅδε χεῖρας, ἀποδίδωσι τὴν ἔννοιαν μετὰ τρεῖς στίχους, εἰπὼν συνήθως. ἀλλὰ μνησώμεθα χάρμης. πολλαχοῦ γὰρ ὁ ἀλλά σύνδεσμος ἀποδοτικὸς κεῖται, ὅτε καὶ ἀντὶ τοῦ δὴ λαμβάνεται. Τὸ δὲ σχήσει ἐνταῦθα ἀντὶ τοῦ ἐφέξει, κωλύσει. Eust.

V. 24. φάσγανά τε σπ.] Ἐξιφοφόρουν γὰρ οἱ παλαιοί. Vulg.

ἀντίσχεσθε] προβάλεσθε. Id. Τό, ἀντίσχεσθε τραπέζας ἰῶν, ἀντὶ τοῦ, προβάλλεσθε ἄντα ἢ ἄντην, καὶ ἐξεναντίας τῶν βελῶν ἔχετε δίκην ἀσπίδων. Eust.

V. 75. ἔχωμεν] ἐπίωμεν. Vulg.

V. 80. ἐπ' αὐτῷ] Vind. 133. ἐπ' αὐτόν.

V. 81. ἁμαρτῇ] ἅμα, ὁμοῦ. Apollon. cit. Il. φ, 162.

V. 82. ἰὸν ἀποπροϊεὶς] Vind. 133. ἰὸν ἀποπροΐει, βάλε δὲ στῆθος. Marg. Γρ. ἰὸν ἀποπροϊεὶς βάλε (scr. βάλλε) στῆθος.

φάσγανον ἧκε χαμᾶζε, περιῤῥηδὴς δὲ τραπέζῃ
κάππεσε δινηθείς· ἀπὸ δ' εἴδατα χεῦεν ἔραζε,
καὶ δέπας ἀμφικύπελλον· ὁ δὲ χθόνα τύπτε μετώπῳ,
θυμῷ ἀνιάζων· ποσὶ δὲ θρόνον ἀμφοτέροισιν
λακτίζων ἐτίναξε· κατ' ὀφθαλμῶν δ' ἔχυτ' ἀχλύς.
Ἀμφίνομος δ' Ὀδυσῆος ἐείσατο κυδαλίμοιο
ἀντίος ἀΐξας· εἴρυτο δὲ φάσγανον ὀξύ,
εἴ πώς οἱ εἴξειε θυράων. ἀλλ' ἄρα μιν φθῆ
Τηλέμαχος κατόπισθε βαλὼν χαλκήρεϊ δουρί,
ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσεν·
δούπησεν δὲ πεσών, χθόνα δ' ἤλασε παντὶ μετώπῳ.
Τηλέμαχος δ' ἀπόρουσε, λιπὼν δολιχόσκιον ἔγχος

V. 84. *περιῤῥηδὴς*] (ed. ant. *περιρηδεὶς*) *περικλασθείς, ἢ περιραγείς, ἢ περιρενόμενος, ἢ περιῤῥυείς, ἢ περιφερής.* Vulg. *περικλινής.* Ambr. Q. Harl. *Περιῤῥηδής, ὁ ἐῤῥαντισμένος αἵματι, ὡς ἀπὸ τοῦ ῥάζω, οὗ δεύτερος ἀόριστος ἔῤῥαδον, ὅθεν ὁ περιῤῥηδής.* Eust. *Περιῤῥηδής. περιῤῥησσόμενος, περικεκλασμένος. βέλτιον δὲ μεταφορικῶς, περιῤῥεόμενος. βάλλεται γὰρ καὶ τὸ ποτήριον κρατῶν, ὡς ἅμα τῇ πόσει περιῤῥεῖσθαι πεσόντα. ὁ δὲ Ἀρίσταρχος, στροβηθείς, περιφερὴς ἔπεσε τῇ τραπέζῃ, ὡς περικλασθῆναι περὶ αὐτήν.* Apollon. ubi v. Villois.

V. 85. *δινηθείς*] *ἐπιστραφείς.* Vulg. Vind. 153. *κάππεσεν ἰδνωθείς.*

V. 89. *Ὀδυσῆος ἐείσατο*] *ὡς ἐπὶ Ὀδυσσέα ὥρμησεν,* Id.

V. 91. *φθῇ*] *προέλαβεν.* Id.

V. 92. *Τηλεμ. κατόπισθε*] *Ἐγγὺς τοῦ Ὀδυσσέως γενόμενον τὸν Ἀμφίνομον παραλλάξας κατὰ τοῦ νώτου ἔβαλεν. πιθανῶς δὲ πρώτην ἀριστείαν Τηλεμάχου διέθετο, ἐν ᾗ τὸν πατέρα διέσωσεν.* Id.

V. 95. *ἀπόρουσε*] *ἀφώρμησεν.* Id. *Ὅρα ὅτι τὸ ἀπόρουσε εὐσχημόνως εἶπεν ἀντὶ τοῦ ἔφυγε διὰ τὸ ἀφοπλισθῆναι, καὶ*

αὐτοῦ ἐν Ἀμφινόμῳ· περὶ γὰρ δίε, μήτις Ἀχαιῶν
ἔγχος ἀνελκόμενον δολιχόσκιον ἢ ἐλάσειεν
φασγάνῳ ἀΐξας, ἠὲ προπρηνέϊ τύψας.
βῆ δὲ θέειν, μάλα δ' ὦκα φίλον πατέρ' εἰςαφίκανεν·
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προςηύδα·
Ὦ πάτερ, ἤδη τοι σάκος οἴσω καὶ δύο δοῦρε,
καὶ κυνέην πάγχαλκον, ἐπὶ κροτάφοις ἀραρυῖαν,
αὐτός τ' ἀμφιβαλεῦμαι ἰών· δώσω δὲ συβώτῃ
καὶ τῷ βουκόλῳ ἄλλα· τετευχῆσθαι γὰρ ἄμεινον.
Τὸν δ' ἀπαμειβόμενος προςέφη πολύμητις Ὀδυσσεύς·
οἶσε θέων, εἵως μοι ἀμύνεσθαι πάρ' ὀϊστοί,

ὅτι ξίφη πάντες εἶχον οἱ μνηστῆρες, φοροῦντες αὐτὰ κατὰ ἔθος καὶ αὐτὸ ἀρχαῖον. Eust.

V. 97. ἐλάσειε] πλατεῖ τῷ ξίφει πλήξειεν. Vulg.

V. 98. προπρηνέϊ] κατὰ στόμα τῷ ξίφει ὀρθὸς εἰς τοὔμπροσθεν, μὴ ἀνατείνας, ἀλλὰ νύξας ὑπτίως. οἱ μὲν γὰρ νύττοντες πλατὺ ἔχουσι τὸ ξίφος, οἱ δὲ πλήττοντες πλάγιον. Id. προνεύοντι. Ambr. Q. τουτέστι καταφερῆ πληγὴν ἐπενεγκών. δῆλον δὲ ὅτι ἐν τῷ προπρηνέϊ λείπει τὸ χειρί. ἄλλως γὰρ οὐκ ἔστι καταστῆσαι τὸ νόημα ὡς χρή. Eust.

V. 103. ἀμφιβαλεῦμαι] καθοπλίσομαι. Vulg. Ἰστέον ὅτι τὸ περιθέσθαι ὅπλα νῦν μὲν ἀμφιβαλέσθαι λέγει, μετ' ὀλίγα δὲ καὶ περιβαλέσθαι. Eust.

V. 104. τετευχῆσθαι] κεκαθωπλίσθαι. Vulg. Ἀσύνηθες ῥῆμα φράσει πεζῇ, ποιητικὸν δὲ ὅμως, τὸ τετευχῆσθαι, διαφορὰν ἔχων πάνυ πολλὴν πρὸς τὸ τεῦξαι. αὐτὸ μὲν γὰρ κατασκευήν τινα δηλοῖ, τὸ δὲ τετευχῆσθαι ὅπλισιν. Eust.

V. 106. οἶσε] κόμισον. Vulg.

πάρ'] πάρα, τουτέστι πάρεισιν. Eust.

μή μ' ἀποκινήσωσι θυράων, μοῦνον ἐόντα.
Ὣς φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί.
βῆ δ' ἴμεναι θάλαμόνδ', ὅθι οἱ κλυτὰ τεύχεα κεῖτο.
ἔνθεν τέσσαρα μὲν σάκε' ἔξελε, δούρατα δ' ὀκτώ,
καὶ πίσυρας κυνέας χαλκήρεας ἱπποδασείας·
βῆ δὲ φέρων, μάλα δ' ὦκα φίλον πατέρ' εἰσαφίκανεν.
αὐτὸς δὲ πρώτιστα περὶ χροῒ δύσετο χαλκόν·
ὣς δ' αὔτως τὼ δμῶε δυέσθην τεύχεα καλά,
ἔσταν δ' ἀμφ' Ὀδυσῆα δαΐφρονα, ποικιλομήτην.
Αὐτὰρ ὅγ', ὄφρα μὲν αὐτῷ ἀμύνεσθαι ἔσαν ἰοί,
τόφρα μνηστήρων ἕνα γ' αἰεὶ ᾧ ἐνὶ οἴκῳ
βάλλε τιτυσκόμενος· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον.
αὐτὰρ ἐπεὶ λίπον ἰοὶ ὀϊστεύοντα ἄνακτα,
τόξον μὲν πρὸς σταθμὸν ἐϋσταθέος μεγάροιο
ἔκλιν' ἑστάμεναι, πρὸς ἐνώπια παμφανόωντα·
αὐτὸς δ' ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον·
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν,
ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν·
εἵλετο δ' ἄλκιμα δοῦρε δύω κεκορυθμένα χαλκῷ.

V. 121. *ἐνώπια*] *Σημείωσαι ὅτι ἐνώπια λέγει τοὺς ἑκατέρωθεν τῆς εἰσόδου τοίχους. πάντως γὰρ ὁ πρὸς τῇ φλιᾷ ἱστάμενος καὶ μὴ ἐθέλων αὐτῆς ἀποστῆναι ἐκεῖ που ἐκ πλαγίων τὸ τόξον ἀνέκλινε, καὶ οὐ πρὸς τῷ μυχῷ τοῦ ἀνδρῶνος τῷ ἀντικρὺ τῆς εἰσόδου.* Eust.

V. 122. *τετραθέλυμνον*] *ὅ ἐστι τετράθετον, τετράπτυχον.* Id.

Ὀρσοθύρη δέ τις ἔσκεν ἐϋδμήτῳ ἐνὶ τοίχῳ·
ἀκρότατον δὲ παρ' οὐδὸν ἐϋσταθέος μεγάροιο
ἦν ὁδὸς ἐς λαύρην, σανίδες δ' ἔχον εὖ ἀραρυῖαι.

V. 126. *ὀρσοθύρη*] Ἐν τῷ τοῦ οἴκου ἐναντίῳ τοίχῳ θύρα ἦν, δι' ἧς (Suppl. ἦν) εἰς τὸν θάλαμον ἀναβῆναι, ἔνθα τὰ ὅπλα ἔκειτο. εἶπεν δὲ οὕτως, ἐπεὶ ὑψηλοτέρα ἦν, ἐφ' ἧ ἦν ὀροῦσαι καὶ ἀναθορεῖν. Vulg. Ὅτι ὀρσοθύρη ἐνταῦθα παρὰ τῷ ποιητῇ θύρα τις ἐπίσημος, ὑψηλοτέραν πρόςβασιν ἔχουσα, εἰς ἣν οὐχ οἷόν τε ἦν ἀνελθεῖν τινα μὴ διὰ κλίμακος ἴσως ἢ ἄλλως πως ἀνορούσαντα καὶ ἀναθορόντα εἰς αὐτήν, ὅθεν καὶ ὀρσοθύρη ἐκαλεῖτο, ἤγουν θύρα εἰς ἣν ὄρνυταί τις θέλων ἰδεῖν ἐκεῖθεν. — τινὲς δὲ τὴν ὀρσοθύρην ἐκτομάδα θύραν ἡρμήνευσαν, δι' ἧς εἰς ὑπερῷον ἀναβαίνουσιν ὀρούοντες ἐπ' αὐτῆς. εἴη δ' ἂν αὕτη, ὁποία ἡ καταῤῥάσσουσα κλιμάκων ἄνω, καὶ δι' αὐτὸ λεγομένη κοινῶς καταράκτης. τέως μέντοι τὴν Ὁμηρικὴν ταύτην στοχάζονταί τινες ἐν γωνίᾳ ἐκ δεξιῶν εἶναι τῷ Ὀδυσσεῖ ἱσταμένῳ ἐπὶ τῆς φλιᾶς καὶ τοξεύοντι, οὖσαν ἔν τινι διαχώρῳ τοῦ τοίχου στενωτάτῳ. ἔφερε δὲ ἡ τοιαύτη ὀρσοθύρη τὸν ἀνελθόντα εἰς αὐτὴν ἐπὶ τὰς μετὰ τὸν πρόδομον θύρας τῆς αὐλῆς, ἧς τὰς πύλας δεσμῷ βιβλίνῳ Φιλοίτιος ἐπέδησε (φ, 388. sequ.), καὶ ἐπὶ λαῦραν τουτέστι δημοσίαν στενωπόν. — ἐν τούτοις δέ φασιν οἱ παλαιοί, καὶ ἑτέραν ὀρσοθύρην εἶναι, δι' ἧς ἀνελθὼν εἰς τὸ ὑπερῷον Μελάνθιος ἀνείλετο τὰ ὅπλα, τεκμηράμενοι τοῦτο ἐκ τοῦ, ὡς εἰπὼν ἀνέβαινε Μελάνθιος εἰς θαλάμους (v. 142.). Eust. Ὀρσοθύρη. Ἀπίων, θύρα ὑψηλή, δι' ἧς ἐστι καταβαίνοντος ὀροῦσαι, ὅ ἐστι πηδῆσαι, ἢ ἀνιόντος πηδῆσαι (scr. καταβαίνοντα et ἀνιόντα), διὰ τὸ μὴ ἔχειν βαθμούς. καὶ ὁ Μελάνθιος διὰ τῆς ὀρσοθύρης ἀνέβη, ὁ δὲ Εὔμαιος καὶ Φιλοίτιος κατὰ τὴν ἔξω περίοδον. Apollon.

V. 127. *οὐδόν*] Οὐδός, πρόδομος. Vulg.

V. 128. *λαύρην*] στενὴν ὁδόν, δι' ἧς οἱ λαοὶ ῥέουσι καὶ φέρονται, οἱονεὶ ἄμφοδον. Vulg. *Λαύρα*, στενὴ ὁδός, ἄμφοδος, δι' ἧς λαοὶ ῥέουσιν ἤτοι φέρονται. ὅθεν φασὶ καὶ διάλαυρος, ὁ ἐν τῷ πέραν τῆς ἀμφόδου οἰκῶν καὶ οἷον ἀντίθυρος. Eust.

εὖ ἀραρυῖαι] ἢ καὶ ἄλλως, σανίδες δ' ἔχον *ἐντὸς* ἢ *ἔνδον εἶσαι* (scr. ἶσαι). Eust. (Vulg. ed. ant. *εισαι.* καλῶς ἡρμοσμέναι.)

τὴν δ' Ὀδυσεὺς φράζεσθαι ἀνώγει δῖον ὑφορβόν,
ἑσταότ' ἄγχ' αὐτῆς· μία δ' οἴη γίγνετ' ἐφορμή.
τοῖς δ' Ἀγέλεως μετέειπεν, ἔπος πάντεσσι πιφαύσκων·
Ὦ φίλοι, οὐκ ἂν δή τις ἀν' ὀρσοθύρην ἀναβαίη,
καὶ εἴποι λαοῖσι, βοὴ δ' ὤκιστα γένοιτο;
τῷ κε τάχ' οὗτος ἀνὴρ νῦν ὕστατα τοξάσσαιτο.
Τὸν δ' αὖτε προςέειπε Μελάνθιος, αἰπόλος αἰγῶν·
οὔπως ἔστ', Ἀγέλαε Διοτρεφές· ἄγχι γὰρ αἰνῶς
αὐλῆς καλὰ θύρετρα, καὶ ἀργαλέον στόμα λαύρης·
καί χ' εἷς πάντας ἐρύκοι ἀνήρ, ὅςτ' ἄλκιμος εἴη.
ἀλλ' ἄγεθ', ὑμῖν τεύχε' ἐνείκω θωρηχθῆναι
ἐκ θαλάμου· ἔνδον γάρ, οἴομαι, οὐδέ πη ἄλλῃ
τεύχεα κατθέσθην Ὀδυσεὺς καὶ φαίδιμος υἱός.
Ὣς εἰπών, ἀνέβαινε Μελάνθιος, αἰπόλος αἰγῶν,

V. 129. *φράζεσθαι*] τηρεῖν, φυλάσσειν. Ambr. Q.

V. 130. *ἐφορμή*] ἔξοδος. ἦν δὲ (an δι') ἑνὸς μόνου ἔξοδος ἐν τῷ ἀντικρὺς τῆς εἰςόδου τοίχῳ τοῦ ἀνδρῶνος. ἐν τῇ δεξιᾷ γωνίᾳ ἦν ὀρσοθύρα, ἥτις εἰς τὴν λαύραν ἔφερεν. ἡ δὲ λαύρα στενωπός ἐστι παρακείμενος ἔξωθεν τοῦ ἐν δεξιᾷ τοίχου, ἐν ᾧ καὶ ὁ θάλαμος, οὐχ ὁ Πηνελόπης, ἀλλ' ἐν ᾧ τὰ ὅπλα ἔκειτο. αὕτη δὲ ἡ λαύρα ἔξοδον ὡς εἰς τὸν πρόδομον εἶχεν. (Quae sequuntur, ἑνὸς δὲ ἦν ἔξοδος, ὀρσοθύρα, λαύρα, θάλαμον, ἀνδρῶν, foede corrupta sunt ex duobus scholiis, quorum prius initum nostri dedit, alterum interpretationem vocum: ὀρσοθύρα, λαύρα, θάλαμος, ἀνδρών, induxit. Nam, ut Eustathius, καταγραφῆς ἐδεήθησαν οἱ παλαιοί, σχηματίζοντες ποῦ ὀρσοθύρη καὶ ποῦ ὁ θάλαμος, καὶ τὰς ῥῶγας τοῦ οἴκου, καὶ τὴν αὐτήν, καὶ τὰ λοιπά, ὡς ἐν τοῖς τῶν ἀντιγράφων ἀκριβεστέροις κεῖται. Inde hauserat Scholiastes, nunc mutilus.) Vulg.

V. 137. *στόμα*] ἀρχή. Vulg.

ἐς θαλάμους Ὀδυσῆος, ἀνὰ ῥῶγας μεγάροιο.
ἔνθεν δώδεκα μὲν σάκε' ἔξελε, τόσσα δὲ δοῦρα,
καὶ τόσσας κυνέας χαλκήρεας ἱπποδασείας·
βῆ δ' ἴμεναι, μάλα δ' ὦκα φέρων μνηστῆρσιν ἔδωκεν.
καὶ τότ' Ὀδυσσῆος λύτο γούνατα καὶ φίλον ἦτορ,
ὡς περιβαλλομένους ἴδε τεύχεα, χερσί τε δοῦρα
μακρὰ τινάσσοντας· μέγα δ' αὐτῷ φαίνετο ἔργον.
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προςηύδα·
Τηλέμαχ', ἦ μάλα δή τις ἐνὶ μεγάροισι γυναικῶν
νῶϊν ἐποτρύνει πόλεμον κακόν, ἠὲ Μελανθεύς.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
ὦ πάτερ, αὐτὸς ἐγὼ τόδε γ' ἤμβροτον – οὐδέ τις ἄλλος
αἴτιος – ὃς θαλάμοιο θύρην πυκινῶς ἀραρυῖαν
κάλλιπον ἀγκλίνας· τῶν δὲ σκοπὸς ἦεν ἀμείνων.

V. 143. ῥῶγας] ῥήγματα, θυρίδας. ἢ τὰς τῆς οἰκίας ὑπερῴας διόδους. Id. Ῥῶγες μεγάροιο, δίοδοι, ῥήγματα, θυρίδες, θηλυκῶς ἀπὸ τοῦ ῥώξ ῥωγός, αὐτὸ δὲ ἀπὸ τοῦ ῥήσσω ῥήξω. τινὲς δὲ οὐδετέρως τὸ ῥῶγας ἐνόησαν, ὡς τὸ κῶας. ὅτι δὲ ἐν τῷ, ἀνὰ ῥῶγας διπλάζουσί τινες τὸ ἀμετάβολον, καθὰ που καὶ ἐν τῷ, κατὰρ ῥόον, καὶ ἐν ἑτέροις ὁμοίοις, ἔστιν ἐκ τῶν παλαιῶν ἀντιγράφων ἀναλέγεσθαι. Eust. Ῥῶγας. τὰς θυρίδας. Apollon.

V. 143. ἔνθεν δώδεκα μὲν σάκε' ἔξελε] Σημείωσαι καὶ ὅτι τὸ περὶ τῶν δώδεκα σακέων καὶ τὸ ἐφεξῆς Ἀρίσταρχος ἀθετήσας κεχίακεν, ἀδύνατον εἶναι εἰπών, τοσαῦτα βαστάσαι ἄνθρωπον. Eust. — ἔξελεν] ἐξήγαγεν. Vulg.

V. 154. ἤμβροτον (ed. ant. ἄμβροτόν)] Ἀντὶ τοῦ, ἔπταισα. Vulg.

V. 156. ἀγκλίνας] ἀνοίξας. Id. Τὸ ἀνακλῖναι ἐπὶ θυρῶν ἀνοίξεως καὶ ἐν Ἰλιάδι κεῖται, ᾧ ἀντίθετον τὸ ἐπιθεῖναι, διὸ ἐπάγει, ἀλλ' ἴθι, δῖ' Εὔμαιε, θύρας ἐπίθες θαλάμοιο, τουτέστι

ἀλλ' ἴθι, δῖ' Εὔμαιε, θύρην ἐπίθες θαλάμοιο,
καὶ φράσαι, εἴ τις ἄρ' ἐστὶ γυναικῶν, ἢ τάδε ῥέζει,
ἢ υἱὸς Δολίοιο, Μελανθεύς, τόν περ ὀΐω.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
βῆ δ' αὖτις θάλαμόνδε Μελάνθιος, αἰπόλος αἰγῶν,
οἴσων τεύχεα καλά. νόησε δὲ δῖος ὑφορβός,
αἶψα δ' Ὀδυσσῆα προσεφώνεεν, ἐγγὺς ἐόντα·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
κεῖνος δ' αὖτ' ἀΐδηλος ἀνήρ, ὃν ὀϊόμεθ' αὐτοί,
ἔρχεται ἐς θάλαμον· σὺ δέ μοι νημερτὲς ἔνισπε,
ἤ μιν ἀποκτείνω, αἴ κε κρείσσων γε γένωμαι·
ἠέ σοι ἐνθάδ' ἄγω, ἵν' ὑπερβασίας ἀποτίσῃ
πολλάς, ὅσσας οὗτος ἐμήσατο σῷ ἐνὶ οἴκῳ.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ἤτοι ἐγὼ καὶ Τηλέμαχος μνηστῆρας ἀγαυοὺς
σχήσομεν ἔντοσθεν μεγάρων, μάλα περ μεμαῶτας.
σφῶϊ δ' ἀποστρέψαντε πόδας καὶ χεῖρας ὕπερθεν,
ἐς θάλαμον βαλέειν, σανίδας δ' ἐκδῆσαι ὄπισθεν·

κλεῖσον, μὴ καὶ πάλιν ἐκφορηθῶσιν ὅπλα. Eust. *Ἀγκλίνας. ἀνακλίνας. — τάσσεται δὲ καὶ ἐπὶ τοῦ, ἀνοίξας, ὡς ἐν τῇ μνηστηροφονίᾳ.* Apollon.

V. 158. *φράσαι*] *κατανόησον.* Vulg.

V. 163. *ἀΐδηλος ἀνήρ*] *ὀλέθρου ἄξιος.* Ambr. Q. v. ad *θ*, 309.

V. 167. *κρείσσων*] *Κρείσσων καὶ ἐνταῦθα ὁ ἐπικρατέστερος καὶ γενναιότερος.* Eust.

V. 173. *σφῶϊ*] *ὑμεῖς οἱ δύο.* Vulg.

V. 174. *ἐς θάλαμον βαλέειν*] *Τό, εἰς θάλαμον βαλεῖν, καὶ σανίδας ἐκδῆσαι, καὶ εἰς κίονα ἐρύσαι, καὶ πελάσαι δοκοῖς,*

σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντε,

πάντα προστακτικῶς νοοῦνται ἀντὶ τοῦ, βάλετε, ἐκδήσατε, ἐρύσατε, πελάσατε. Ἰστέον δὲ καὶ ὅτι τό, σανίδας ἐκδῆσαι ὄπισθεν, ὑστερολογικῶς κεῖται, ἤγουν κατὰ τρόπον πρωθύστερον. οὐ γὰρ μετὰ τὸ σανίδας ἐκδῆσαι, τουτέστι θύρας, κρεμάννυται ὁ Μελανθεύς, ἀλλὰ στρεφθεὶς χεῖρας καὶ πόδας καὶ σειρᾷ ἐκδεθεὶς ἀπαιωρεῖται, καὶ οὕτως αἱ σανίδες ἐκδέονται. διὸ καὶ πρὸς ἑρμηνείαν καὶ σαφήνειαν πρόςκειται τὸ ὄπισθε χρονικῶς ἐν τῷ, σανίδας δ' ἐκδῆσαι ὄπισθεν, ἤγουν μετὰ τοῦ (scr. τὸ) πάντα ὅσα χρὴ ἐπὶ τῷ Μελανθίῳ ποιῆσαι· διὸ καὶ πάντα ποιήσαντες οἱ δοῦλοι θύρην ἐπέθεντο φαεινήν. ὡς ἐν τῇ συμπληρώσει τοῦ διηγήματος ὁ ποιητὴς φησίν. Eust.

ὄπισθεν] Γρ. ἱμάντι. Vind. 133. — Ἔχει δὲ διαφορὰν τὸ ἐπιθεῖναι θύρας καὶ τὸ ἐκδῆσαι. τὸ μὲν γὰρ ἀντὶ τοῦ κλεῖσαι κεῖται καὶ μὴ ἐᾶσαι ἀναπεπταμένας. τὸ δὲ ἐκδῆσαι καὶ δεσμὸν ἐπιβληθῆναι δηλοῖ. καὶ ἔστι τὸ σανίδας ἐκδῆσαι ὡς ἐκ μέρους δηλωτικὸν καὶ τοῦ ἐπιθεῖναι. οὐκ ἔστι γὰρ δεσμηθῆναι θύρας μὴ πρότερον κλεισθείσας· δῆλον δὲ ὅτι ταυτὸν ἐν τούτοις, σανίδας εἰπεῖν καὶ θύρας ἢ θύρην. οὕτω καὶ πρὸ ὀλίγων τὸ τόξον Τηλέμαχος ἔκλινε κολληταῖς εὐξέσταις σανίδεσσι, τουτέστι θύραις (φ, 136.). Eust.

V. 175. σειρήν] πλέγμα, σχοινίον. Vulg. Σειρὴν πλεκτὴν εἶδός τι λέγει σχοινίου, ἴσως δὲ καὶ ἱμάντος, ὡς δηλοῦσιν οἱ παράσειροι ἵπποι καὶ οἱ ἀνασειραζόμενοι. ἐφυλάχθη δὲ ἡ λέξις καὶ παρὰ τοῖς ὕστερον. σειραὶ τοίνυν ἐλέγοντό τινες πεπλεγμέναι διὰ σχοίνων, φυτῶν δηλαδή. ἐντεῦθεν δὲ εἰλῆφθαι δοκεῖ καὶ ἡ ἰδιωτικῶς σέρα ἡ τὰς θύρας κλείουσα, πάλαι μὲν σχοῖνος οὖσα, καὶ αὐτὸ εἰπεῖν σειρὰ πλεκτή, ὕστερον δὲ καὶ ἐπὶ ξυλίνων μοχλῶν τῶν ἐντὸς παρανοουμένη ἢ παραφθειρομένη. Eust.

πειρήναντε] ἐκδήσαντες. Vulg. Πειρήναντες ἀντὶ τοῦ, περατώσαντες, ἐκδήσαντες. καὶ ἔστι τό, ἐξ αὐτοῦ πειρήναντες, σύστοιχον τῷ, ἐκ δ' αὐτοῦ πείρατ' ἀνήφθω (μ, 51. 162.), ὃ περὶ τοῦ Ὀδυσσέως που εἴρηται. πρωτότυπον δὲ τοῦ πειρήναντες τὸ περαίνω. Eust. Ἰστέον δὲ ὅτι τῶν σεσημειωμένων Ὁμηρικῶν σπονδειακῶν ἤγουν δωδεκασυλλάβων ἑπτὰ ἐπῶν ἐστι καὶ ὁ προκείμενος, ἤτοι τό, σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντε, καθὰ καὶ τό, τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην. ἀλλήλοιϊν (φ, 15), καὶ τό, θώρηκας ῥήξειν δῄων ἀμφὶ στήθεσσιν (Il. β, 544.). οὕτω γὰρ οἱ παλαιοὶ γράφουσι συναιροῦντες τὸ δηΐων εἰς δισύλλαβον. Id.

κίον' ἀν' ὑψηλὴν ἐρύσαι, πελάσαι τε δοκοῖσιν,
ὥς κεν δηθὰ ζωὸς ἐὼν χαλέπ' ἄλγεα πάσχῃ.
῝Ως ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο·
βὰν δ' ἴμεν ἐς θάλαμον, λαθέτην δέ μιν ἔνδον ἐόντα.
ἤτοι ὁ μὲν θαλάμοιο μυχὸν κάτα τεύχε' ἐρεύνα·
τὼ δ' ἔσταν ἑκάτερθε παρὰ σταθμοῖσι μένοντε.
εὖθ' ὑπὲρ οὐδὸν ἔβαινε Μελάνθιος, αἰπόλος αἰγῶν,
τῇ ἑτέρῃ μὲν χειρὶ φέρων καλὴν τρυφάλειαν,
τῇ δ' ἑτέρῃ σάκος εὐρὺ, γέρον, πεπαλαγμένον ἄζῃ,
Λαέρτεω ἥρωος, ὃ κουρίζων φορέεσκεν·
δὴ τότε γ' ἤδη κεῖτο, ῥαφαὶ δὲ λέλυντο ἱμάντων.
τὼ δ' ἄρ' ἐπαΐξανθ' ἑλέτην, ἔρυσάν τέ μιν εἴσω
κουρίξ· ἐν δαπέδῳ δὲ χαμαὶ βάλον ἀχνύμενον κῆρ.

V. 176. κίονα] Κίονα κατὰ γένος θηλυκὸν καὶ νῦν Ἀττικῶς λέγει καὶ Ἰωνικῶς. Eust. ἐρύσαι] ἀναρτῆσαι. Vulg.

V. 183. τρυφάλειαν] Τρυφάλεια, περικεφαλαία τριφάλειά τις οὖσα, ἢ τρεῖς φάλους ἔχουσα. (Ita scr. pro: τρυφάλεια] πρικεφαλαία κ. τ. λ.). Vulg.

V. 184. γέρον] Σάκος γέρον, τὸ πάνυ παλαιόν, καὶ ὡς εἰπεῖν γηράσαν. ἅπαξ δὲ καὶ τοῦτο εἶπεν ὁ ποιητής. Eust.

πεπαλαγμένον] μεμολυσμένον. Harl. μεμολυσμένον τῇ ξηρότητι. Ambr. Q. ἠφανισμένον εὔρωτι, ἢ μέλανι κεχρωμένον. Id.

ἄζῃ] εὐρῶτι, ἢ ξηρασίᾳ. Vulg. Ἄζη, ἡ γηρασία, ἡ τοῖς μυδῶσιν ἐγγινομένη λευκότης, ὁ παλάσσων εὐρώς, κατὰ στέρησιν τοῦ ζῆν. οὐ ζῶσι γὰρ τὰ ξηρανθέντα. Eust.

V. 185. κουρίζων] Ἀντὶ τοῦ, νέος ὢν κοῦρος. Eust. φορέεσκεν] ἔφερεν, ἐβάσταζεν. Vulg.

V. 183. κουρίξ] Τὸ κουρίξ τῶν ἅπαξ μὲν παρ' Ὁμήρῳ

σὺν δὲ πόδας χεῖράς τε δέον θυμαλγέϊ δεσμῷ,
εὖ μάλ' ἀποστρέψαντε διαμπερές, ὡς ἐκέλευσεν
υἱὸς Λαέρταο, πολύτλας δῖος Ὀδυσσεύς·
σειρὴν δὲ πλεκτὴν ἐξ αὐτοῦ πειρήναντε,
κίον' ἀν' ὑψηλὴν ἔρυσαν, πέλασάν τε δοκοῖσιν.
τὸν δ' ἐπικερτομέων προςέφης, Εὔμαιε συβῶτα·
Νῦν μὲν δὴ μάλα πάγχυ, Μελάνθιε, νύκτα φυλάξεις,
εὐνῇ ἔνι μαλακῇ καταλέγμενος, ὥς σε ἔοικεν·
οὐδὲ σέγ' ἠριγένεια παρ' Ὠκεανοῖο ῥοάων
λήσει ἐπερχομένη χρυσόθρονος, ἡνίκ' ἀγινεῖς
αἶγας μνηστήρεσσι, δόμον κάτα δαῖτα πένεσθαι.
Ὣς ὁ μὲν αὖθι λέλειπτο, ταθεὶς ὀλοῷ ἐνὶ δεσμῷ·
τὼ δ' ἐς τεύχεα δύντε, θύρην ἐπιθέντε φαεινήν,

ῥηθέντων ἐστὶ καὶ αὐτό, δηλοῖ δὲ κατὰ τοὺς παλαιοὺς τὸ νεανικῶς, καὶ γίνεται ἐκ τοῦ ὡς ἐῤῥέθη κουρίζειν, οὗ μέλλων Δωρικός, κουρίξω, καὶ ἐξ αὐτοῦ κουρίξ, τὸ ἀνδρείως καὶ ὡς πρέπει κούροις. καὶ οὕτω μέν φησιν ὁ Κράτης. Ἀρίσταρχος δὲ ἀντὶ τοῦ, ἐπιλαβομένους (scr. ἐπιλαβόμενοι) τῆς κόμης, ἵνα ᾖ κατ' αὐτὸν τὸ κουρίξ ἀντὶ τοῦ, ἐκ τῆς κεφαλῆς, ὡς εἴ τις εἴποι, ἐκ τῆς κουρᾶς, ἰδιωτικώτερον. ὁμοιοῦται δὲ τῷ τόνῳ πρὸς τὸ ἀπρίξ, ἔτι δὲ καὶ πρὸς τὸ ἀμφορίξ, ὅπερ ἐκ τοῦ ἀμφορίζω γέγονε, τοῦ παρηγμένου ἐκ τοῦ ἀμφορέως. Eust. Κουρίξ. τῶν ἅπαξ εἰρημένων, ἐν τῇ μνηστηροφονίᾳ. σημαίνει δὲ τὸ τῆς κόρης (Villois. emend. κόῤῥης. An κουρᾶς ex Eust.?) λαβέσθαι. ἔνιοι δέ, κουρικῶς, οἷον νεανικῶς. Apollon.

V. 189. ἔδεον] ἐδέσμουν. Vulg.

V. 192. πειρήναντες] δήσαντες. Ambr. Q. v. ad v. 175.

V. 195. φυλάξεις] παρατηρήσεις. Vulg.

V. 196. καταλέγμενος] καθεύδων. Id.

V. 198. ἀγινεῖς] Τὸ ἀγινεῖς ἀντὶ μέλλοντος χρόνου κεῖται, τοῦ ἄξεις, ἀγάγῃς. Eust. cf. ad κ, 104. ξ, 105. ρ, 294.

V. 201. ἐπιθέντε] κλείσαντες. Vulg. v. ad v. 156. et 174.

βήτην εἰς Ὀδυσῆα δαΐφρονα, ποικιλομήτην.
ἔνθα μένος πνείοντες ἐφέστασαν· οἱ μὲν ἐπ᾽ οὐδοῦ,
τέσσαρες, οἱ δ᾽ ἔντοσθε δόμων, πολέες τε καὶ ἐσθλοί.
τοῖσι δ᾽ ἐπ᾽ ἀγχίμολον θυγάτηρ Διὸς ἦλθεν Ἀθήνη,
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν.
τὴν δ᾽ Ὀδυσεὺς γήθησεν ἰδών, καὶ μῦθον ἔειπεν·
Μέντορ, ἄμυνον ἀρήν, μνῆσαι δ᾽ ἑτάροιο φίλοιο,
ὅς σ᾽ ἀγαθὰ ῥέζεσκον· ὁμηλικίη δέ μοί ἐσσι.
Ὣς φάτ᾽, ὀϊόμενος λαοσσόον ἔμμεν Ἀθήνην.
μνηστῆρες δ᾽ ἑτέρωθεν ὁμόκλεον ἐν μεγάροισιν·
πρῶτος τήνγ᾽ ἐνένιπτε Δαμαστορίδης Ἀγέλαος·
Μέντορ, μή σ᾽ ἐπέεσσι παραιπεπίθῃσιν Ὀδυσσεύς,
μνηστήρεσσι μάχεσθαι, ἀμυνέμεναι δέ οἱ αὐτῷ.
ὧδε γὰρ ἡμέτερόν γε νόον τελέεσθαι ὀΐω·
ὁππότε κεν τούτους κτέωμεν, πατέρ᾽ ἠδὲ καὶ υἱόν,
ἐν δὲ σὺ τοῖσιν ἔπειτα πεφήσεαι, οἷα μενοινᾷς

V. 203. ἐφέστασαν] Ὅρα τὸ ἐφέστασαν; οὐκ ἀπὸ τοῦ ἔστην ἔστησαν, οὐ γὰρ ἂν ἐδασύνετο, ἀλλὰ ἀπὸ τοῦ ἐφεστήκεισαν, κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ η εἰς ᾱ. Eust.

V. 209. ὁμηλικίη] v. ad ζ, 23.

V. 210. οἰόμενος] Ἀντὶ τοῦ, πεπιστευμένος. Vulg.

V. 213. παραιπεπίθῃσιν] πείσῃ. Id.

V. 216. κτέωμεν] ἀνέλωμεν. Id. Τὸ κτέωμεν ἀντὶ τοῦ φονεύσωμεν, ὅμοιον ὂν τῷ ἀφέωμεν καὶ φθέωμεν καὶ εἰδέωμεν, ἀντὶ τοῦ ἀφῶμεν καὶ φθῶμεν καὶ εἰδῶμεν. — δῆλον ὡς πρωτότυπόν ἐστι ῥῆμα κτῶ, οὗ τὸ ἐντελὲς κτέω, καὶ πλεονασμῷ τοῦ ν̄ κτένω, καὶ ἐπενθέσει τοῦ ῑ κτείνω, ὁμοίως τῷ ἕω ἕνω εἵνω τὸ καλύπτω, οὗ παράγωγον τὸ εἰνύω ἐν Ἰλιάδι. Eust.

ἔρδειν ἐν μεγάροις· σῷ δ' αὐτοῦ κράατι τίσεις.
αὐτὰρ ἐπὴν ὑμέων γε βίας ἀφελώμεθα χαλκῷ,
κτήμαθ', ὁπόσσα τοί ἐστι, τά τ' ἔνδοθι καὶ τὰ θύρηφιν,
τοῖσιν Ὀδυσσῆος μεταμίξομεν· οὐδέ τοι υἷας
ζώειν ἐν μεγάροισιν ἐάσομεν, οὐδὲ θύγατρας,
οὐδ' ἄλοχον κεδνὴν Ἰθάκης κατὰ ἄστυ πολεύειν.
Ὣς φάτ'· Ἀθηναίη δὲ χολώσατο κηρόθι μᾶλλον,
νείκεσσεν δ' Ὀδυσῆα χολωτοῖσιν ἐπέεσσιν·
Οὐκέτι σοίγ', Ὀδυσεῦ, μένος ἔμπεδον, οὐδέ τις ἀλκή,
οἵη ὅτ' ἀμφ' Ἑλένῃ λευκωλένῳ, εὐπατερείῃ,
εἰνάετες Τρώεσσιν ἐμάρναο νωλεμὲς αἰεί,
πολλοὺς δ' ἄνδρας ἔπεφνες ἐν αἰνῇ δηϊοτῆτι,
σῇ δ' ἤλω βουλῇ Πριάμου πόλις εὐρυάγυια.
πῶς δὴ νῦν, ὅτε σόν τε δόμον καὶ κτήμαθ' ἱκάνεις,
ἄντα μνηστήρων ὀλοφύρεαι ἄλκιμος εἶναι;
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵστασο, καὶ ἴδε ἔργον,
ὄφρ' εἰδῇς, οἷός τοι ἐν ἀνδράσι δυςμενέεσσιν

V. 218. κράατι] τῇ κεφαλῇ. τίσεις] ἀποδώσεις. Vulg. Τό, σῷ αὐτοῦ κράατι τίσαις, ἀντὶ τοῦ, τῇ σῇ κεφαλῇ ἀνταποδώσεις, ἤγουν τῇ ζωῇ σου ζημιωθήσῃ, καὶ ὡς οὕτω φάναι κεφαλικῶς τιμωρηθήσῃ. — τό, σῷ αὐτοῦ κράατι, καινῶς ἐσχημάτισται. τὸ γὰρ σύνηθες, σοῦ αὐτοῦ κράατι. Eust.

V. 220. ἔνδοθι] ἐν τῷ οἴκῳ. Vulg.

V. 232. ἄντα μνηστήρων ὀλοφύρεαι] Νῦν, ἀποδειλιᾷς, ἢ ὑποκρίνῃ, ὑποδεέστερος γίνῃ. ἢ ἐλλείπει ἡ περί, ἵν' ᾖ, περὶ μνηστήρων. Id.

Μέντωρ Ἀλκιμίδης εὐεργεσίας ἀποτίνειν.
Ἦ ῥα· καὶ οὔπω πάγχυ δίδου ἑτεραλκέα νίκην,
ἀλλ᾽ ἔτ᾽ ἄρα σθένεός τε καὶ ἀλκῆς πειρήτιζεν,
ἠμὲν Ὀδυσσῆος, ἠδ᾽ υἱοῦ κυδαλίμοιο.
αὐτὴ δ᾽ αἰθαλόεντος ἀνὰ μεγάροιο μέλαθρον
ἕζετ᾽ ἀναΐξασα, χελιδόνι εἰκέλη ἄντην.
Μνηστῆρας δ᾽ ὤτρυνε Δαμαστορίδης Ἀγέλαος,
Εὐρύνομός τε καὶ Ἀμφιμέδων, Δημοπτόλεμός τε,
Πείσανδρός τε Πολυκτορίδης, Πόλυβός τε δαΐφρων·
οἱ γὰρ μνηστήρων ἀρετῇ ἔσαν ἔξοχ᾽ ἄριστοι,
ὅσσοι ἔτ᾽ ἔζωον, περί τε ψυχέων ἐμάχοντο·

V. 239. *μεγάροιο μέλαθρον*] *Αἰθαλόεντος μεγάρου μέλαθρον λέγει τὴν ὀροφήν. διὸ ἐρεῖ ἐν τοῖς ἑξῆς* (v. 297.), *δὴ τότε ἀνέσχεν Ἀθηνᾶ αἰγίδα ὑψόθεν ἐξ ὀροφῆς, ὡς ταυτὸν εἶναι ὀροφὴν καὶ μέλαθρον. καὶ νῦν μὲν ἐντελῶς ἐῤῥέθη μέλαθρον οἴκου. ὅτε δὲ μέλαθρον ὁ οἶκος ἅπας λέγεται, ἀπὸ μέρους λαλεῖται, ὥςπερ καὶ στέγη καὶ τέγος ὁ αὐτός, ἀπὸ τοῦ σκέποντος ὀροφώματος, μέρους καὶ αὐτοῦ ὄντος. αἰθαλόεν δὲ ἢ παρὰ τὸ αἴθω, ἐξ οὗ καὶ τὸ μέλαθρον, διὰ τὸ αἰθόμενον δηλαδὴ πῦρ ἐν ταῖς κατὰ τὴν ἑστίαν θυσίαις, ἢ τὸ καταλαμπόμενον καὶ πολύφωτον, παρὰ τὸ αἴθειν ἤγουν λάμπειν, ἀφ᾽ οὗ καὶ αἰθήρ.* Eust. *τὴν ὀροφήν. πολλὰ δὲ καθύπερθεν μελαθρόφιν ἐξεκέχυντο* (*θ*, 279.). Ambr. Q.

V. 240. *χελιδόνι εἰκέλη ἄντην*] *ἢ κατὰ τὴν πτῆσιν ἢ κατὰ τὸ εἶδος. ἄντην ἤγουν ἄντικρυς.* Eust. *Οὐκ ἀληθῶς εἰς χελιδόνα μετεβλήθη ἡ θεός, οὐδὲ Ἑρμῆς ὁ λόγος* (scr. *λόγιος*) *ὄρνιθι ἐοικώς* (*ε*, 51.), *οὐδὲ αἰθείη οἰκεία Λευκοθέα* (*ε*, 337.), *οὐδὲ ὁ Πρωτεὺς πῦρ ἐγένετο* (*δ*, 418.). *ἔκαυσε γὰρ τὸν Μενέλαον. τοῖς γὰρ ὁρῶσι δοκεῖ τοῦτο καίπερ ψευδὲς ὑπάρχον.* Ambr. Q.

V. 244. *ἀρετῇ*] *Ὅτι ἀρετὴ καὶ ἐνταῦθα ἡ ἀνδρία.* Eust.

τοὺς δ' ἤδη ἐδάμασσε βιὸς καὶ ταρφέες ἰοί.
τοῖς δ' Ἀγέλεως μετέειπεν, ἔπος πάντεσσι πιφαύσκων·
Ὦ φίλοι, ἤδη σχήσει ἀνὴρ ὅδε χεῖρας ἀάπτους·
καὶ δή οἱ Μέντωρ μὲν ἔβη, κενὰ εὔγματα εἰπών·
οἱ δ' οἶοι λείπονται ἐπὶ πρώτῃσι θύρῃσιν.
τῷ νῦν μὴ ἅμα πάντες ἀφίετε δούρατα μακρά·
ἀλλ' ἄγεθ', οἱ ἓξ πρῶτον ἀκοντίσατ', αἴ κέ ποθι Ζεὺς
δώῃ Ὀδυσσῆα βλῆσθαι, καὶ κῦδος ἀρέσθαι.
τῶν δ' ἄλλων οὐ κῆδος, ἐπὴν οὗτός γε πέσῃσιν.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκόντισαν, ὡς ἐκέλευεν,
ἱέμενοι· τὰ δὲ πάντα ἐτώσια θῆκεν Ἀθήνη.
τῶν ἄλλος μὲν σταθμὸν ἐϋσταθέος μεγάροιο
βεβλήκει, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν·
ἄλλου δ' ἐν τοίχῳ μελίη πέσε χαλκοβάρεια.

V. 248. σχήσει] τουτέστιν ἐφέξει. Id. cf. v. 70.

V. 249. εὔγματα] αὐχήσεις. Vulg.

V. 250. λείπονται] κατελείφθησαν. Id.

V. 254. πέσῃσιν] Ὅρα τὸ πέσῃ, κοινῶς καὶ ἁπλοϊκῶς λεχθὲν ἀντὶ τοῦ ἀποθάνῃ, καὶ οὐχ ὡς τό, δεδουπότος Οἰδιπόδαο (Il. ψ, 679.). ἐκεῖνο γὰρ ποιητικώτερον. Eust.

V. 259. ἐν τοίχῳ μελίη πέσε] Τό, ἐν τοίχῳ πέσεν, ἀντὶ τοῦ, ἐνέπεσε τῷ τοίχῳ. Μελίαν δὲ τὸ ἔγχος λέγει, ὃν τρόπον καὶ δόρυ. πλὴν ἐκεῖνο μὲν γενικῶς, τοῦτο δὲ ἀπὸ εἴδους δένδρου τῆς μελίας, διὸ καὶ μείλινον τὸ τοιοῦτον μετουσιαστικῶς. καὶ ἄλλως δὲ τὸ μελία ὁμωνύμως νῦν ἐῤῥέθη τῷ ὅλῳ. ὡς γάρ που ἐλέφας τὸ ἐξ ἐλέφαντος ὀστοῦν, οὕτω καὶ μελία τὸ ἐκ μελίας δόρυ, καθὰ καὶ ἤπειρος ἡ ἀντικρὺ τῆς Ἰθάκης περαία γῆ, ὁμωνύμως τῇ ὅλῃ (v. ad ε, 56. ν, 114. ξ, 97. 100.). καθ' ὅμοιον δὲ λόγον καὶ

αὐτὰρ ἐπειδὴ δούρατ᾽ ἀλεύαντο μνηστήρων,
τοῖς δ᾽ ἄρα μύθων ἦρχε πολύτλας δῖος Ὀδυσσεύς·
Ὦ φίλοι, ἤδη μέν κεν ἐγὼν εἴποιμι καὶ ἄμμιν,
μνηστήρων ἐς ὅμιλον ἀκοντίσαι, οἳ μεμάασιν
ἡμέας ἐξεναρίξαι ἐπὶ προτέροισι κακοῖσιν.
Ὣς ἔφαθ᾽· οἱ δ᾽ ἄρα πάντες ἀκόντισαν ὀξέα δοῦρα,
ἄντα τιτυσκόμενοι· Δημοπτόλεμον μὲν Ὀδυσσεύς,
Εὐρυάδην δ᾽ ἄρα Τηλέμαχος, Ἔλατον δὲ συβώτης,
Πείσανδρον δ᾽ ἄρ᾽ ἔπεφνε βοῶν ἐπιβουκόλος ἀνήρ·
οἱ μὲν ἔπειθ᾽ ἅμα πάντες ὀδὰξ ἕλον ἄσπετον οὖδας.
μνηστῆρες δ᾽ ἀνεχώρησαν μεγάροιο μυχόνδε·
τοὶ δ᾽ ἄρ᾽ ἐπήϊξαν, νεκύων δ᾽ ἐξ ἔγχε᾽ ἕλοντο.
Αὖτις δὲ μνηστῆρες ἀκόντισαν ὀξέα δοῦρα,
ἱέμενοι· τὰ δὲ πολλὰ ἐτώσια θῆκεν Ἀθήνη.
τῶν ἄλλος μὲν σταθμὸν ἐϋσταθέος μεγάροιο

ἄσπετον οὖδας μετ᾽ ὀλίγα κεῖται (v. 269.) τὸ πάντῃ ὀλίγον, ὁμωνύμως τῇ ἀσπέτῳ γῇ καὶ ἀπείρονι. ἐρεῖ γάρ, οἱ μὲν ἔπειθ᾽ ἅμα πάντες ὀδὰξ τουτέστι δακτικῶς ἕλον ἄσπετον οὖδας, τουτέστι τὸ ὑποκείμενον ὀλίγον ἔδαφος. Eust. Ἰστέον δὲ ὅτι τοὺς ῥηθέντας τρεῖς στίχους (v. 257—259.) καὶ μετ᾽ ὀλίγα οὕτω τίθησιν ὁ ποιητὴς δίχα παραποιήσεως (v. 274—276.), διό τινες ὠβέλισαν ἐκείνους ὡς ταυτολογοῦντας. Id.

V. 264. ἐπὶ προτέροισι κακοῖσιν] σὺν οἷς ἔπραττον πρώην κακοῖς. Ambr. Q.

V. 269. ἄσπετον οὖδας] v. ad v. 259.

V. 270. μεγάροιο μυχόνδε] εἰς τὸν ἐνδότερον τόπον τοῦ ἀνδρῶνος, ὡσεὶ ἔλεγε, πρὸς αὐτὸν τὸν τοῖχον τὸν ἀντικρὺ τῆς εἰσόδου. Id.

V. 274—276. τῶν ἄλλος κ. τ. ἑ.] v. not. ad v. 259. sub fin.

βεβλήκει, ἄλλος δὲ θύρην πυκινῶς ἀραρυῖαν·
ἄλλου δ᾽ ἐν τοίχῳ μελίη πέσε χαλκοβάρεια.
Ἀμφιμέδων δ᾽ ἄρα Τηλέμαχον βάλε χεῖρ᾽ ἐπὶ καρπῷ
λίγδην, ἄκρην δὲ ῥινὸν δηλήσατο χαλκός.
Κτήσιππος δ᾽ Εὔμαιον ὑπὲρ σάκος ἔγχεϊ μακρῷ
ὦμον ἐπέγραψεν· τὸ δ᾽ ὑπέρπτατο, πίπτε δ᾽ ἔραζε.
τοὶ δ᾽ αὖτ᾽ ἀμφ᾽ Ὀδυσῆα δαΐφρονα, ποικιλομήτην,
μνηστήρων ἐς ὅμιλον ἀκόντισαν ὀξέα δοῦρα.
ἔνθ᾽ αὖτ᾽ Εὐρυδάμαντα βάλε πτολίπορθος Ὀδυσσεύς,
Ἀμφιμέδοντα δὲ Τηλέμαχος, Πόλυβον δὲ συβώτης·
Κτήσιππον δ᾽ ἄρ᾽ ἔπειτα βοῶν ἐπιβουκόλος ἀνὴρ
βεβλήκει πρὸς στῆθος, ἐπευχόμενος δὲ προςηύδα·

V. 278. *λίγδην*] ὥςτε ἐπιλίξαι, ὅ ἐστιν ἐπιψαῦσαι ἐπιπολαίως μόνον τὴν ἔξωθεν ἐπιφάνειαν τοῦ σώματος. Vulg. Ξεστικῶς. ἅπαξ δὲ ἐνταῦθα, καὶ ἅπαξ ἐν Ἰλιάδι (ρ, 599.) ἐπιλίγδην. Ambr. Q. Ἔστι λίγδην βαλεῖν τὸ ἄκρον τὸ δέρμα δηλήσασθαι, ἵνα ᾖ λίγδην τὸ ξεστικῶς, ἐπιπολῆς, κατὰ δὲ τοὺς παλαιοὺς καὶ ἐπιψαύδην, Ὁμηρικῶς δὲ εἰπεῖν, ἐπιγράβδην. — γίνεται δὲ τὸ λίγδην ὡς ἀπὸ τοῦ λίζειν, λέξεως ὠνοματοπεποιημένης. ὅθεν καὶ λίστρον, ὁ ξυστήρ, μετ᾽ ὀλίγα ἐν τῷ, λίστροις δάπεδον δόμου ἔξυον (v. 455.) εἴρηται δὲ ἅπαξ καὶ τοῦτο ἐνταῦθα, καὶ ἐν Ἰλιάδι δὲ (l. c.) ὁμοίως τὸ ἐπιλίγδην. δήλη δὲ ἡ τοιαύτη ὀνοματοποιΐα ἐπὶ μαρμάρων λίθων καί τινων τοιούτων, ὅτε ὑέλῳ εἴτε σιδήρῳ ξύονται. οὕτω δὲ εὐθὺς (v. sequ.) καὶ τὸν Εὔμαιον Κτήσιππος ὑπὲρ σάκος ἔγχεϊ μακρῷ ὦμον ἐπέγραψεν, ὃ καὶ αὐτὸ εἴρηται ἀντὶ τοῦ, ἐπιπόλαιον ἔξυσε. Eust.

ἄκρην δὲ ῥινόν] Ὅρα ὅτι θηλυκῶς τε καὶ ἀῤῥενικῶς λέγεται ῥινός κατὰ τὰ ἀντίγραφα. Id.

V. 280. *ἐπέγραψεν*] v. Eust. nota proxima ad v. 278.

Ὦ Πολυθερσείδη φιλοκέρτομε, μήποτε πάμπαν
εἴκων ἀφραδίῃς μέγα εἰπεῖν, ἀλλὰ θεοῖσιν
μῦθον ἐπιτρέψαι· ἐπειὴ πολὺ φέρτεροί εἰσιν.
τοῦτό τοι ἀντὶ ποδὸς ξεινήϊον, ὅν ποτ' ἔδωκας
ἀντιθέῳ Ὀδυσῆϊ, δόμον κατ' ἀλητεύοντι.
Ἦ ῥα βοῶν ἑλίκων ἐπιβουκόλος· αὐτὰρ Ὀδυσσεὺς
οὖτα Δαμαστορίδην αὐτοσχεδὸν ἔγχεϊ μακρῷ·
Τηλέμαχος δ' Εὐηνορίδην Λειώκριτον οὖτα
δουρὶ μέσον κενεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν·
ἤριπε δὲ πρηνής, χθόνα δ' ἤλασε παντὶ μετώπῳ.
δὴ τότ' Ἀθηναίη φθισίμβροτον αἰγίδ' ἀνέσχεν
ὑψόθεν ἐξ ὀροφῆς· τῶν δὲ φρένες ἐπτοίηθεν.

V. 287. φιλοκέρτομε] ὁ τὸν φίλον σκώπτων. Vulg.

V. 288. μέγ' εἰπέμεν] (ita ed. ant., Eust. in comment. μέγα εἰπεῖν) Ἀντὶ τοῦ, καυχήσασθαι. Id.

V. 289. ἐπιτρέψαι] ἐπιτροπὴν ποιῆσαι. Id. τουτέστιν ἀνάθες. Eust., qui in comment. θεῷ et πολὺ φέρτερός ἐστιν.

V. 291. ἀλητεύοντι] μεταιτοῦντι. Vulg.

V. 293. οὖτα] Ὅτι καὶ ἐνταῦθα τὸ οὖτα κεῖται προπερισπώμενον διὰ ἀποκοπὴν τὴν ἐκ τοῦ οὔτασεν, ὃ σημαίνει τὴν ἐγγύθεν πληγήν. Eust. v. Il. ν. 192. 561. et infra ad v. 356.

αὐτοσχεδόν] ἤγουν ἔγγιστα, ἔνθα εἰ καὶ προσέκειτο αὐτοσχεδόν, καὶ ἄλλως τὸ οὖτα τὴν αὐτὴν σημασίαν εἶχεν ἄν. Eust.

V. 296. ἤριπε δὲ πρηνής] Οὗτος ἐπ' αὐτὴν πίπτει τὴν πληγήν. Vulg.

V. 298. ἐπτοίηθεν] (ed. ant. ἐπτοιήσθην) ἐν εὐλαβείᾳ καὶ φόβῳ ἐγένοντο. Id. Τῶν δὲ φρένας ἐπτοίησε, τουτέστιν ἐπτόησεν, ἢ καὶ ἄλλως, τῶν δὲ φρένες ἐπτοίηθεν, τουτέστιν εὐλαβήθησαν, ἐπτοήθησαν. Eust. Mox Id. Τὸ δὲ ἐπτοίησεν ἐξανάγκης τῇ οι διφθόγγῳ διὰ μέτρον προπαραλήγεται, γινόμενον ἐκ τοῦ πτοῶ. ὥσπερ γὰρ οὐδὲ τὸ ἠγνόησεν, οὕτως οὐδὲ τὸ ἐπτόησε χρήσιμον εἰς μέτρον Ὁμηρικόν.

οἱ δ᾽ ἐφέβοντο κατὰ μέγαρον, βόες ὣς ἀγελαῖαι·
τὰς μέν τ᾽ αἰόλος οἶστρος ἐφορμηθεὶς ἐδόνησεν,
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τ᾽ ἤματα μακρὰ πέλονται.
οἱ δ᾽, ὥστ᾽ αἰγυπιοὶ γαμψώνυχες, ἀγκυλοχεῖλαι,
ἐξ ὀρέων ἐλθόντες ἐπ᾽ ὀρνίθεσσι θορῶσιν·
ταὶ μέν τ᾽ ἐν πεδίῳ νέφεα πτώσσουσαι ἵενται,
οἱ δέ τε τὰς ὀλέκουσιν ἐπάλμενοι, οὐδέ τις ἀλκὴ
γίγνεται, οὐδὲ φυγή· χαίρουσι δέ τ᾽ ἀνέρες ἄγρῃ·

V. 299. ἀγελαῖαι] νομαῖαι, ἄζευκτοι. Vulg.

V. 300. αἰόλος οἶστρος] Οἶστρος θηρίδιον, ὁ καὶ μύωψ λεγόμενος, μυίας μὲν μεῖζον, τὰ δ᾽ ἄλλα ἐμφερές, ὃ ἐγχρίμπτον βουσὶ καὶ δάκνον, κατὰ δέ τινας καὶ εἰς τὰ ὦτα εἰστρέχον αὐτῶν, ὅπῃ τύχοι κομίζον ἀναγκάζει φέρεσθαι. διὸ καὶ οἶστρος καλεῖται, παρὰ τὸ οἴω τὸ κομίζω. ἐντεῦθεν δὲ καὶ πᾶσα ὁρμὴ ἐνθουσιαστική, κατὰ ἔρωτα τυχὸν ἢ μανίαν ἢ θυμόν, οἶστρος λέγεται, καὶ τὸ ἔχον αὐτὸν οἰστρηλατεῖσθαί φαμεν, καὶ οἰστρεῖν, καὶ παροιστρεῖν. ἕτεροι δὲ θηρίον αὐτόν φασιν ἀκρίδι ἐοικός, ποικίλον μὲν χροίαν, εὐκίνητον, δάκνον καὶ σοβοῦν τὰς βοῦς. οἱ δὲ καὶ ὑπόχαλκον αὐτό φασι τὴν μορφήν. διὸ καὶ αἴολος ὁ τοιοῦτος διὰ τὸ ποικίλον αὐτοῦ καὶ εὐκίνητον. ἢ καὶ ἄλλως αἴολος, ὁ τοῦ αἰόλλεσθαι ἤτοι κινεῖσθαι ταχέως αἴτιος, ὡς καὶ ἔγχος ἄλκιμον, τὸ ἀλκιμοποιόν. Eust. — ἐδόνησεν] ἐκίνησεν, ἐτάραξεν. Vulg.

V. 303. ἐπ᾽ ὀρνίθεσσι] Ἀντὶ τοῦ, κατὰ ὀρνίθων. Eust.

V. 304. νέφεα] τὰ λίνα. Ambr. Q. Νέφεα ἢ τὸν τῶν νεφῶν τόπον καὶ νῦν λέγει, οὔπερ ἀπογνόντες αἱ (l. οἱ) ὄρνιθες κάτω ἵενται καὶ ἀγρευόμεναι (οι) ἀγάλλουσι τοὺς θεατάς. ἢ μάλιστα κατὰ τοὺς παλαιοὺς δικτύων εἶδος, ἃ καὶ ὁ κωμικὸς νεφέλας φησὶν ἐν τῷ, μὰ νεφέλας μὰ δίκτυα (Aristoph. Av. v. 195. et 518. (196. et 531. Dindorf. ed.)). ἵνα εἰκάζει (scr. η) τοὺς μνηστῆρας ὄρνισιν ἡ παραβολή, αἳ λίνων αὐταῖς ἱσταμένων ὅ ἐστι δικτύων, εἶτα αἰγυπιῶν ἐπιόντων πτήξασαι ἐπὶ νέφεα ἵενται, ὅ ἐστι δικτύοις ἐμπελάζουσιν, ὅτε καὶ ἀγρευομένων χαίρουσι τῇ ἄγρᾳ οἱ παρατυχόντες. οὕτω γὰρ καὶ οἱ μνηστῆρες τῇ ἄνωθεν ἐξ Ἀθηνᾶς ῥοπῇ ἐντὸς ἀρκύων πεσόντες πάσχουσι τὰ εἰκότα. Ἰστέον δὲ ὡς ἔγνωσται μέχρι καὶ νῦν ἡ τῶν θηρατικῶν νεφελῶν χρῆσις πολλοῖς, παρ᾽ οἷς καὶ νεφελοστασία ὁ τόπος τῆς τοιαύτης διὰ δικτύων θήρας λέγεται. Eust. λίνα θηρατικά. Hesych.

ὣς ἄρα τοι μνηστῆρας ἐπεσσύμενοι κατὰ δῶμα
τύπτον ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ᾽ ἀεικής,
κράτων τυπτομένων· δάπεδον δ᾽ ἅπαν αἵματι θῦεν.
Λειώδης δ᾽ Ὀδυσῆος ἐπεσσύμενος λάβε γούνων,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
Γουνοῦμαί σ᾽, Ὀδυσεῦ· σὺ δέ μ᾽ αἴδεο, καί μ᾽ ἐλέησον·
οὐ γάρ πώ τινά φημι γυναικῶν ἐν μεγάροισιν
εἰπεῖν, οὐδέ τι ῥέξαι, ἀτάσθαλον· ἀλλὰ καὶ ἄλλους
παύεσκον μνηστῆρας, ὅτις τοιαῦτά γε ῥέζοι.
ἀλλά μοι οὐ πείθοντο κακῶν ἄπο χεῖρας ἔχεσθαι·

V. 307. τοι] Γρ. τούς. Harl.

V. 308. ἐπιστροφάδην] τουτέστιν ἐπιστρεπτικῶς. Eust. μετ᾽ ἐπιστροφῆς τοῦ σώματος. Apollon. cf. Il. κ, 483. et infra ω, 184.

V. 309. κράτων] Αὕτη ἡ γενικὴ ἀπὸ εὐθείας τῆς κρᾶτα, ὡς μῆλα. ὥςπερ οὖν μήλων, οὕτως κράτων. σημαίνει δέ, τῶν κεφαλῶν. Vulg. Τό, κράτων τυπτομένων, ὅ ἐστι κεφαλῶν, σεσημείωται, καθὰ καὶ τὸ πάντων, καὶ δᾴδων, καὶ τὰ τοιαῦτα, ὡς βαρυνόμενον. φασὶ δὲ οἱ παλαιοί, ὅτι ἐκ τῆς κράας κράατος γενικῆς ἐκλίθη, ὅθεν καὶ τό, σῷ κράατι τίσεις (v. 218.). ἀφ᾽ οὗ γενικὴ πληθυντική, κραάτων, καὶ κράτων κατὰ συναίρεσιν. Eust.

δάπεδον] Ὅρα, ὡς καὶ ἑτέρωθι (v. δ, 627. κ, 227.), δάπεδον τὸ τοῦ μεγάρου ἔδαφος. οὐ γὰρ δή που τὸ τῆς αὐλῆς ἐνταῦθα δηλοῖ, οὐδ᾽ ἄλλο τι αἴθριον μέρος γῆς. δῆλον δ᾽ ὅτι τὸ τοιοῦτον βασιλικὸν δάπεδον καὶ κραταίπεδον ἂν εἴη διὰ τὸ ὡς εἰκὸς λιθόστρωτον εἶναι. Eust. θῦεν] v. λ, 420.

V. 314. ἄλλους — ὅτις] Ἐκ πληθυντικοῦ ὑπέβη συνήθως εἰς ἑνικόν. Id.

V. 316. χεῖρας ἔχεσθαι] Τό, κακῶν ἄπο χεῖρας ἔχεσθαι, οἱ μεθ᾽ Ὅμηρον ἐλλειπτικῶς φράζουσιν. ἀρκεῖ γὰρ παρ᾽ αὐτοῖς εἰπεῖν, κακῶν ἀπέχεσθαι, κατ᾽ ἔλλειψιν τοῦ χεῖρας. Id.

τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
αὐτὰρ ἐγὼ μετὰ τοῖσι θυοςκόος, οὐδὲν ἐοργώς,
κείσομαι· ὡς οὐκ ἔστι χάρις μετόπισθ᾽ εὐεργέων.
Τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προςέφη πολύμητις Ὀδυσσεύς·
εἰ μὲν δὴ μετὰ τοῖσι θυοςκόος εὔχεαι εἶναι,
πολλάκι που μέλλεις ἀρήμεναι ἐν μεγάροισιν,
τηλοῦ ἐμοὶ νόστοιο τέλος γλυκεροῖο γενέσθαι,
σοὶ δ᾽ ἄλοχόν τε φίλην σπέσθαι, καὶ τέκνα τεκέσθαι·
τῷ οὐκ ἂν θάνατόν γε δυςηλεγέα προφύγοισθα.
Ὣς ἄρα φωνήσας, ξίφος εἵλετο χειρὶ παχείῃ
κείμενον, ὅ ῥ᾽ Ἀγέλαος ἀποπροέηκε χαμᾶζε
κτεινόμενος· τῷ τόνγε κατ᾽ αὐχένα μέσσον ἔλασσεν·

V. 318. θυοςκόος] v. ad φ, 145.

V. 322. ἀρήμεναι] τουτέστιν εὔξασθαι. — τοῦ δὲ ἀρήμεναι ἀραίνω τὸ πρωτότυπον ἢ ἄρημι, ἐκ τοῦ ἀρῶ, ὁποῖα καὶ ἄλλα δύςχρηστα παρεσημειώθησαν. Id.

V. 324. σπέσθαι] Σπέσθαι, τὸ ἀκολουθῆσαι. ἀπὸ τοῦ ἕπεται τὸ ἀπαρέμφατον ἕπεσθαι, πλεονασμῷ τοῦ σ̄ ἕπεσθαι, καὶ σπέσθαι. Etymol. M. (Vulg. cit. Od. δ, 38., sed ita: ἅμα σπέσθαι ἑοῖ αὐτῷ.) Τὸ σπέσθαι δευτέρον ἐστίν, ὅμοιον τῷ πτέσθαι παρὰ Σοφοκλεῖ, καὶ τῷ σχέσθαι, καὶ τοῖς τοιούτοις. Eust.

V. 325. δυςηλεγέα] δυςκοίμητον. Vulg. δύςφημον διὰ τοὺς θρήνους. Ambr. Q. Δυςκοίμητον, ἵνα ᾖ ἀπὸ τοῦ λέγω τὸ κοιμῶμαι θάνατος δυςλεγής, καὶ πλεονασμῷ τοῦ η̄ δυςηλεγής. — ἢ καὶ ἄλλως, δυςαλεγής. Eust. Δυςηλεγής καὶ τανηλεγής ἐπὶ τοῦ θανάτου λέγεται; ὁ μακροκοίμητος (quae interpretatio fuit Aristarchi secundum Apollonium), ἀπὸ τοῦ λέγω τὸ κοιμῶμαι, οἷον, Λέξον νῦν με τάχιστα. — ἢ παρὰ τὸν ἔλεγον, τὸν θρῆνον, ἵν᾽ ᾖ, ὁ χαλεποὺς θρήνους περιποιῶν. Etymol. M. cf. Eust. ad Il. υ, 154.

V. 327. ὅ ῥα] (ed. ant. ὅςρα, unde Buttm. conj. ὅῤῥα) ὅπερ δή. Vulg.

φθεγγομένου δ' ἄρα τοῦγε κάρη κονίῃσιν ἐμίχθη.
  Τερπιάδης δέ τ' ἀοιδὸς ἀλύσκανε Κῆρα μέλαιναν,
Φήμιος, ὅς ῥ' ἤειδε μετὰ μνηστῆρσιν ἀνάγκῃ.
ἔστη δ', ἐν χείρεσσιν ἔχων φόρμιγγα λίγειαν,
ἄγχι παρ' ὀρσοθύρην· δίχα δὲ φρεσὶ μερμήριζεν,
ἢ ἐκδὺς μεγάροιο, Διὸς μεγάλου ποτὶ βωμὸν
ἑρκείου ἵζοιτο τετυγμένον, ἔνθ' ἄρα πολλὰ
Λαέρτης Ὀδυσεύς τε βοῶν ἐπὶ μηρί' ἔκαιον·
ἢ γούνων λίσσοιτο προσαΐξας Ὀδυσῆα.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
γούνων ἅψασθαι Λαερτιάδεω Ὀδυσῆος.
ἤτοι ὁ φόρμιγγα γλαφυρὴν κατέθηκε χαμᾶζε,
μεσσηγὺς κρητῆρος ἰδὲ θρόνου ἀργυροήλου·
αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσαΐξας λάβε γούνων,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·

V. 333. ὀρσοθύρην] v. ad v. 126.

V. 335. ἑρκείου] Βωμὸς ἑρκείου Διὸς ἔξω που περὶ τὴν αὐλὴν αἴθριος εἶναι δοκεῖ, ὁποῖοι πολλοὶ φαίνονται, ἐν ᾧ ἔθυον Διῒ ἐφόρῳ τοῦ ἕρκους, ὅ ἐστι τοῦ περὶ αὐλὴν τειχίου, ὥςπερ αὖ πάλιν ἐν τῇ κατ' οἶκον ἑστίᾳ Διῒ ἐγίνοντο θυσίαι, ὃν οἱ μὲν ἄλλοι ἐφέστιον, Ἡρόδοτος δὲ Ἰωνικῶς λέγει ἐπίστιον, τὸν αὐτὸν ὄντα τῷ ἑστιούχῳ. καὶ ἔστι τὸ ἑρκεῖος ὅμοιον τῷ ἑταιρεῖος κατὰ τὴν γραφὴν τῆς παραληγούσης, ὡς ἀπὸ τοῦ ἕρκος ἕρκεος ἑρκέϊος ἑρκεῖος, καθὰ Κέϊος Κεῖος ἀπὸ Κέω τῆς νήσου. χρῆσις δὲ ἑρκείου Διὸς καὶ παρὰ Σοφοκλεῖ, ἔνθα ἑρκεῖον Δία ἐκεῖνος τοὺς ἐν οἴκῳ πάντας δηλοῖ (Antig. v. 487.). Eust.

V. 336. ἔκαιον] Vulg. ed. ant. κῆαν] ἔκαυσαν. Vind. 133. ἔκηεν.

V. 337. προςαΐξας] προςορμήσας. Vulg.

V. 340. γλαφυρήν] Γλαφυρὴ νῦν φόρμιγξ, ἡ κοίλη, καὶ ἔστι τοῦτο αὕτη κυρίως λεγομένη ἥπερ ἡ ναῦς καὶ τὸ σπήλαιον. Eust.

Γουνοῦμαί σ', Ὀδυσεῦ· σὺ δέ μ' αἴδεο, καί μ' ἐλέησον·
αὐτῷ τοι μετόπισθ' ἄχος ἔσσεται, εἴ κεν ἀοιδὸν
πέφνῃς, ὅςτε θεοῖσι καὶ ἀνθρώποισιν ἀείδω.
αὐτοδίδακτος δ' εἰμί· θεὸς δέ μοι ἐν φρεσὶν οἴμας
παντοίας ἐνέφυσεν· ἔοικα δέ τοι παραείδειν,
ὥςτε θεῷ· τῷ μή με λιλαίεο δειροτομῆσαι.
καί κεν Τηλέμαχος τάδε γ' εἴποι, σὸς φίλος υἱός,
ὡς ἐγὼ οὔτι ἑκὼν ἐς σὸν δόμον, οὐδὲ χατίζων,
πωλεύμην μνηστῆρσιν ἀεισόμενος μετὰ δαῖτας·
ἀλλὰ πολὺ πλέονες καὶ κρείσσονες ἦγον ἀνάγκῃ.
Ὣς φάτο· τοῦ δ' ἤκουσ' ἱερὴ ἲς Τηλεμάχοιο,
αἶψα δ' ἑὸν πατέρα προςεφώνεεν ἐγγὺς ἐόντα·
Ἴσχεο, μηδέ τι τοῦτον ἀναίτιον οὔταε χαλκῷ·

V. 347. αὐτοδίδακτος] ἐκ φύσεως δεδιδαγμένος. Vulg.

V. 349. δειροτομῆσαι] λαιμοτομῆσαι. Ambr. Q.

V. 352. πωλεύμην] Τὸ πωλεύμην, ἀντὶ τοῦ συνανεστρεφόμην, ἐκτείνει συνήθως τὸ ω, εἰ καὶ τὸ πολεύειν πρὸ ὀλίγων (v. 223.) συνέστελλε τὴν ἄρχουσαν ἐν τῷ, Ἰθάκης κατὰ αστυ πολεύειν, ὥςπερ καὶ τὸ ἀμφιπολεύειν. Eust.

μετὰ δαῖτας] Τό, μετὰ δαῖτα, ἢ ἀντὶ τοῦ, κατὰ εὐωχίαν, ἢ μᾶλλον, διὰ δαῖτα, ἵνα λέγῃ, ὅτι οὐκ ἠρχόμην ἐς σὸν δόμον ἀεισόμενος τοῖς μνηστῆρσι διὰ τὸ φαγεῖν, ἀλλ' ὅτι με ἦγον ἀνάγκῃ, ὃ καὶ αὐτὸς ὁ ποιητὴς ἐν ἀρχῇ τοῦ βιβλίου φθάσας ἐπεσημήνατο (α, 154.). Eust.

V. 353. κρείσσονες] Κρέσσονες καὶ νῦν οἱ ἰσχυρότεροι καὶ κατὰ βίαν ἐπικρατέστεροι. δόξαν δὲ οὕτως Ὁμήρῳ, κρέσσονας ἔφη ἀπελεύσει τοῦ ι τοὺς κρείσσονας, ὥςπερ τινὲς ἕτεροι κάῤῥονάς φασι τοὺς αὐτούς. ἄλλοι δὲ πρωτότυπον εἰδότες τοῦ κρέσσονος τὸν κράσσονα, γράφουσιν οὕτω. κρατύς τὸ πρῶτον, εἶτα τύπος δεύτερος κατὰ σύγκρισιν κρατύτερος, τρίτος δὲ κρέσσων, καὶ παρενθέσει τοῦ ι κρείσσων. Id.

V. 356. οὔταε] Τό, οὔταε χαλκῷ, τὸ ἐντελές ἐστι τοῦ προγραφέντος οὖτα (v. 293.), διὸ βραχυκαταληκτεῖ ἐκεῖνο ἀεί, ὡς δακτύλου ἔχον παραλήγουσαν. Id.

καὶ κήρυκα Μέδοντα σαώσομεν, ὅςτε μευ αἰεὶ
οἴκῳ ἐν ἡμετέρῳ κηδέσκετο, παιδὸς ἐόντος·
εἰ δὴ μή μιν ἔπεφνε Φιλοίτιος, ἠὲ συβώτης,
ἠὲ σοὶ ἀντεβόλησεν, ὀρινομένῳ κατὰ δῶμα.
῝Ως φάτο· τοῦ δ' ἤκουσε Μέδων, πεπνυμένα εἰδώς·
πεπτηὼς γὰρ ἔκειτο ὑπὸ θρόνον, ἀμφὶ δὲ δέρμα
ἕστο βοὸς νεόδαρτον, ἀλύσκων Κῆρα μέλαιναν.
αἶψα δ' ἀπὸ θρόνου ὦρτο, θοῶς δ' ἀπέδυνε βοείην·
Τηλέμαχον δ' ἄρ' ἔπειτα προςαΐξας λάβε γούνων,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προςηύδα·
῏Ω φίλ', ἐγὼ μὲν ὅδ' εἰμί· σὺ δ' ἴσχεο· εἰπὲ δὲ πατρί,
μή με περισθενέων δηλήσεται ὀξέϊ χαλκῷ,
ἀνδρῶν μνηστήρων κεχολωμένος, οἵ οἱ ἔκειρον
κτήματ' ἐνὶ μεγάροις, σὲ δὲ νήπιοι οὐδὲν ἔτιον.
Τὸν δ' ἐπιμειδήσας προςέφη πολύμητις Ὀδυσσεύς·
θάρσει, ἐπειδή σ' οὗτος ἐρύσσατο καὶ ἐσάωσεν,

V. 358. κηδέσκετο] ἐφρόντιζεν, ἐπεμελεῖτο. Vulg.

V. 360. πεπτηώς] Πεπτηώς, ὁ κατεπτηχὼς καὶ διὰ δειλίαν συνεσταλμένος, ὃς καὶ πεπτεὼς κατὰ συστολὴν τῆς παραληγούσης κεῖται μετ' ὀλίγα ἐν τῇ τῶν ἰχθύων παραβολῇ (v. 384.). Eust.

V. 363. νεόδαρτον] νεωστὶ ἐκδαρέν. Vulg.

V. 364. θοῶς] Harl. βοός, supra scr. θοῶς. Marg. Περισσὸν τὸ βοός. Eadem lectio fuit Eustathii, qui: Τὸ βοός περιττῶς κεῖται ἐν τῷ βοείην. ἤρκει γὰρ βοείην, ᾗ συνεπινοεῖται πάντως καὶ ὁ βοῦς. τοιοῦτον καὶ τό, βοῶν ἐπιβουκόλος ἀνήρ (γ, 422. υ, 235.), καὶ ποδάνιπτρα ποδῶν (τ, 343.), καὶ ἕτερα ὅμοια. v. ad γ, 422.

V. 368. περισθενέων] ἤτοι περισσῶς ἰσχύων. Vulg.

V. 372. ἐρύσσατο] Vind. 133. ἐρύσατο, et Eust. Ἀδίπλα-

ὄφρα γνῷς κατὰ θυμόν, ἀτὰρ εἴπῃσθα καὶ ἄλλῳ,
ὡς κακοεργίης εὐεργεσίη μέγ' ἀμείνων.
ἀλλ' ἐξελθόντες μεγάρων ἕζεσθε θύραζε
ἐκ φόνου εἰς αὐλήν, σύ τε καὶ πολύφημος ἀοιδός,
ὄφρ' ἂν ἐγὼ κατὰ δῶμα πονήσομαι, ὅττεό με χρή.
Ὣς φάτο· τὼ δ' ἔξω βήτην μεγάροιο κιόντε,
ἑζέσθην δ' ἄρα τώγε Διὸς μεγάλου ποτὶ βωμόν,
πάντοσε παπταίνοντε, φόνον ποτιδεγμένω αἰεί.
Πάπτηνεν δ' Ὀδυσεὺς καθ' ἑὸν δόμον, εἴ τις ἔτ' ἀνδρῶν
ζωὸς ὑποκλοπέοιτο, ἀλύσκων Κῆρα μέλαιναν.

στον τὸ ρ̄ ἐν τῷ ἐρύσατο, κοινότερον, ἢ μᾶλλον ἀπὸ τοῦ εἰρύσατο, ἐκβληθέντος τοῦ ἰῶτα.

V. 373. εἴπῃσθα (ed. ant. εἴποισθα)] εἴποις. Vulg.

V. 374. κακοεργίης] κακῆς πράξεως. Id. Εὐεργεσίαν δὲ τὴν ἀγαθοεργίαν ἐνταῦθα λέγει, ἀντικειμένην τῇ κακοεργίᾳ. δύναται δὲ νοηθῆναι ἡ λέξις καὶ ἐπὶ τοῦ παρὰ τοῖς ὕστερον λεγομένου εὐεργετεῖν. κάλλιον δὲ τὸ πρῶτον. Eust.

V. 375. ἕζεσθε] καθέζεσθε. Vulg.

V. 376. ἐκ φόνου] Δύναται φόνος καὶ τὸ χεθὲν (scr. χυθὲν) αἷμα λέγεσθαι, καὶ ὁ τόπος, ἔνθα οἱ φόνοι τῶν μνηστήρων. Eust.

πολύφημος] πολλοὺς εὐφημῶν, ἢ πολλοὺς φημίζων. Vulg. Πολύφημος ἀοιδὸς ὁ Φήμιος ἢ ὡς σοφὸς καὶ πολυΐστωρ καὶ οὕτω πολλὰς φήμας εἰδώς, ἢ ὡς πολλοὺς φημίζων, ἢ ὡς ὑπὸ πολλῶν τοῦτο πάσχων, ἢ καὶ ἄλλως ὡς μαντικὰς φήμας εἰδώς. — ὑπόκεινται γὰρ καὶ μαντικοὶ εἶναι οἱ ἀοιδοί. ἢ καὶ ἄλλως πολύφημος, ἐπεὶ θεὸς αὐτῷ ἐν φρεσὶν οἴμας παντοίας ἐνέφυσε. συμβάλλεται δέ τι ἐνταῦθα καὶ ἡ προδηλωθεῖσά που πολύφημος ἀγορά (β, 150.). Eust.

V. 377. ὅττεό με χρή] ἤγουν, οὗ ἐμοὶ χρεία, κατὰ ἀντίπτωσιν. ἢ καὶ ἄλλως, οὗπερ εἰς ἐμὲ χρεία, τουτέστιν, ἅ με χρή. Eust. v. α, 124. γ, 14. δ, 463. φ, 110. — ὅττεο] ὅπερ ἄν. Vulg.

V. 382. ὑποκλοπέοιτο] ὑποκλέπτοιτο. Vulg. ὑποκλέπτοι τὸ ζῆν ἢ κρύπτοιτο. Eust.

τοὺς δὲ ἴδεν μάλα πάντας ἐν αἵματι καὶ κονίῃσιν
πεπτεῶτας πολλούς· ὥςτ᾽ ἰχθύας, οὕςθ᾽ ἁλιῆες
κοῖλον ἐς αἰγιαλὸν πολιῆς ἔκτοσθε θαλάσσης
δικτύῳ ἐξέρυσαν πολυωπῷ· οἱ δέ τε πάντες,
κύμαθ᾽ ἁλὸς ποθέοντες, ἐπὶ ψαμάθοισι κέχυνται,

V. 383. *ἐν αἵματι καὶ κονίῃσιν*] Ἐκ τοῦ, ἐν αἵματι καὶ κονίῃσι, σημειοῦνται οἱ παλαιοί, ὡς οὐ κατέστρωτο λίθοις τὸ τοῦ ἀνδρῶνος ἔδαφος, εἴγε κονίαν εἶχε. διὸ καλῶς ἐν τοῖς πρὸ τούτων ὕδατι ῥαίνεται. Eust.

V. 384. *ὥςτ᾽ ἰχθύας*] Ὅρα ὅτι μεγαλεῖον πράγματος εἰ καὶ μὴ πολὺ εὑρὼν ὁ ποιητής, ἐπλεόνασε παραβολαῖς, πρὸ ὀλίγων μὲν χρησάμενος τῇ ἀπὸ βοῶν (v. 299.), ἔτι δὲ καὶ αἰγυπιῶν (v. 302.), ἐνταῦθα δὲ τῇ ἀπὸ ἰχθύων. προϊὼν δὲ λέοντι τὸν Ὀδυσσέα παραβαλεῖ (v. 402.). ἐρεῖ δὲ ἐφεξῆς καὶ ἀπὸ κιχλῶν καὶ πελειῶν παραβολὴν ἐν τῷ τῶν ἀμφιπόλων θανάτῳ (v. 468.). καὶ νῦν μὲν οὕτως. ἄλλως μέντοι τὸ τῆς Ὀδυσσείας βιβλίον σπανίζει παραβολῶν, ὧν ἡ Ἰλιὰς εἰς πλῆθος μεμέστωται διὰ τὸ τῶν ἐκεῖ πράξεων πολυμέγεθες, ἐναργείας δεομένων ἄλλης τε καὶ τῆς ἐκ παραβολῶν. Eust.

V. 385. *κοῖλον*] Κοῖλος αἰγιαλός, ἁπλῶς ὁ βαθύς. οὐ γὰρ ἂν ἦν αἰγιαλοῦ ὀφρύς, μὴ βάθους ὑποκειμένου τοῦ κατὰ τὸ ὕδωρ. Id.

V. 386. *δικτύῳ*] Σημειοῦνται οἱ παλαιοί, ἅπαξ ἐνταῦθα μνησθῆναι τὸν ποιητὴν ἰχθύων θήρας τῆς διὰ δικτύων. τὸ γὰρ ἐν Ἰλιάδι (ε, 487.), μήπως ὡς ἀψῖσι λίνου ἁλόντε πανάγρου, ἄδηλόν φασιν, εἴτε ἰχθύων εἴτε πεζῶν ζώων εἴτε καὶ πτηνῶν ἄγραν δηλοῖ. τὴν δέ γε δι᾽ ὁρμιᾶς καὶ ἀγκίστρου θήραν πολλάκις εἶπεν. Id.

πολυωπῷ] πολλὰς τρύπας ἔχοντι τῷ δικτύῳ. Vulg. Πολυωπὸν δίκτυον κατὰ τοὺς παλαιοὺς τὸ πολλὰς ἔχον ὀπάς, ἐκταθέντος τοῦ ο. βίαιον γάρ φασι, πολυωπὸν εἰπεῖν τὸ πολυόφθαλμον. καὶ τοῦτο μὲν ὀρθόν. εἰ δέ τις ἐνθυμηθείη, καὶ τεχνητῶν εἶναι ὀφθαλμούς, ὁποῖοι καὶ οἱ κατὰ τὰς τριήρεις, λέγονται γὰρ ὀφθαλμοὶ ῥητορικῶς ἐν ἐκείναις αἱ ὀπαί, ὧν αἱ κόπαι διείρονται, οὐκ ἂν ἀπαγορεύσοι πολυωπὸν εἰρῆσθαι δίκτυον, οὗ πολλοὶ τεχνικῶς οἱ ὀφθαλμοί. πολυοπὸν μέντοι ῥάκος, οὐ κατὰ τέχνην ἔχον ὀφθαλμούς, ἀλλὰ τετρημένον ἄλλως ἐκ πάθους εἰς ὀπάς, ἐθέλει τῷ ο μικρῷ παραλήγεσθαι. Eust.

τῶν μέν τ' Ἠέλιος φαέθων ἐξείλετο θυμόν·
ὣς τότ' ἄρα μνηστῆρες ἐπ' ἀλλήλοισι κέχυντο.
δὴ τότε Τηλέμαχον προσέφη πολύμητις Ὀδυσσεύς·
Τηλέμαχ', εἰ δ', ἄγε μοι κάλεσον τροφὸν Εὐρύκλειαν,
ὄφρα ἔπος εἴπωμι, τό μοι καταθύμιόν ἐστιν.
Ὣς φάτο· Τηλέμαχος δὲ φίλῳ ἐπεπείθετο πατρί·
κινήσας δὲ θύρην, προσέφη τροφὸν Εὐρύκλειαν·
Δεῦρο δὴ ὄρσο, γρηῦ παλαιγενές, ἥτε γυναικῶν
δμωάων σκοπός ἐσσι κατὰ μέγαρ' ἡμετεράων·
ἔρχεο· κικλήσκει σε πατὴρ ἐμός, ὄφρα τι εἴπῃ.
Ὣς ἄρ' ἐφώνησεν· τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
ὤϊξεν δὲ θύρας μεγάρων εὐναιεταόντων,
βῆ δ' ἴμεν· αὐτὰρ Τηλέμαχος πρόσθ' ἡγεμόνευεν.
εὗρεν ἔπειτ' Ὀδυσῆα μετὰ κταμένοισι νέκυσσιν,

V. 391. εἰ δ' ἄγε] Ὅτι καὶ ἐνταῦθα ἐν ἀρχῇ λόγου κεῖται ἀναντιῤῥήτως τό, εἰ δ' ἄγε, ἀντὶ τοῦ, εἶα ἄγε. Eust. v. α, 271. β, 178. τ, 37. δ, 832.

V. 392. καταθύμιον] Λέγει καταθύμιον τὸ κατὰ νοῦν νόημα. Eust.

V. 394. κινήσας] κόψας, κρούσας. Vulg. Ὅτι κινῆσαι θύραν φησὶ τὸ διασαλεῦσαι ἐπὶ κλήσει τινὸς τῶν ἔνδον. καὶ ἔστιν ἕτερον τοῦτο τοῦ κόψαι καὶ κροῦσαι. Eust.

V. 395. παλαιγενές] πρεσβυτάτη. Vulg.

V. 396. δμωάων σκοπός] Δμωάων σκοπὸν λέγει, ὅ ἐστιν ἐπιμελήτριαν, ἐπίτροπον. ἡ δὲ τοιαύτη καὶ ἐπίσκοπος λέγοιτ' ἄν, κατὰ τό, ἐπίσκοπος ἦσιν ὁδαίων (θ, 163.). Eust.

V. 398. τῇ δ' ἄπτερος ἔπλ. μῦθος] v. ad ρ, 57. Cod. Vind. 133. τῇ δ' ἂρ' ἄπλετος.

αἵματι καὶ λύθρῳ πεπαλαγμένον· ὥςτε λέοντα,
ὅς ῥά τε βεβρωκὼς βοὸς ἔρχεται ἀγραύλοιο·
πᾶν δ᾽ ἄρα οἱ στῆθός τε παρήϊά τ᾽ ἀμφοτέρωθεν
αἱματόεντα πέλει· δεινὸς δ᾽ εἰς ὦπα ἰδέσθαι·
ὣς Ὀδυσεὺς πεπάλακτο πόδας καὶ χεῖρας ὕπερθεν.
ἡ δ᾽ ὡς οὖν νέκυάς τε καὶ ἄσπετον εἴςιδεν αἷμα,
ἴθυσέν ῥ᾽ ὀλολύξαι, ἐπεὶ μέγα εἴςιδεν ἔργον·
ἀλλ᾽ Ὀδυσεὺς κατέρυκε καὶ ἔσχεθεν ἱεμένην περ·
καί μιν φωνήσας ἔπεα πτερόεντα προςηύδα·
Ἐν θυμῷ, γρηῦ, χαῖρε, καὶ ἴσχεο, μηδ᾽ ὀλόλυζε·
οὐχ ὁσίη, κταμένοισιν ἐπ᾽ ἀνδράσιν εὐχετάασθαι.

V. 402. λύθρῳ] Λύθρον καὶ νῦν ὁ ἐξ αἵματος μολυσμός, ὃν χρὴ ἀπολούσασθαι, παρὰ τὸ λούω, ἀφ᾽ οὗ λύω, ἐξ οὗ καὶ λῦμα τὸ κάθαρμα, καὶ λυμαίνω τὸ ἀποκαθαίρω, καὶ πτωχὸς δαιτῶν ἀπολυμαντήρ (ρ, 220.). γράφεται δὲ διὰ τοῦ θ τὸ λύθρον τοῦτο πρὸς διαστολὴν τοῦ λύτρου, ἐξ οὗ καὶ τὸ λυτροῦσθαι. Eust.

V. 403. βεβρωκὼς βοός] Τό, βεβρωκὼς βοός, ὅτι Ἀττικόν ἐστι, προδεδήλωται (v. ad v. 11.). Id.

V. 404. παρήϊα] Παρήϊα νῦν μὲν αἱ παρειαί. ἐν δὲ Ἰλιάδι (δ, 142.) κόσμος ἵππων παραγναθίδιος, οἷον, παρήϊον ἔμμεναι ἵππων. Id.

V. 408. ὀλολύξαι] εὔξασθαι. Vulg. χαρῆναι, εὔξασθαι. Ambr. Q. Νοητέον ὅτι τῆς γραὸς ἐν τῷ χαίρειν ὀλολύξαι προθεμένης, ἤγουν τρανεστέρᾳ φωνῇ εὔξεσθαι καὶ θεοὺς ἐπιβοήσεσθαι (scr. εὔξασθαι et ἐπιβοήσασθαι) διὰ τὴν χαράν, κωλύει Ὀδυσσεύς, παραινέσας ἐν θυμῷ χαίρειν αὐτήν, σιωπῶσαν δηλαδή. τὸ μέντοι ἐπὶ θρήνου τάττειν τὸ ὀλολύζειν, νεωτέρων ἐστί, γινόμενον παρὰ τὸ ὁλοὸν λύζειν. Eust.

V. 412. οὐχ ὁσίη] Οὐ δίκαιον. Vulg. Ἐν τῷ, οὐχ ὁσίη, λείπει τὸ δίκη ἢ τὸ εὐχή, ληφθὲν ἀπὸ κοινοῦ, ἵνα λέγῃ, ὅτι οὐχ ὁσίη εὐχὴ τὸ οὕτως εὔχεσθαι. Eust.

εὐχετάασθαι] Οὐ λέγει ἐπικαυχᾶσθαι τοῖς ἀποθανοῦσιν, αὐτὸς γοῦν ὁ Ὀδυσσεὺς τοῦτο φαίνεται ποιῶν ἐπὶ Σώκου (Il. λ,

τούσδε δὲ μοῖρ᾽ ἐδάμασσε θεῶν καὶ σχέτλια ἔργα·
οὔτινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
οὐ κακὸν, οὐδὲ μὲν ἐσθλὸν, ὅτις σφέας εἰσαφίκοιτο·
τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
ἀλλ᾽ ἄγε μοι. σὺ γυναῖκας ἐνὶ μεγάροις κατάλεξον,
αἵ τέ μ᾽ ἀτιμάζουσι, καὶ αἳ νηλιτεῖς εἰσίν.
Τὸν δ᾽ αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
τοιγὰρ ἐγώ τοι, τέκνον, ἀληθείην καταλέξω.
πεντήκοντά τοί εἰσιν ἐνὶ μεγάροισι γυναῖκες
δμωαί, τὰς μέν τ᾽ ἔργα διδάξαμεν ἐργάζεσθαι,
εἴριά τε ξαίνειν, καὶ δουλοσύνης ἀνέχεσθαι·
τάων δώδεκα πᾶσαι ἀναιδείης ἐπέβησαν,

450.), ἀλλ᾽ εὐχετάασθαι νῦν φησιν εὔχεσθαι. οὐ χρὴ εὔχεσθαι νεκρῶν παρακειμένων. οἱ γὰρ εὐχόμενοι παρουσίαν αἰτοῦσι τοῦ θεοῦ, νεκροῖς δὲ παρεῖναι τὸ θεῖον ἀδύνατον (Eust. ἡ γὰρ εὐχή φασι θεοῦ παρουσίαν αἰτεῖ, παρεῖναι δὲ νεκροῖς τὸ θεῖον οὐ θεμιτὸν ἐνόμιζον Ἕλληνες. ὅθεν καὶ Ἄρτεμις ἐκλείποντος Ἱππολύτου παρ᾽ Εὐριπίδῃ ὑποχωρεῖ). ἔνθεν καὶ Ἀρχίλοχός φησιν (Fragm. Liebel. n. 41.)· οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομέειν ἐπ᾽ ἀνδράσι. Ambr. Q.

V. 418. νηλιτεῖς] ἢ κατά τινας, νηλίτιδες. Eust. v. π. 317. τ, 498.

V. 423. δουλοσύνης ἀνέχεσθαι] Τό, δουλοσύνης ἀνέχεσθαι, τινὰ τῶν ἀντιγράφων ἔχουσι, δουλοσύνην ἀνέχεσθαι, ἴσως δὲ οὐ καλῶς. τὸ γάρ, πάντας ἀνθρώπους ἀνέχεσθαι, πρὸς ὃ δοκεῖ φέρεσθαι ἡ γραφή, οὐ τοιαύτης σημασίας ἐστί. Eust.

V. 424. ἀναιδείης ἐπέβησαν] ἐπὶ πολὺ τῆς ἀναιδείας ἐπῆλθον. Vulg. Τό, ἀναιδείης ἐπέβησαν, δηλοῖ μὲν περιφραστικῶς τό, ἠναιδεύσαντο, χρησιμεύει δὲ καὶ αὐτὸ ἐν Ἰλιάδι εἴς τό, κακῶν ἐπιβασκέμεν υἷας Ἀχαιῶν (β, 234.). ἴσως δὲ ἔχει τι ὁμοιότητος καὶ πρός τό, νηπιάας ὀχέειν (Od. α, 297.) ταυτὸν γάρ, ἀναιδείης ἐπιβῆναι, καί, ἐπὶ νηπιότητος ὀχεῖσθαι, εἰ μὴ ἄρα ἐκεῖνο μᾶλλον ἐνεργητικῶς νοεῖται, ἵνα λέγηται ὁ παῖς ὀχέειν τουτέστι φέρειν ἤτοι βαστάζειν νηπιάας, ἐν πτώσει αἰτιατικῇ, ὅ ἐστι

οὔτ᾽ ἐμὲ τίουσαι, οὔτ᾽ αὐτὴν Πηνελόπειαν.
Τηλέμαχος δὲ νέον μὲν ἀέξετο, οὐδέ ἑ μήτηρ
σημαίνειν εἴασκεν ἐπὶ δμωῇσι γυναιξίν.
ἀλλ᾽ ἄγ᾽, ἐγὼν ἀναβᾶσ᾽ ὑπερώϊα σιγαλόεντα,
εἴπω σῇ ἀλόχῳ, τῇ τις θεὸς ὕπνον ἐπῶρσεν.
Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
μήπω τήνδ᾽ ἐπέγειρε· σὺ δ᾽ ἐνθάδε εἰπὲ γυναιξὶν
ἐλθέμεν, αἵπερ πρόσθεν ἀεικέα μηχανόωντο.
Ὣς ἄρ᾽ ἔφη· γρηῢς δὲ δι᾽ ἐκ μεγάροιο βεβήκει,
ἀγγελέουσα γυναιξί, καὶ ὀτρυνέουσα νέεσθαι.
αὐτὰρ ὁ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην
εἰς ἓ καλεσσάμενος, ἔπεα πτερόεντα προςηύδα·
Ἄρχετε νῦν νέκυας φορέειν, καὶ ἄνωχθε γυναῖκας·
αὐτὰρ ἔπειτα θρόνους περικαλλέας ἠδὲ τραπέζας
ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι καθαίρειν.
αὐτὰρ ἐπὴν δὴ πάντα δόμον κατακοσμήσησθε,

νηπιότητας. λέγοι δ᾽ ἄν, ἀναιδείης ἐπιβῆναι, καὶ τὸ εἰς ἄκρον αὐτῆς ἐλθεῖν. καὶ ἄλλως δὲ μεταφορικῶς ἂν ἔχοι ὡς ἀπὸ ἐπιβάσεως τῆς εἰς ἅρμα. Ὅρα δὲ καὶ ὡς ἀφώρισεν ἐνταῦθα τὴν ἀναίδειαν εἰς τὸ μὴ τοὺς ἀναγκαίους τιμᾶν. Eust.

V. 431. *μήπω τήνδ᾽ ἐπέγειρε*] Ἐκώλυσεν γὰρ ἂν κολασθῆναι τὰς δούλας. Vulg.

V. 434. *νέεσθαι*] ἐλθεῖν, ἐπανήξειν. Id.

V. 436. *εἰς ἓ*] πρὸς ἑαυτόν. Id. Ἐν τούτοις κεῖται καὶ τὸ ἓ ἁπλῆ ἀντωνυμία ἀντὶ συνθέτου τῆς ἑαυτόν, εἰ καὶ ἐν Ἰλιάδι παρασημειοῦνταί τινες ἐν τῷ, ῥίμφα ἓ γοῦνα φέρει (ζ, 511. al.), μὴ δύνασθαι τὸ ἓ νοεῖσθαι ἀντὶ τοῦ, εἰς ἑαυτόν. Eust.

V. 437. *ἄρχετε*] ἄρξασθε. Vulg. Ἄρχετε, ὅπερ οἱ μεθ᾽ Ὅμηρον ἄρχεσθέ φασι. Eust.

δμωὰς ἐξαγαγόντες ἐϋσταθέος μεγάροιο,
μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς,
θεινέμεναι ξίφεσιν τανυήκεσιν, εἰςόκε πασέων
ψυχὰς ἐξαφέλησθε, καὶ ἐκλελάθοιντ' Ἀφροδίτης,
τὴν ἄρ' ὑπὸ μνηστῆρσιν ἔχον, μίσγοντό τε λάθρη.
Ὣς ἔφαθ'· αἱ δὲ γυναῖκες ἀολλέες ἦλθον ἅπασαι,
αἴν' ὀλοφυρόμεναι, θαλερὸν κατὰ δάκρυ χέουσαι.
πρῶτα μὲν οὖν νέκυας φόρεον κατατεθνηῶτας,
κὰδ δ' ἄρ' ὑπ' αἰθούσῃ τίθεσαν εὐερκέος αὐλῆς,
ἀλλήλῃσιν ἐρείδουσαι· σήμαινε δ' Ὀδυσσεύς,
αὐτὸς ἐπισπέρχων· ταὶ δ' ἐκφόρεον καὶ ἀνάγκῃ.
αὐτὰρ ἔπειτα θρόνους περικαλλέας ἠδὲ τραπέζας

V. 442. θόλου] κυκλοτεροῦς οἰκήματος, ἀπὸ τοῦ περιθεῖν, εἰς ὃ τὰ καθ' ἑκάστην ἡμέραν εἰς χρῆσιν πίπτοντα ἀπετίθεντο, οἷον κρατῆρας, καὶ ἐκπώματα, καὶ τὰ ὅμοια. Vulg. Ambr. Q. Θόλος φασὶν οἴκημα κυκλοτερές, εἰς ὃ τὰ καθ' ἑκάστην χρήσιμα τῶν σκευῶν ἐτίθεντο, οἷον πίνακες, κρατῆρες, ἐκπώματα. γίνεται δὲ ἀπὸ τοῦ θέειν ὅλον, οἱονεὶ τὸ περιθεόμενον. Eust.

V. 443. θεινέμεναι] τύπτειν. Vulg. θείνειν καὶ τύπτειν ξίφεσιν. Eust.

V. 449. ὑπ' αἰθούσῃ] τῇ ὑπαίθρῳ. Ambr. Q. Ὅρα ὡς ταυτόν, ὑπ' αἰθούσῃ εἰπεῖν, καί, θύραζε περὶ τὴν αὐλήν. ταύτης γὰρ ἡ αἴθουσα, ὡς δηλοῖ τό, ὑπ' αἰθούσῃ εὐερκέος αὐλῆς. Eust.

V. 450. ἐρείδουσαι] ἐπιτιθεῖσαι. Vulg. ἐπερείδουσαι ἀλλήλαις, ὅ ἐστιν ἐπιτιθεῖσαι τοὺς νεκρούς. Ambr. Q. Τὸ ἐρείδειν ἐν τῷ, ἀλλήλῃσιν ἐρείδουσαι, ἀντίβασιν δηλοῖ, τὴν καὶ ἀντέρεισιν, ἐκ μεταφορᾶς τῶν ἀντερειδόντων σωμάτων εἴτε ξύλων εἴτε καὶ ἑτέρων. δῆλον γὰρ ὅτι οἱ ἀντιβαστάζοντές τι καὶ ἀντερείδουσιν. Ἰστέον δὲ ὅτι δύναται εἶναι καί, ἐπ' ἀλλήλοισιν ἐρείδουσαι, ἵνα δηλοῖ στοιβὴν τῶν νεκρῶν ἡ λέξις. ἐρεῖ γοῦν μετ' ὀλίγα, κείατ' ἐπ' ἀλλήλοισιν (ψ, 47.). Eust.

V. 451. ἐπισπέρχων] Eust. in comment. ἐπιστείχων, unde Vind. 133. corr. ἐπιστείλων, ascripto: Γρ. ἐπισπέρχων.

ὕδατι καὶ σπόγγοισι πολυτρήτοισι κάθαιρον.
αὐτὰρ Τηλέμαχος καὶ βουκόλος ἠδὲ συβώτης
λίστροισιν δάπεδον πύκα ποιητοῖο δόμοιο
ξῦον· ταὶ δ᾽ ἐφόρεον δμωαί, τίθεσαν δὲ θύραζε.
αὐτὰρ ἐπειδὴ πᾶν μέγαρον διεκοσμήσαντο,
δμωὰς δ᾽ ἐξαγαγόντες ἐϋσταθέος μεγάροιο,
μεσσηγύς τε θόλου καὶ ἀμύμονος ἕρκεος αὐλῆς,
εἴλεον ἐν στείνει, ὅθεν οὔπως ἦεν ἀλύξαι.
τοῖσι δὲ Τηλέμαχος πεπνυμένος ἦρχ᾽ ἀγορεύειν·
Μὴ μὲν δὴ καθαρῷ θανάτῳ ἀπὸ θυμὸν ἑλοίμην
τάων, αἳ δὴ ἐμῇ κεφαλῇ κατ᾽ ὀνείδεα χεῦαν,
μητέρι θ᾽ ἡμετέρῃ, παρά τε μνηστῆρσιν ἴαυον.
Ὣς ἄρ᾽ ἔφη· καὶ πεῖσμα νεὸς κυανοπρώροιο
κίονος ἐξάψας μεγάλης, περίβαλλε θόλοιο,
ὑψόσ᾽ ἐπεντανύσας, μήτις ποσὶν οὖδας ἵκοιτο.

V. 455. λίστροισι] τοῖς ξυστῆρσιν, ἀπὸ τοῦ λειαίνειν (ed. ant. λιαίνειν). Vulg. Λιστροῖσι. ξυστῆρσι. καὶ λιστεύοντα (scr. λιστρεύοντα), ἀντὶ τοῦ, περιξύοντα (ω, 227.). Apollon.

V. 460. εἴλεον] ἀπέκλειον. στείνει] στενῷ τόπῳ. Vulg. Εἴλεον ἐν στένει, τουτέστιν, συνέκλειον αὐτὰς ἐν στενοχωρίᾳ τόπου. Eust.

V. 462. καθαρῷ θανάτῳ] Καθαρὸς μὲν ὁ διὰ ξίφους ἐδόκει θάνατος, μιαρὸς δὲ ὁ ἀγχονιμαῖος. — Ἰστέον δὲ ὡς θάνατον καθαρὸν οἱ μὲν πλείους, ὡς ἐῤῥέθη, νοοῦσι, τινὲς δὲ καὶ τὸν ἁπλοῦν οὕτω λεχθῆναί φασι. Eust.

V. 463. κατ᾽ ὀνείδεα χεῦαν] τουτέστι, κατέχεάν μου ὕβρεις. Id.

V. 466. κίονος — θόλοιο] τουτέστι, στύλου ἐξαρτήσας τινὸς ἢ κιονοειδοῦς ξύλου, πέριξ ἔθετο τῆς θόλου. Id. Ἴσως ἔκ τινος ἐξοχῆς ἢ ξύλου ἐκδήσας τῆς ἀντικρὺ τῆς καθόδου στοᾶς ὑφ᾽ ἑνὸς κίονος. Ambr. Q. ad v. 471., quae nota ad hunc v. pertinet.

ὡς δ' ὅτ' ἂν ἢ κίχλαι τανυσίπτεροι ἠὲ πέλειαι
ἕρκει ἐνιπλήξωσι, τό,θ' ἑστήκει ἐνὶ θάμνῳ,
αὖλιν ἐσιέμεναι, στυγερὸς δ' ὑπεδέξατο κοῖτος·
ὣς αἵγ' ἑξείης κεφαλὰς ἔχον, ἀμφὶ δὲ πάσαις
δειρῇσι βρόχοι ἦσαν, ὅπως οἴκτιστα θάνοιεν·
ἤσπαιρον δὲ πόδεσσι μίνυνθά περ, οὔτι μάλα δήν.
Ἐκ δὲ Μελάνθιον ἦγον ἀνὰ πρόθυρόν τε καὶ αὐλήν·
τοῦ δ' ἀπὸ μὲν ῥῖνάς τε καὶ οὔατα νηλέϊ χαλκῷ
τάμνον· μήδεά τ' ἐξέρυσαν, κυσὶν ὠμὰ δάσασθαι·
χεῖράς τ' ἠδὲ πόδας κόπτον, κεκοτηότι θυμῷ.
Οἱ μὲν ἔπειτ' ἀπονιψάμενοι χεῖράς τε πόδας τε,
εἰς Ὀδυσῆα δόμονδε κίον· τετέλεστο δὲ ἔργον.
αὐτὰρ ὅγε προσέειπε φίλην τροφὸν Εὐρύκλειαν·
Οἶσε θέειον, γρηῦ, κακῶν ἄκος, οἶσε δέ μοι πῦρ,

V. 469. ἕρκει] Νῦν, τῷ δικτύῳ. Vulg. Ἕρκει ἐνιπλήξωσι, τουτέστι, μηχανήματι ἀγρευτικῷ ἐγκρούσωσι. Eust. Ἕρκος δικτυῶδές τι κυρίως μηχάνημα. νῦν δὲ φαίνεται σχοῖνος εἶναι μακρὰ τὸ ἕρκος, ἧς βρόχοι ἀπῃώρηνται πρὸς ἰσότητα σύμμετρον. δῆλον δὲ ὡς ὁμώνυμος λέξις καὶ τὸ ἕρκος. Id.

θάμνῳ] δασεῖ φυτῷ. Vulg.

V. 470. αὖλιν] κοίτην. Vulg. Αὖλις, ἀπὸ τῆς αὐλῆς Αἰολικῶς, ἡ κοίτη καὶ ἡ κατασκήνωσις, ὅθεν καὶ ἡ ἔπαυλις. Eust.

V. 481. θέειον] θεῖον. ἄκος] ἴαμα. Vulg. Ἐδόκουν οἱ Ἕλληνες, οὕτω τὰ τοιαῦτα μύση καθαίρεσθαι διοπομπούμενα. καὶ ἕτεροι μὲν δηλοῦσι τρόπους καθαρσίων ἑτέρους. ἃ καὶ ἐξάγοντες τῶν οἴκων μετὰ τὰς ἐθίμους ἐπαοιδὰς προσέῤῥιπτον ἀμφόδοις, ἔμπαλιν τὰ πρόσωπα στρέφοντες καὶ ἐπανιόντες ἀμεταστρεπτί. ὁ δέ γε ποιητικὸς Ὀδυσσεὺς οὐχ οὕτω ποιεῖ, ἀλλ' ἑτέρως ἁπλούστερον. Eust. Θέειον δὲ θυμιάματος εἶδος καθαίρειν δοκοῦντος τοὺς μιασμούς, διὸ καὶ διαστείλας κακῶν ἄκος αὐτό φησιν ὁ

ὄφρα θεειώσω μέγαρον· σὺ δὲ Πηνελόπειαν
ἐλθεῖν ἐνθάδ᾽ ἄνωχθι σὺν ἀμφιπόλοισι γυναιξίν·
πάσας δ᾽ ὄτρυνον δμωὰς κατὰ δῶμα νέεσθαι.
Τὸν δ᾽ αὖτε προςέειπε φίλη τροφὸς Εὐρύκλεια·
ναὶ δὴ ταῦτά γε, τέκνον ἐμόν, κατὰ μοῖραν ἔειπες·
ἀλλ᾽ ἄγε τοι χλαῖνάν τε χιτῶνά τε εἵματ᾽ ἐνείκω·
μηδ᾽ οὕτω ῥάκεσιν πεπυκασμένος εὐρέας ὤμους
ἕσταθ᾽ ἐνὶ μεγάροισι· νεμεσσητὸν δέ κεν εἴη.
Τὴν δ᾽ ἀπαμειβόμενος προςέφη πολύμητις Ὀδυσσεύς·
πῦρ νῦν μοι πρώτιστον ἐνὶ μεγάροισι γενέσθω.
Ὣς ἔφαθ᾽· οὐδ᾽ ἀπίθησε φίλη τροφὸς Εὐρύκλεια,
ἤνεικεν δ᾽ ἄρα πῦρ καὶ θήϊον· αὐτὰρ Ὀδυσσεὺς
εὖ διεθείωσεν μέγαρον καὶ δῶμα καὶ αὐλήν.
Γρηῢς δ᾽ αὖτ᾽ ἀπέβη διὰ δώματα κάλ᾽ Ὀδυσῆος,
ἀγγελέουσα γυναιξί, καὶ ὀτρυνέουσα νέεσθαι·
αἱ δ᾽ ἴσαν ἐκ μεγάροιο, δάος μετὰ χερσὶν ἔχουσαι.

ποιητής. οὔτε δέ τινες ἐνταῦθα ἐπῳδαὶ συνήθεις τοῖς παλαιοῖς, οὔτε στενωπός, ἐν ᾧ οἱ ἄνθρακες ἀπαγόμενοι αὐτῷ ἀγγείῳ ἐῤῥίπτοντο ὀπισθοφανῶς. Ἰστέον δὲ ὅτι οὐ μόνον διὰ θείου ἐγίνοντο καθαρμοί, ἀλλὰ καὶ φυτά τινα εἰς τοῦτο χρήσιμα ἦν. Id.

V. 482. θειώσω] καθαρῶ (ed. ant. καθάρω). Vulg.

V. 493. θήϊον] θεῖον ἄπυρον. Id.

V. 494. διεθείωσεν] περιήγνισεν. Vulg.

μέγαρον — αὐλήν] Ἐν τῷ, μέγαρον καὶ δῶμα καὶ αὐλήν, διαφορά τις φαίνεται μεγάρου καὶ δώματος. καὶ ἴσως μέγαρον τὴν γυναικωνῖτίν φησι, καὶ κεῖνται χρήσεις εἰς τοῦτο πρὸ

αἱ μὲν ἄρ᾽ ἀμφεχέοντο καὶ ἠσπάζοντ᾽ Ὀδυσῆα,
καὶ κύνεον ἀγαπαζόμεναι κεφαλήν τε καὶ ὤμους,
χεῖράς τ᾽ αἰνύμεναι· τὸν δὲ γλυκὺς ἵμερος ᾗρει
κλαυθμοῦ καὶ στοναχῆς· γίγνωσκε δ᾽ ἄρα φρεσὶ πάσας.

ὀλίγων τινές. φαίνεται δὲ αὐτὸ καί, ἔνθα ἡ Πηνελόπη ἐγκελεύεται τῇ Εὐρυκλείᾳ μεγαρόνδε ἔρχεσθαι, καὶ Τηλέμαχος δὲ αὐτὴν ἀπὸ μεγάρου καλεῖ. Eust.

V. 500. αἰνύμεναι] (ed. ant. αἰνόμεναι) ἐπιλαμβανόμεναι. Vulg. λαμβάνουσαι. Ambr. Q.

ΤΗΣ ΤΟΥ ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ ΡΑΨΩΙΔΙΑ Η ΓΡΑΜΜΑ Ψ.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ψ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἀναγνωρισμὸς Ὀδυσσέως πρὸς τὴν γυναῖκα, καὶ τῶν τῆς πλάνης διηγημάτων ἀνακεφαλαίωσις, καὶ Ὀδυσσέως καὶ Τηλεμάχου μετὰ τῶν οἰκείων ἔξοδος. Eust. Vulg.

Ἄ λ λ ω ς.

Ἀγγελία Εὐρυκλείας Πηνελόπῃ περὶ τοῦ Ὀδυσσέως καὶ τῆς τῶν μνηστήρων ἀναιρέσεως, ἀναγνωρισμός τε αὐτῆς πρὸς Ὀδυσσέα. Pal. Ambr. Q.

Ἐ π ι γ ρ α φ α ί.

Ὀδυσσέως ὑπὸ Πηνελόπης ἀναγνωρισμός.

Ἄ λ λ ω ς.

Ψῖ δ', ἀναγνωρίζει πόσιν ὅν ποτε Πηνελόπεια.

Γρηῢς δ' εἰς ὑπερῷ' ἀνεβήσατο καγχαλόωσα,
δεσποίνῃ ἐρέουσα φίλον πόσιν ἔνδον ἐόντα·

V. 1. *ἀ ν ε β ή σ α τ ο*] Vind. 133. *ἀνεβήσετο.*

κ α γ χ α λ ό ω σ α] *ἤτοι γήθουσα.* Ambr. Q. *Κ α γ χ α λ ό ω σ α. χαίρουσα, διὰ τοῦ* (scr. *τὸ*) *ἐν χαλάσματι εἶναι τὴν ψυχήν, τοῦτ' ἔστιν, ἐν ἀνέσει.* Apollon. cf. ad v. 13.

γούνατα δ' ἐῤῥώσαντο, πόδες δ' ὑπερικταίνοντο·
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
Ἔγρεο, Πηνελόπεια, φίλον τέκος, ὄφρα ἴδηαι
ὀφθαλμοῖσι τεοῖσι, τάτ' ἔλδεαι ἤματα πάντα·
ἦλθ' Ὀδυσεύς, καὶ οἶκον ἱκάνεται, ὀψέ περ ἐλθών·
μνηστῆρας δ' ἔκτεινεν ἀγήνορας, οἵτε οἱ οἶκον
κήδεσκον, καὶ κτήματ' ἔδον, βιόωντό τε παῖδα.
Τὴν δ' αὖτε προςέειπε περίφρων Πηνελόπεια·
μαῖα φίλη, μάργην σε θεοὶ θέσαν· οἵτε δύνανται

V. 3. *ἐῤῥώσαντο*] τουτέστιν, ἐῤῥωμένως ἐκινήθησαν. Eust. ἐῤῥωμένως ἐβάδιζον. ὑπερικταίνοντο δέ, ὑπερικνοῦντο καὶ ὑπερεπήδων, ὑπὲρ τὸ δέον ἐβάδιζον. Ambr. Q.

ὑπερικταίνοντο] Τὸ ὑπερικταίνοντο ἀντὶ τοῦ, ἀνεπάλλοντο, κατὰ Ἀρίσταρχον, ἢ ὑπερεξετείνοντο, ἄγαν ἱκνοῦντο, παρὰ τὸ ἴκταρ, ὅ ἐστιν ἐγγύς. ὡς ἡ παροιμία, οὐδ' ἴκταρ βάλλει, ἀντὶ τοῦ, οὐδ' ἐγγὺς τοῦ σκοποῦ γίνεται. Eust. *Ὑπερικταίνοντο.* τῶν ἅπαξ εἰρημένων, ἐν τῇ ψ̄ τῆς Ὀδυσσείας. ὁ γὰρ Ἀρίσταρχος φησί, ἄγαν ἐπάλλοντο, προθυμουμένης αὐτῆς βαδίζειν μὲν ταχέως, μὴ δυναμένης δέ, ἀλλὰ κατὰ βραχύ, διὰ τὸ γῆρας. φαίνεται τοίνυν τὸ πλῆρες κατὰ Ἀρίσταρχον, ἐρικταίνοντο. καὶ δῆλα τὰ τῆς ἀναγνώσεως. ἔνιοι δὲ ἑτοιμότερον, ὑπερεσχίζοντο κατὰ τὴν πορείαν. οἱ γὰρ σπουδαστικῶς ἔχοντες κατὰ διάβασιν ὁρῶνται ὡς περισχισμόν τινα ποιούμενοι τῶν ποδῶν ἕνα παρ' ἕνα. κ. τ. λ. Apollon. *Κράτης*, τὸ ἄγαν ἐφάλλοντο, ὑπερικταίνοντο. *Λυσανίας* ἐπὶ τοῦ τρέμειν φησὶ τετάχθαι. ἢ δασύνεται, ὥςτε εἶναι ὑπερικνοῦντο, ἢ ψιλοῦται. οἱ δὲ πόδες διϊκνοῦντο διὰ τὴν χαρὰν ὑπὲρ τὸ μέτρον τῆς δυνάμεως. Etymol. M.

V. 7. *ἱκάνεται*] παραγέγονεν. Vulg.

V. 9. *κήδεσκον*] ἐκάκουν. Id. ἔβλαπτον. Eust.

V. 11. *μάργην*] μαινομένην, ἀναίσθητον, μεμηνυῖαν, ἔκφρονα. Vulg. *Μάργη*, ἡ μαινομένη, καὶ μάργος ὁ τοιοῦτος. ὅθεν καὶ μαργαίνειν ῥῆμα, καὶ λέμαργος, καὶ γαστρίμαργος. Eust. cf. σ, 2.

ἄφρονα ποιῆσαι καὶ ἐπίφρονά περ μάλ᾽ ἐόντα,
καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησαν·
οἵ σέ περ ἔβλαψαν· πρὶν δὲ φρένας αἰσίμη ἦσθα.
τίπτε με λωβεύεις, πολυπενθέα θυμὸν ἔχουσαν,

V. 13. χαλιφρονέοντα] κεχαλασμένας ἔχοντα τὰς φρένας, ἠλίθιον, ματαιόφρονα. Vulg. κεχαλασμένας καὶ παρειμένας ἔχοντα τὰς φρένας. Ambr. Q. Χαλίφρων καὶ χαλιφρονῶν, ὁ τὰς φρένας παρῃωρημένος. παρὰ τὸ χαλῶ, ἐξ οὗ καὶ τὸ καγχαλόω (v. 1.), καὶ χάλιξ οἶνος, ὁ χαλῶν καὶ ἀνιεὶς ἡμᾶς, καὶ ἀκροχάλιξ οἴνῳ, ὁ μεθύων. καὶ Ἐπίχαρμος δέ φασι χαλικάζειν λέγει τὸ περὶ συνουσίαν ὑφ᾽ ἡδονῆς ἀνίεσθαι καὶ ὑποστένειν. Eust.

σαοφροσύνης] Σαοφροσύνη, τουτέστι σωφροσύνη, παρὰ μὲν τοῖς ὕστερον ἀρετὴ περὶ ἡδονὰς καὶ λύπας. Ὅμηρος δὲ σώαν φρόνησιν οἶδεν αὐτήν. διὸ καὶ ἐναντία τῇ χαλιφροσύνῃ ἐστίν. ὥστε καὶ ὁ σαόφρων ἐναντίος τῷ χαλίφρονι, καθὰ καὶ ὁ περίφρων, ὡς τό, ἀλλὰ σαόφρων ἐστί (δ, 158.), νεμεσσᾶται δ᾽ ἐνὶ θυμῷ κ. ἑ. κεῖται δὲ καὶ μετ᾽ ὀλίγα ἡ τοιαύτη σωφροσύνη ἐν τῷ, ἀλλὰ σαοφροσύνῃσι νοήματα πατρὸς ἔκευθεν (v. 30.). Τὸ δέ, σαοφροσύνης ἐπέβησαν, ὅμοιον τῷ, ἀναιδείης ἐπέβησαν, ὃ πρὸ ὀλίγου εἴρηται (χ, 424.), καὶ τῷ, ὄφρα ἐϋφροσύνης ἐπιβῆτον, ὃ μετ᾽ ὀλίγα κεῖται (v. 52.). Eust.

V. 14. οἵ σε — ἦσθα] Τὸ δέ, παρέβλεψε (corrupte ex: οἵ σέ περ ἔβλαψαν), κατὰ φρένας νοεῖται νῦν, ὅθεν ὁ βλαψίφρων σύγκειται. διὸ ἐπάγει, πρὶν δὲ φρένας αἰσίμη ἦσθα, κατὰ τό, γῆρας δ᾽ ἐναίσιμον ἄνδρα τίθησιν. ἔστι δὲ αἰσίμη ἡ τηροῦσα τὸ αἴσιον ἤτοι καθῆκον καὶ δίκαιον, καὶ γίνεται ἐκ τοῦ αἴσιμος, ὁμοίως τῷ ἔρημος ἐρήμη, χρήσιμος χρησίμη, καὶ τοῖς τοιούτοις. Eust. αἰσίμη] καθήκουσα (ed. ant. καθίκουσα). Vulg. φρένας αἰσίμη ἦσθα] Ἀντὶ τοῦ, καθήκοντα φρονοῦσα, παρὰ τὸ αἶσα. Ambr. Q. cf. β, 231. ε, 9.

V. 15. λωβεύεις] χλευάζεις, εἰς λώβην καὶ ὕβριν ἄγεις. Vulg. Τοῦ λωβεύειν πρωτότυπον τὸ λωβῶ, ἐξ οὗ καὶ ὁ λωβητήρ. λαμβάνεται δὲ ἡ λέξις ἐπί τε χλεύης καὶ ὕβρεως ὡς τὰ πολλά, καὶ ἐπὶ τῆς ἁπλῶς δὲ βλάβης, ὡς καὶ ἐν τῷ, οἷς ἐλωβᾶθ᾽ οἱ ξένοι. παράγεται δὲ παρὰ τὸ ἐπὶ λαοῦ συμβαίνειν, ἵνα ᾖ λαόβη, καὶ ἐν συναιρέσει λώβη. καιρία δὲ ἡ λέξις καὶ δυςμετάληπτος. Eust.

πολυπενθέα] πολλῶν πενθῶν καὶ λυπῶν πεπληρωμένην. Vulg.

ταῦτα παρὲξ ἐρέουσα, καὶ ἐξ ὕπνου μ' ἀνεγείρεις
ἡδέος, ὅς μ' ἐπέδησε φίλα βλέφαρ' ἀμφικαλύψας;
οὐ γάρ πω τοιόνδε κατέδραθον, ἐξ οὗ Ὀδυσσεὺς
ᾤχετ', ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
ἀλλ' ἄγε νῦν κατάβηθι, καὶ ἂψ ἔρχευ μέγαρόνδε.
εἰ γάρ τίς μ' ἄλλη γε γυναικῶν, αἵ μοι ἔασιν,
ταῦτ' ἐλθοῦσ' ἤγγειλε, καὶ ἐξ ὕπνου ἀνέγειρεν,
τῷ κε τάχα στυγερῶς μιν ἐγὼν ἀπέπεμψα νέεσθαι
αὖτις ἔσω μέγαρον· σὲ δὲ τοῦτό γε γῆρας ὀνήσει.
Τὴν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
οὔτι σε λωβεύω, τέκνον φίλον· ἀλλ' ἔτυμόν τοι
ἦλθ' Ὀδυσεύς, καὶ οἶκον ἱκάνεται, ὡς ἀγορεύω,

V. 16. παρὲξ ἐρέουσα] παρὰ τὸ δέον λέγουσα. Id. Τό, παρὲξ ἐρέουσα, ἀντὶ τοῦ, ἀγγέλλουσα ἔξω μὲν τοῦ ἀληθοῦς, ἐγγὺς δὲ τοῦ ἐφετοῦ, ἵνα καὶ ἐνταῦθα τὸ παρέξ δηλοῖ τό τε ἐγγύς, τό τε ἐκτός. Ὅτι δὲ τὸ ἐρέουσα ἀντὶ τοῦ ἀγγέλλουσα κεῖται, δηλοῖ τό, εἰ γάρ τις ἄλλη ταῦτ' ἐλθοῦσα ἤγγειλεν (v. 21.). ὅτι δὲ τὸ εἴρειν καὶ ἀντὶ τοῦ ἀγγέλλειν λέγεται, πολλαχόθεν δῆλον. ἐξ οὗ καὶ Ἶρις ἡ τῶν θεῶν ἄγγελος, καὶ Ἶρος ὃς ἀγγέλλεσκε κιὼν ἔνθα ἐστέλλετο (σ, 7.). Eust.

V. 19. Κακοΐλιον οὐκ ὀνομ.] v. ad τ, 260.

V. 23. στυγερῶς — ἀπέπεμψα] Τό, στυγερῶς ἀπέπεμψα, ἀντὶ τοῦ, φρικτῶς, κρυερῶς, παρὰ τὴν πολλαχοῦ μυθευομένην Στύγα, ψυχρὰν ἐν Ἅιδου πηγήν. ἀφ' ἧς τὸ στυγέειν, ὡς τό, στυγέει δὲ καὶ ἄλλος (scr. στυγέῃ. Il. α, 186.). οὗ ὁ μέλλων, στυγήσω. ἐξ ὧν τοῦ στυγέω μὲν τὸ στυγερόν, τοῦ στυγήσω δὲ τὸ στυγητόν. Eust. ἀπέπεμψα] ἀπεδίωξα. Vulg.

V. 24. ἔσω μέγαρον] τουτέστιν, ἐς τὸ μέγαρον, ἢ ἔσω μεγάρων. Eust.

σὲ δὲ τοῦτό γε γῆρας ὀνήσει] Τὸ μὴ μεθ' ὕβρεως ἀποπεμφθῆναι. ἢ οἷον, εἰ καὶ τὰ ἄλλα σοι βαρύ ἐστι, τοῦτό γε ὀνήσει. Vulg. τουτέστιν, ὅσον εἰς τὸ μὴ στυγερῶς ἀποπεμφθῆναι, ὀνήσειε τὸ γῆρας, εἰ καὶ τὰ ἄλλα μεμπτέα ἔσῃ. Eust.

V. 26. λωβεύω] ὑβρίζω. ἔτυμον] ἀληθές. Vulg.

ὁ ξεῖνος, τὸν πάντες ἀτίμων ἐν μεγάροισιν.
Τηλέμαχος δ' ἄρα μιν πάλαι ᾔδεεν ἔνδον ἐόντα·
ἀλλὰ σαοφροσύνῃσι νοήματα πατρὸς ἔκευθεν,
ὄφρ' ἀνδρῶν τίσαιτο βίην ὑπερηνορεόντων.
  Ὣς ἔφαθ'· ἡ δ' ἐχάρη, καὶ ἀπὸ λέκτροιο θοροῦσα
γρηῒ περιπλέχθη, βλεφάρων δ' ἀπὸ δάκρυον ἧκεν·
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
  Εἰ δ', ἄγε δή μοι, μαῖα φίλη, νημερτὲς ἔνισπε.
εἰ ἐτεὸν δὴ οἶκον ἱκάνεται, ὡς ἀγορεύεις·
ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφῆκεν,
μοῦνος ἐών, οἱ δ' αἰὲν ἀολλέες ἔνδον ἔμιμνον.
  Τὴν δ' αὖτε προσέειπε φίλη τροφὸς Εὐρύκλεια·
οὐκ ἴδον, οὐ πυθόμην, ἀλλὰ στόνον οἶον ἄκουον
κτεινομένων· ἡμεῖς δὲ μυχῷ θαλάμων εὐπήκτων
ἥμεθ' ἀτυζόμεναι, σανίδες δ' ἔχον εὖ ἀραρυῖαι·

V. 28. ὁ ξεῖνος] Στικτέον μετὰ τοῦτο. ἠθικῶς δὲ ὁ ξένος ἐστὶν ὁ Ὀδυσσεύς. Id. — ἀτίμων] Τὸ ἀτίμων, ὡς τὸ ἐβόων, ἐξ οὗ καὶ ὁ ἐν Ἰλιάδι (ι, 648. π, 59.) ἀτίμητος. Eust.

V. 30. σαοφροσύνῃσι] v. supra ad v. 13.

V. 31. ὑπερηνορεόντων] ὑπερηφανευόντων. Ambr. Q. v. β, 266. δ, 766.

V. 40. οὐκ ἴδον, οὐ πυθ.] Οὔτε ποίῳ τρόπῳ ἀπώλοντο εἶδον, οὔτε παρ' ἄλλου ἤκουσα. Ambr. Q.

V. 41. ἡμεῖς δὲ μυχῷ] Ἡμᾶς δὲ αἱ θύραι εἴσω κατεῖχον. σανὶς δὲ εἴρηται οἱονεὶ τανίς, παρὰ τὸ τετάσθαι. Id.

εὐπήκτων] Εὔπηκτοι θάλαμοι, οἱ εὐπαγεῖς καὶ στερεοὶ κατὰ τό, εὐσταθέος μεγάροιο (υ, 258. χ, 458.), ἢ τεχνικῶς ἐσκευασμένοι, ἢ εὔκλειστοι. διὸ ἐπήγαγε, σανίδες δ' ἔχον εὖ ἀραρυῖαι. Eust.

V. 42. ἀτυζόμεναι] ἐκπληττόμεναι, ταρασσόμεναι. ἀτύω, ὁ μέλλων ἀτύσω, καὶ κατὰ παραγωγὴν ἀτύζω, Αἰολικόν. Vulg.

πρίν γ' ὅτε δή με σὸς υἱὸς ἀπὸ μεγάροιο κάλεσσεν
Τηλέμαχος· τὸν γάρ ῥα πατὴρ προέηκε καλέσσαι.
εὗρον ἔπειτ' Ὀδυσῆα μετὰ κταμένοισι νέκυσσιν
ἑσταόθ'· οἱ δέ μιν ἀμφί, κραταίπεδον οὖδας ἔχοντες,
κείατ' ἐπ' ἀλλήλοισιν· ἰδοῦσά κε θυμὸν ἰάνθης.
[αἵματι καὶ λύθρῳ πεπαλαγμένον, ὥςτε λέοντα.]
νῦν δ' οἱ μὲν δὴ πάντες ἐπ' αὐλείῃσι θύρῃσιν
ἀθρόοι· αὐτὰρ ὁ δῶμα θεειοῦται περικαλλές,
πῦρ μέγα κειάμενος· σὲ δέ με προέηκε καλέσσαι.
ἀλλ' ἕπευ, ὄφρα σφῶϊν ἐϋφροσύνης ἐπιβῆτον

ἔχον] Ἀντὶ τοῦ, ἠσφαλισμέναι ἦσαν. Id.

V. 46. κραταίπεδον] τὸ ἔδαφος. Id. *Κραταίπεδον τὸ στερεὸν πέδον, ὡς λιθόστρωτον, ἢ μᾶλλον, ὡς πεπιλημένον καὶ νεναγμένον. ἤδη γάρ που παρεσημειώθη, μὴ εἶναι λιθόστρωτον. ὡς δοκεῖν παθεῖν τὴν ἐκ πιλήσεως στεῤῥότητα διὰ τὸ ῥαίνεσθαι, κατὰ τό, ῥάνατε δ' ὕδωρ.* Eust. κραταίπεδον οὖδας] λιθόστρωτον ἔδαφος, ἢ ψηφολόγητον, τὸ ἀντίτυπον, τὸ σκληρόν. Ambr. Q.

V. 47. θυμὸν ἰάνθης] τουτέστιν, εὐφράνθης ἂν κατὰ ψυχήν. Eust.

V. 49. αὐλείῃσι θύρῃσι] *Αὐλείας θύρας λέγει τὰς περὶ τὴν αἴθουσαν, ἤγουν τὰς ἔξω τοῦ προδόμου πρὸς αὐτῇ τῇ αὐλῇ, ὅθεν καὶ αὔλειαι πρὸς διαστολὴν τῶν ἐνδοτέρω θυρῶν.* Eust.

V. 50. θεειοῦται] περιαγνίζει, καθαίρει. Vulg. v. χ, 481. sequ.

V. 51. κειάμενος] *Τὸ κειάμενος διὰ διφθόγγου ἔχει τὴν ἄρχουσαν, ὡς ἀπὸ τοῦ κέω, οὐ τοῦ κοινῶς γραφομένου διὰ διφθόγγου, ἐξ οὗ τὸ καῦσαι καὶ τὸ κῆαι καὶ ὅσα τοιαῦτα, ἀλλ' ἐκ τοῦ ἑτέρου τοῦ διὰ τοῦ ε̄ ψιλοῦ.* Eust.

V. 52. ἐϋφροσύνης ἐπιβῆτον] θυμηδίας ἐπιβήσετε, εὐφρανθῆναι ποιήσετε. Vulg. *τουτέστιν, ἵνα ἄμφω κατὰ τὸ ἦτορ ὑμῶν εὐφροσύνης ἐπιβαίητε, ὃ περιφραστικῶς δηλοῖ τό, ἵνα χαρείητε. — Τό, εὐφροσύνης ἐπιβῆτον, ὅμοιον μὲν πρὸς τό, σαοφροσύνης ἐπέβησαν (v. 12.), ἐγγὺς δέ ἐστι τοῦ, εὐνῆς ἐπιβῆτον,*

ἀμφοτέρω φίλον ἦτορ, ἐπεὶ κακὰ πολλὰ πέποσθε.
νῦν δ' ἤδη τόδε μακρὸν ἐέλδωρ ἐκτετέλεσται·
ἦλθε μὲν αὐτὸς ζωὸς ἐφέστιος, εὗρε δὲ καὶ σέ,
καὶ παῖδ' ἐν μεγάροισι· κακῶς δ' οἵπερ μιν ἔρεζον
μνηστῆρες, τοὺς πάντας ἐτίσατο ᾧ ἐνὶ οἴκῳ.
Τὴν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
μαῖα φίλη, μήπω μέγ' ἐπεύχεο καγχαλόωσα.
οἶσθα γάρ, ὥς κ' ἀσπαστὸς ἐνὶ μεγάροισι φανείη
πᾶσι, μάλιστα δ' ἐμοί τε καὶ υἱέϊ, τὸν τεκόμεσθα·
ἀλλ' οὐκ ἔσθ' ὅδε μῦθος ἐτήτυμος, ὡς ἀγορεύεις·
ἀλλά τις ἀθανάτων κτεῖνε μνηστῆρας ἀγαυούς,
ὕβριν ἀγασσάμενος θυμαλγέα καὶ κακὰ ἔργα.
οὔτινα γὰρ τίεσκον ἐπιχθονίων ἀνθρώπων,
οὐ κακὸν, οὐδὲ μὲν ἐσθλόν, ὅτις σφέας εἰσαφίκοιτο·
τῷ δι' ἀτασθαλίας ἔπαθον κακόν· αὐτὰρ Ὀδυσσεὺς
ὤλεσε τηλοῦ νόστον Ἀχαιΐδος, ὤλετο δ' αὐτός.

σωφρόνως ῥηθέν. λέγει δὲ εὐφροσύνην συνήθως τὴν φιλόφρονα ἡδονήν. Eust.

V. 53. ἀμφοτέρω] Γρ. ἀμφοτέρων. Harl.

πέποσθε] πεπόνθατε. Vulg. ἤγουν, ἐπεὶ κακὰ πολλὰ πεπόνησθε. Eust. v. ad κ, 465.

V. 59. μέγ' ἐπεύχεο] μεγαλαύχει. Vulg. Eust.

καγχαλόωσα] ἤγουν χαίρουσα καὶ χαλωμένη καὶ ὡς οἷον χαλίφρων ὑφ' ἡδονῆς γινομένη. Eust. v. ad v. 1. et 13.

V. 60. ἀσπαστός] εὐκταῖος. Vulg.

V. 61. τεκόμεσθα] ἐγεννησάμην. Id. τουτέστιν, ὃν οὐ θετὸν ἔσχομεν, ἀλλ' ἐκ τοῦ κατὰ φύσιν τοκετοῦ. Eust.

V. 64. ἀγασσάμενος] ἤγουν μεμψάμενος. Eust.

V. 68. ὤλεσε τηλοῦ νόστον] Τίνος νόστον; τὴν διὰ

Τὴν δ' ἠμείβετ' ἔπειτα φίλη τροφὸς Εὐρύκλεια·
τέκνον ἐμόν, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων!
ἣ πόσιν, ἔνδον ἐόντα παρ' ἐσχάρῃ, οὔποτ' ἔφησθα
οἴκαδ' ἐλεύσεσθαι· θυμὸς δέ τοι αἰὲν ἄπιστος;
ἀλλ' ἄγε τοι καὶ σῆμα ἀριφραδὲς ἄλλο τι εἴπω,
οὐλήν, τήν ποτέ μιν σῦς ἤλασε λευκῷ ὀδόντι.
τὴν ἀπονίζουσα φρασάμην· ἔθελον δέ σοι αὐτῇ
εἰπέμεν· ἀλλά με κεῖνος ἑλὼν ἐπὶ μάστακα χερσίν,
οὐκ ἔα εἰπέμεναι, πολυϊδρείῃσι νόοιο.
ἀλλ' ἕπευ· αὐτὰρ ἐγὼν ἐμέθεν περιδώσομαι αὐτῆς,

νεὼς κομιδήν, ὅ ἐστι τὰ πλοῖα ὤλεσε, καὶ μετὰ τὸ ὀλέσαι τὸν νόστον καὶ αὐτὸς ἀπώλετο. Ambr. Q.

V. 71. ἐσχάρῃ] ἔνθα τὸ πῦρ καίεται. ἔστι δὲ βωμὸς ἰσόπεδος, οὐκ ἐκ λίθων ὑψούμενος. Vulg. Ἐσχάρα καὶ νῦν, ὡς καὶ πολλαχοῦ ἐν τοῖς πρὸ τούτων, τόπος κατὰ τοὺς παλαιούς, ἔνθα πῦρ καίεται, βωμὸς ἰσόπεδος, οὐκ ἐκ λίθων ὑψούμενος. Eust.

V. 74. οὐλήν κ. τ. λ.] v. τ, 392. sequ.

V. 76. μάστακα] Νῦν τὸ στόμα. ἐν δὲ τῇ Ἰλιάδι (ι, 324.) καὶ τὸ μάσημα, μάστακ' ἐπεί κε λάβῃς (scr. λάβῃσι). ὁ δὲ Ἀλκμὰν καὶ τὰς γνάθους μάστακάς φησι, παρὰ τὸ μασᾶσθαι. τὴν δὲ τροφὴν μάστακα ἔλεγον διὰ τὸ τὰ βρέφη μαστάζειν αὐτήν, ἀφ' οὗ καὶ ὁ μαστός καὶ ἡ μάζα. Ambr. Q.

V. 77. πολυιδρείῃσι] Ἡ πολυιδρεία διὰ διφθόγγου ἀεὶ ἔχει τὴν παραλήγουσαν, ὡς καὶ ἡ ἀϊδρεία, διὰ τὸ ἀναφέρεσθαι τὸ ε κατὰ κλίσιν τοῦ ἴδρις ἴδρεως, ὁποῖόν τι κατὰ κλίσιν οὐδετέρου γένους ἔχει καὶ ἡ ἐλεγχείη καὶ ἡ ἐγχείη, ἃ ἐκ τοῦ ἐλέγχεος καὶ τοῦ ἔγχεος τὴν δίφθογγον ἔχουσι. Eust.

V. 78. ἐμέθεν περιδώσομαι αὐτῆς] περὶ ἐμαυτῆς συνθήσομαι. Vulg. Ambr. Q. Τό, περιδώσομαι αὐτῆς, ἀντὶ τοῦ, συνθήσομαι, βεβαιώσομαι, καὶ τὸ δημοκοπούμενον, στοίχημα θήσω ὑπὲρ ἐμοῦ αὐτῆς, οὗ διασαφητικὸν τό, κτεῖναί με οἰκτίστῳ ὀλέθρῳ. ἔστι δὲ περιδώσεσθαι καὶ ἑτέρου τινός, ὡς καὶ ἡ Ἰλιὰς δηλοῖ ἐν τῷ, τρίποδος περιδώμεθον ἠὲ λέβητος (Il. ψ, 485.). ἐλ-

αἴ κέν σ' ἐξαπάφω, κτεῖναί μ' οἰκτίστῳ ὀλέθρῳ.
Τὴν δ' ἠμείβετ' ἔπειτα περίφρων Πηνελόπεια·
μαῖα φίλη, χαλεπόν σε θεῶν αἰειγενετάων
δήνεα εἴρυσθαι, μάλα περ πολυΐδριν ἐοῦσαν·
ἀλλ' ἔμπης ἴομεν μετὰ παῖδ' ἐμόν, ὄφρα ἴδωμαι
ἄνδρας μνηστῆρας τεθνηότας, ἠδ' ὃς ἔπεφνεν.
Ὣς φαμένη, κατέβαιν' ὑπερώϊα· πολλὰ δέ οἱ κῆρ
ὥρμαιν', ἢ ἀπάνευθε φίλον πόσιν ἐξερεείνοι,
ἢ παρστᾶσα κύσειε κάρη καὶ χεῖρε λαβοῦσα.
ἡ δ' ἐπεὶ εἰσῆλθεν, καὶ ὑπέρβη λάϊνον οὐδόν,
ἕζετ' ἔπειτ' Ὀδυσῆος ἐναντίον, ἐν πυρὸς αὐγῇ,
τοίχου τοῦ ἑτέρου· ὁ δ' ἄρα πρὸς κίονα μακρὴν

λειπτικῶς δὲ ἡ τοιαύτη φράσις ἔχει. τὸ γὰρ ἐντελές, περί τινος δώσειν λόγον ἢ συνθήκην. Eust.

V. 82. εἴρυσθαι] εἰδέναι. Hesych. (cit. n. 1.) εἰρῦσαι. Ms. Barn. Τό, θεοῦ δήνεα εἴρυσθαι, ἢ ἀντὶ τοῦ φυλάξασθαι ἤτοι γνῶναι, ἀπὸ τοῦ εἰρύω τὸ φυλάσσω, ἢ καὶ ἀντὶ τοῦ ἑλκῦσαι, ὡς καὶ τοῦτό φασιν οἱ παλαιοί, ἵνα λέγῃ ὅτι χαλεπὸν ἑλκῦσαι εἰς νοῦν ἢ καὶ ἄλλως μεθελκῦσαι εἰς ὃ βούλεταί τις τὴν θείαν βουλήν. τοῦτο δὲ ἀπὸ τοῦ εἰρύω τὸ ἑλκύω. Eust. Εἴρυσθαι. νῦν ἰδίως τὸ εἴρυσθαι ἐπὶ τοῦ εἰδέναι παρείληπται. ἔστι γὰρ ἀντὶ τοῦ φυλάσσειν καὶ σώζειν (cit. n. 1.). Apollon. cf. v. 151.

πολυΐδριν] πολυπαθῆ, πολλὰ εἰδυῖαν. Ambr. Q.

V. 85. κατέβαιν' ὑπερώϊα] Τό, κατέβαινεν ὑπερῷα, κοινότερον ἐφράσθη ἀντὶ τοῦ, ὑπερῴων, κατὰ ἀντίπτωσιν. ὀκνηρίαν δέ τινα δηλοῖ τὸ κατέβαινε παρατατικῶς φρασθέν. Εὐρύκλεια μὲν γὰρ πιστεύσασα ἔνδον εἶναι τὸ φίλον αὐτῇ τέκος, ἐῤῥωμένως ἀνέβαινεν· ἡ δὲ γυνὴ ἐνδοιάζουσα χαλεπῶς κάτεισιν. Eust.

V. 86. ἐξερεείνοι] ἀνακρίνειεν τῷ λόγῳ. Vulg.

V. 89. ἐν πυρὸς αὐγῇ] ἐν τῷ πεφωτισμένῳ τόπῳ καὶ πεφλογισμένῳ ἀπὸ τοῦ πυρός. Vulg. Τό, ἐν πυρὸς αὐγῇ, ἀντὶ

ἧστο κάτω ὁρόων, ποτιδέγμενος, εἴ τί μιν εἴποι
ἰφθίμη παράκοιτις, ἐπεὶ ἴδεν ὀφθαλμοῖσιν.
ἡ δ' ἄνεω δὴν ἧστο, τάφος δέ οἱ ἦτορ ἵκανεν·
ὄψει δ' ἄλλοτε μέν μιν ἐνωπαδίως ἐςίδεσκεν,
ἄλλοτε δ' ἀγνώσσασκε, κακὰ χροῒ εἵματ' ἔχοντα.
Τηλέμαχος δ' ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνό-
μαζεν·
Μῆτερ ἐμή, δύςμητερ, ἀπηνέα θυμὸν ἔχουσα,

τοῦ, ἔνθα σέλας ἀφίει τὸ πῦρ, οὐ μὴν πρὸς αὐτῷ τῷ κατὰ τὴν ἐσχάραν πυρί, ἔνθα ὡς εἰκὸς ὁ πτωχικὸς Ὀδυσσεὺς ἕζετο. Eust.

V. 92. *ἰφθίμη παράκ.*] Ἰφθίμη παράκοιτις ταυτὸν ἂν εἴη τῷ, δαΐφρων Πηνελόπη, ὅ ἐστιν ἀνδρεία. Eust.

V. 93. *ἄνεω*] Τὸ ἄνεω σημειῶδές ἐστιν, ἐπίῤῥημα ὄν, καὶ δίδωσιν ὑπόνοιαν καὶ τό, οἱ δ' ἄνεῳ ἦσαν (v. η, 144. κ, 71. Il. ι, 30.), τοιοῦτον εἶναι, καθὰ καὶ τό, Ἀθηνᾶ δ' ἀκέων (Il. δ, 22.), δοκεῖ ἐπίῤῥημα εἶναι διὰ τό, ἀκέων δαίνυσθε (Od. φ, 89.). Eust. cf. ad υ, 184.

V. 94. *ἐνωπιδίως*] Τὸ ἐνωπιδίως ἀντὶ τοῦ, κατ' ὄψιν, ἵνα λέγῃ ὅτι ἄλλοτε μὲν περιεργότερον ἐντρανίζουσα καὶ κατασκοποῦσα ἐπεγίνωσκεν, ἄλλοτε δὲ ἠγνόει. Τὸ δὲ ἐνωπιδίως γράφεται μάλιστα ἐνωπαδίως, καὶ γίνεται ἐκ τοῦ ἐνῶπα, ἐξ οὗ καὶ τὸ κατενῶπα ἐν Ἰλιάδι (ο, 320.). Τὸ δέ, ἐνωπαδίως ἐςιδεῖν, μετ' ὀλίγα καί, εἰς ὦπα ἰδέσθαι ἐναντίον, φησί (v. 107.). Eust. ἐνεργῶς, ἄντικρυς, περιεργότερον ἀφορῶσα (Barn. ἐφορῶσα) ἐγνώριζεν. Vulg. *Ἐνωπιδίως ἐςίδεσκεν*] Τινὲς ἐναπαδίως (l. ἐνωπαδίως) γράφουσι, τὸ εἰς αὐτοὺς τοὺς ὦπας ὁρᾶν καὶ γινώσκειν. Etym. M. v. interpr. ad Hesych. v. Ἐνωπῶς.

V. 95. *ἀγνώσσασκε*] Τὸ ἀγνώσσασκε λέξις καὶ αὐτὸ ἰδία ποιήσεως γινομένη ἐκ τοῦ γνῶ γνώσω, ἐξ οὗ ἐνεστώς, γνώσσω, ὡς τὸ κνώσσω καὶ τὰ τοιαῦτα, καὶ παραγώγως γνωσσάσκω, ἐξ οὗ κατὰ στέρησιν τὸ ἀγνώσσασκεν. Eust. *ἀγνώσασκε* (ita ed. ant.) ἠγνόει. Vulg.

V. 96. *ἐνένιπτεν*] v. σ, 321. coll. v. 326. φ, 84. χ, 212.

V. 97. *δύςμητερ*] ἐπὶ κακῷ μήτηρ λεγομένη. Vulg. Τὸ δύςμητερ οὐ κατὰ τὸ Δύςπαρις καὶ τὸ Κακοΐλιον ἐῤῥέθη, ἀλλὰ θυμικώτερον ἀπεναντίας τῷ φίλη μῆτερ. ἄχθεται γὰρ ὁ υἱὸς

τίφθ' οὕτω πατρὸς νοσφίζεαι, οὐδὲ παρ' αὐτὸν
ἑζομένη μύθοισιν ἀνείρεαι, οὐδὲ μεταλλᾷς;
οὐ μέν κ' ἄλλη γ' ὧδε γυνὴ τετληότι θυμῷ
ἀνδρὸς ἀφεσταίη, ὅς οἱ κακὰ πολλὰ μογήσας
ἔλθοι ἐεικοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν·
σοὶ δ' αἰεὶ κραδίη στερεωτέρη ἐστὶ λίθοιο.
Τὸν δ' αὖτε προςέειπε περίφρων Πηνελόπεια·
τέκνον ἐμόν, θυμός μοι ἐνὶ στήθεσσι τέθηπεν·
οὐδέ τι προςφάσθαι δύναμαι ἔπος, οὐδ' ἐρέεσθαι,
οὐδ' εἰς ὦπα ἰδέσθαι ἐναντίον. εἰ δ' ἐτεὸν δὴ
ἔστ' Ὀδυσεύς, καὶ οἶκον ἱκάνεται, ἦ μάλα νῶϊ
γνωσόμεθ' ἀλλήλων καὶ λώϊον· ἔστι γὰρ ἡμῖν
σήμαθ', ἃ δὴ καὶ νῶϊ κεκρυμμένα ἴδμεν ἀπ' ἄλλων.

ἐφ' οἷς ἡ μήτηρ ἀπηνὴς ἐπὶ τοῖς κατὰ τὸν πατέρα ἐστίν, ὡς καὶ αὐτὴ μετ' ὀλίγα φησί (v. 230.), πείθεις μοι θυμὸν ἀπηνέα περ μαλ' ἐόντα. διὸ εἰπών, δύςμητερ, ἡρμήνευσεν ἐπαγαγών, ἀπηνέα θυμὸν ἔχουσα. Eust.

V. 98. *νοσφίζεαι*] Τὸ νοσφίζεαι καὶ νῦν ἀντὶ τοῦ, νόσφι γίνῃ, χωρίζῃ. οὗ ἑρμηνευτικὸν τό, οὐδὲ παρ' αὐτὸν ἑζομένη, τουτέστιν ἐγγὺς αὐτοῦ, ὅπερ ἐναντίον ἐστὶ πρὸς τὸ νόσφι. Eust.

V. 99. *ἀνείρεαι*] τὰ περὶ τοῦ ἔρωτος. Vulg.

V. 101. *ἀφεσταίη*] Τὸ ἀφεσταίη καινότερον ἐσχημάτισται, καὶ ἔστι μὲν κοινὸν καὶ σύνηθες ἀντ' αὐτοῦ τὸ ἀποσταίη. τὸ μέντοι ἀφεσταίη φίλτερον Ὁμήρῳ οἷα ποιητικώτερον. Eust.

V. 105. *τέθηπεν*] ἐκπέπληκται. Vulg.

V. 106. *προςφάσθαι*] προςειπεῖν. Id.

V. 109. *γνωσόμεθ'*] γνωριοῦμεν. Id. Ὅρα καὶ τό, γνωσόμεθα ἀλλήλων, γενικῇ συνταχθέν, ὡς καὶ πρὸ ὀλίγων εἶχε τό, οὐδὲ τραπέζῃ γνώτην ἀλλήλων (φ, 36.). Eust.

V. 110. *κεκρυμμένα*] Eust. in comment. κεκριμένα, vitiose.

Ὣς φάτο· μείδησεν δὲ πολύτλας δῖος Ὀδυσσεύς,
αἶψα δὲ Τηλέμαχον ἔπεα πτερόεντα προσηύδα·
Τηλέμαχ᾽, ἤτοι μητέρ᾽ ἐνὶ μεγάροισιν ἔασον
πειράζειν ἐμέθεν· τάχα δὲ φράσεται καὶ ἄρειον.
νῦν δ᾽ ὅττι ῥυπόω, κακὰ δὲ χροῒ εἵματα εἷμαι,
τοὔνεκ᾽ ἀτιμάζει με, καὶ οὔπω φησὶ τὸν εἶναι.
ἡμεῖς δὲ φραζώμεθ᾽, ὅπως ὄχ᾽ ἄριστα γένηται.
καὶ γάρ τίς θ᾽ ἕνα φῶτα κατακτείνας ἐνὶ δήμῳ,
ᾧ μὴ πολλοὶ ἔωσιν ἀοσσητῆρες ὀπίσσω,
φεύγει, πηούς τε προλιπὼν καὶ πατρίδα γαῖαν·
ἡμεῖς δ᾽ ἕρμα πόληος ἀπέκταμεν, οἳ μέγ᾽ ἄριστοι

V. 114. πειράζειν] διάπειραν λαμβάνειν. Vulg. Τὸ πειράζειν γενικὴν καὶ αὐτὸ ἔχει σύνταξιν ἐν τῷ, πειράζειν ἐμέθεν, κατὰ τό, πειρᾷ ἐμεῖο γεραιέ (Il. ω, 390.). ἔστι δ᾽ ὅτε καὶ ἀπολύτως κεῖται χωρὶς οἱασοῦν συντάξεως. Eust.

φράσεται] γνωρίσει. Vulg.

V. 118. καὶ γάρ τις] Ἔστιν ἀπὸ τοῦ ἐλάσσονος τὸ ἐπιχείρημα, δηλοῦν ὡς εἴπερ φεύγει ὁ ἁπλῶς ἕνα κτείνας ἐν δήμῳ ἤγουν δημότην ἄνδρα, πολλῷ πλέον ἂν φύγῃ τὴν πατρίδα κατά τι ἔθος ἀρχαῖον ὁ καὶ πολλοὺς καὶ ἀρίστους ἀνελών. Eust.

V. 119. ἀοσσητῆρες] Ἀοσσητήρ, καθὰ καὶ ἐν ἄλλοις, ὁ δίχα ὄσσης βοηθῶν τουτέστιν ὁ ἕτοιμος καὶ ἀπροφάσιστος ἐπίκουρος (cf. Il. ο, 254. χ, 333.). (Ἀοσσητήρ, βοηθός. Apollon.). Τὸ δὲ φεύγεσθαι τὰς πατρίδας ὑπὸ τῶν φονευσάντων, καθωμίληται, εἰ μή τι ἄρα ποινὴν τίσει ὁ φονεὺς τὴν συνδόξασαν. τότε γὰρ ἐᾶται μένειν ἐν δήμῳ. (cf. Il. σ, 497.). Eust.

ὀπίσσω] μετὰ τὸν τῆς ἀπωλείας χρόνον. Vulg. Χρονικῶς ἀντὶ τοῦ, μετὰ ταῦτα. Ambr. Q.

V. 120. πηούς] τοὺς πόῤῥωθεν συγγενεῖς. Vulg. Ἐν τῷ, τοὺς πηοὺς προλιπών, τῷ τῶν πηῶν ἤτοι ἀγχιστέων ὀνόματι τὴν πᾶσαν ὡς ἐκ μέρους δηλοῖ συγγένειαν. ἔφθη δὲ ὁ ποιητὴς καὶ τοὺς πηοὺς κηδίστους εἰπεῖν τοῖς ἀνθρώποις μεθ᾽ αἷμα καὶ γένος αὐτῶν (θ, 581. sequ.). Eust.

V. 121. ἕρμα] ἔρεισμα, βοήθημα. Vulg. Ἕρματα (scr.

κούρων εἰν Ἰθάκῃ· τάδε σε φράζεσθαι ἄνωγα.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
αὐτὸς ταῦτά γε λεῦσσε, πάτερ φίλε· σὴν γὰρ ἀρίστην
μῆτιν ἐπ' ἀνθρώπους φάσ' ἔμμεναι, οὐδέ κε τίς τοι
ἄλλος ἀνὴρ ἐρίσειε καταθνητῶν ἀνθρώπων.
[ἡμεῖς δ' ἐμμεμαῶτες ἅμ' ἑψόμεθ', οὐδέ τί φημι
ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστιν.]
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
τοιγὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
πρῶτα μὲν ἂρ λούσασθε, καὶ ἀμφιέσασθε χιτῶνας,
δμωὰς δ' ἐν μεγάροισιν ἀνώγετε εἵμαθ' ἑλέσθαι·

ἕρμα) πόλεως, ἢ τὸν οἱονεὶ κόσμον, ὡς εἴπερ ἡ πόλις καθὰ καί τις γυνὴ ἐκαλλωπίζετο ὑπ' αὐτῶν οἷά τινων ἑρμάτων, ἃ δὴ κόσμου γυναικικοῦ εἶδος εἶναι προείρηται, ἢ τὰ στηρίγματα ὡς ἀπὸ τῶν κατὰ τὰς νῆας ἑρμάτων, ἅπερ αἱ μὴ ἔχουσαι ἀνερμάτιστοι λέγονται. ἢ καὶ ἄλλως τὰ κατὰ τοὺς στύλους ἢ κίονας ἑδράσματα, ὅθεν λαβὼν Λυκόφρων κίονα Τροίας λέγει τὸν Ἕκτορα ἐν τῷ, οἷον κίον' ἀϊστώσεις δόμων. ὅτι δὲ καὶ ἔρεισμα τὰ τοιαῦτά εἰσι, δηλοῖ ἐκεῖνος ἐπαγαγών, ἔρεισμα πάτρας δυςτυχοῦς ὑποσπάσας. δῆλον δὲ ὡς ἀπὸ τοῦ ἔρεισμα κατὰ συγκοπὴν τὸ ἕρμα γίνεται, δασυνθὲν αὐτό, διὰ τὸ μετὰ ρ̄ εὐθὺς κεῖσθαι τὸ μ̄, ὁμοίως τῷ Ἑρμῆς. ἑρμηνεία δὲ παρὰ τῷ ποιητῇ τοῦ, ἕρματα (sic) πόληος, ἐπαχθὲν εὐθὺς τό, οἳ μέγ' ἄριστοι. Eust. cf. Il. π, 549.

V. 124. λεῦσσε (ed. ant. λευσε)] σκόπει, λογίζου. Vulg.

V. 125. ἐπ' ἀνθρώπους] Τό, ἐπ' ἀνθρώπους, ἀντὶ τοῦ, κατ' ἀνθρώπους. ἄλλως γὰρ ἐπ' ἀνθρώποις ὤφειλεν εἶναι. Eust.

V. 131. χιτῶνας] Διὰ τῶν χιτώνων καὶ τὰ λοιπὰ εἵματα δηλοῖ. Id.

αὐτὰρ θεῖος ἀοιδὸς, ἔχων φόρμιγγα λίγειαν,
ἡμῖν ἡγείσθω φιλοπαίγμονος ὀρχηθμοῖο,
ὥς κέν τις φαίη γάμον ἔμμεναι, ἐκτὸς ἀκούων,
ἢ ἀν' ὁδὸν στείχων, ἢ οἳ περιναιετάουσιν·
μὴ πρόσθε κλέος εὐρὺ φόνου κατὰ ἄστυ γένηται
ἀνδρῶν μνηστήρων, πρίν γ' ἡμέας ἐλθέμεν ἔξω
ἀγρὸν ἐς ἡμέτερον πολυδένδρεον· ἔνθα δ' ἔπειτα
φρασσόμεθ', ὅ,ττι κε κέρδος Ὀλύμπιος ἐγγυαλίξῃ.
  Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
πρῶτα μὲν οὖν λούσαντο, καὶ ἀμφιέσαντο χιτῶνας·
ὅπλισθεν δὲ γυναῖκες· ὁ δ' εἵλετο θεῖος ἀοιδὸς
φόρμιγγα γλαφυρήν, ἐν δέ σφισιν ἵμερον ὦρσεν
μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο.
τοῖσιν δὲ μέγα δῶμα περιστεναχίζετο ποσσὶν
ἀνδρῶν παιζόντων, καλλιζώνων τε γυναικῶν.
ὧδε δέ τις εἴπεσκε, δόμων ἔκτοσθεν ἀκούων·

V. 134. φιλοπαίγμονος] φιλοῦντος παίζειν. Vulg.

V. 135. ἐκτὸς ἀκούων] Τοῦ, ἐκτὸς ἀκούων, ἑρμηνεία ἐστὶ τό, ἢ ἀν' ὁδὸν στείχων ἢ οἳ περιναιετάουσιν. ὅπερ καὶ ἐξαλλαγὴν ἐποίησε σχήματος. τὸ γὰρ ἁπλοῦν οὕτως, ἢ ἀνὰ ὁδὸν στείχων ἢ περιναιετάων. ἄμφω δὲ περιπέφρασται. τὸ γὰρ ἀπερίφραστον ἦν, ἢ ὁδίτης ἢ γείτων. Eust.

V. 137. κλέος εὐρύ] ἡ πολλὴ περὶ τοῦ φόνου κληδών. Vulg. Ἐν τῷ, κλέος εὐρὺ φόνου, κλέος φανερῶς τὴν φήμην λέγει, οὐ μὴν τὴν τιμήν. Eust.

V. 143. ὅπλισθεν] Αὗται καὶ ὁπλισθῆναι ἐλέχθησαν, οὐ πάντως ἀρεϊκῶς, ἀλλ' εἰς ἑτοιμασίαν χοροῦ καὶ ἀμύμονος ὀρχηθμοῦ, ὁποῖος ὁ ἐν γάμοις καὶ ὁ ἐν ἑορταῖς καὶ ὁ ἐνόπλιος. Eust.

V. 147. καλλιζ. τε γυναικῶν] Ἀπὸ κοινοῦ νοεῖται τὸ παιζουσῶν. Id.

Ἡ μάλα δή τις ἔγημε πολυμνήστην βασίλειαν·
σχετλίη, οὐδ' ἔτλη πόσιος οὗ κουριδίοιο
εἴρυσθαι μέγα δῶμα διαμπερές, ἕως ἵκοιτο.
Ὣς ἄρα τις εἴπεσκε· τὰ δ' οὐκ ἴσαν, ὡς ἐτέτυκτο.
αὐτὰρ Ὀδυσσῆα μεγαλήτορα ᾧ ἐνὶ οἴκῳ
Εὐρυνόμη ταμίη λοῦσεν, καὶ χρῖσεν ἐλαίῳ·
ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλεν ἠδὲ χιτῶνα.
αὐτὰρ κὰκ κεφαλῆς χεῦεν πολὺ κάλλος Ἀθήνη,
μείζονά τ' εἰςιδέειν καὶ πάσσονα· κὰδ δὲ κάρητος
οὔλας ἧκε κόμας, ὑακινθίνῳ ἄνθει ὁμοίας.
ὡς δ' ὅτε τις χρυσὸν περιχεύεται ἀργύρῳ ἀνὴρ
ἴδρις, ὃν Ἥφαιστος δέδαεν καὶ Παλλὰς Ἀθήνη
τέχνην παντοίην, χαρίεντα δὲ ἔργα τελείει·
ὣς μὲν τῷ περίχευε χάριν κεφαλῇ τε καὶ ὤμοις.
ἐκ δ' ἀσαμίνθου βῆ, δέμας ἀθανάτοισιν ὅμοιος·

V. 149. *πολυμνήστην*] τὴν μάλιστα πολυμνήστην (l. μνηστήν). κυρίως ἐπὶ Πηνελόπης. Vulg.

V. 150. *σχετλίη*] Τὸ σχετλίη κἀνταῦθα ἐτυμολογῶν ὁ ποιητὴς ἐπήγαγε τό, οὐδ' ἔτλη τὸ τοῦ ἀνδρὸς φυλάσσειν δῶμα, δηλῶν, ὅτι κυρίως σχέτλιος ὁ ὀφείλων σχέσθαι καὶ τλῆναι, ὅ ἐστιν ἐπιμεῖναι, ἵνα οὕτως ᾖ σχέτλιος ὁ μὴ τλὰς ἤτοι καρτερήσας. ἀσυνδέτως δὲ καὶ αὐτὸ εἴρηται τὸ σχετλίη εὐθείᾳ πτώσει κατὰ σχῆμα θυμοῦ ἢ θαύματος, ἵνα λέγῃ ἐλλειπτικῶς, ὅτι σχετλία ἐστὶν αὕτη. ἄλλως γὰρ κατὰ αἰτιατικὴν πτῶσιν ἐξενεχθῆναι ὤφειλεν, οἷον, ἔγημέ τις πολυμνήστην βασίλειαν σχετλίην. Eust.

V. 151. *εἴρυσθαι*] (Ms. Barn. εἰρῦσαι) κρατῆσαι. Vulg. φυλάσσειν. Eust. cf. v. 82.

V. 157. sequ. *μείζονά τ' εἰςιδέειν*] v. ζ, 230. sequ.

V. 161. *τέχνην παντοίην*] χρυσοχοϊκὴν δηλονότι, οὐ γὰρ τέχνην παντοίην. Ambr. Q. cf. ad ζ, 234.

ἂψ δ' αὖτις κατ' ἄῤ ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη,
ἀντίον ἧς ἀλόχου, καί μιν πρὸς μῦθον ἔειπεν·
Δαιμονίη, περὶ σοίγε γυναικῶν θηλυτεράων
κῆρ ἀτέραμνον ἔθηκαν Ὀλύμπια δώματ' ἔχοντες·
οὐ μέν κ' ἄλλη γ' ὧδε γυνὴ τετληότι θυμῷ
ἀνδρὸς ἀφεσταίη, ὅς οἱ κακὰ πολλὰ μογήσας
ἔλθοι ἐεικοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν. —
ἀλλ' ἄγε μοι, μαῖα, στόρεσον λέχος, ὄφρα καὶ αὐτὸς
λέξομαι· ἦ γὰρ τῇγε σιδήρεος ἐν φρεσὶ θυμός.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
δαιμόνι', οὔτ' ἄρ τι μεγαλίζομαι, οὔτ' ἀθερίζω,

V. 167. *ἀτέραμνον*] σκληρόν. Vulg. Ἰστέον ὅτι κῆρ ἀτέραμνον συνήθως τὸ ἀτειρὲς καὶ σκληρὸν καὶ μὴ τέρεν. ὅθεν καὶ ἀτέραμνα σπέρματα, τὰ κερασβόλα, περὶ ὧν λόγος, ὡς ἐὰν σπέρμα ἐν τῷ καταῤῥίπτεσθαι εἰς γῆν καιρῷ σπόρου πελάσῃ κέρατι ἀροῦντος βοός, σκληρὸν γίνεται καὶ δυσέψητον. καὶ λέγει Πλούταρχος ἐν τοῖς αὐτοῦ Συμποσιακοῖς (7, 2. p. 700. cf. Theophrast. de causis plant. 4, 14.) καὶ αἰτίαν τούτου τὴν ἐκείνῳ δοκοῦσαν. κερασβόλα δὲ τὰ ῥηθέντα λέγονται διὰ τὸ κατὰ κεράτων βληθῆναι. ἐνταῦθα δὲ σημείωσαι ὅτι συνθέτως μὲν ἀτέραμνον τὸ μὴ τέρεν, ἀλλὰ δηλαδὴ ἀπεσκληρουμένον (l. ἀπεσκληρωμένον), οὐ μὴν καὶ τέραμνον ἀσυνθέτως τὸ τέρεν καὶ ἁπαλόν, ἀλλ' ἢ τοῦ οἴκου στέγη. Eust. σκληρόν. — ὁ δὲ νοῦς, περισσῶς οἱ θεοί σε παρὰ τὰς ἄλλας γυναῖκας σκληρὰν τὴν ψυχὴν ἐποίησαν. Ambr. Q.

V. 169. *ἀφεσταίη*] τουτέστιν ἀποσταίη. Eust. v. ad v. 101.

V. 172. *σιδήρεος*] ἰσχυρός. Vulg. Ἐν δὲ τῷ, σιδήρεος ἐν φρεσὶ θυμός, φανερῶς ἕτερον αἱ φρένες ψυχῆς, καθὸ καὶ σῶμά εἰσι. Eust.

V. 174. *μεγαλίζομαι*] ἐπαίρομαι. Vulg. (Eust. cit. Il. κ, 69. μηδὲ μεγαλίζεο θυμῷ.)

οὐδ' ἀθερίζω] ἀποβάλλομαι, ἀποδιώκομαι. Ambr. Q.

οὔτε λίην ἄγαμαι· μάλα δ' εὖ οἶδ', οἷος ἔησθα,
ἐξ Ἰθάκης ἐπὶ νηὸς ἰὼν δολιχηρέτμοιο. —
ἀλλ' ἄγε οἱ στόρεσον πυκινὸν λέχος, Εὐρύκλεια,
ἐκτὸς ἐϋσταθέος θαλάμου, τόν ῥ' αὐτὸς ἐποίει·
ἔνθα οἱ ἐκθεῖσαι πυκινὸν λέχος, ἐμβάλετ' εὐνήν,
κώεα καὶ χλαίνας καὶ ῥήγεα σιγαλόεντα.
Ὣς ἄρ' ἔφη, πόσιος πειρωμένη· αὐτὰρ Ὀδυσσεὺς
ὀχθήσας ἄλοχον προσεφώνεε, κέδν' εἰδυῖαν·
Ὦ γύναι, ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες·

Ἀθερίζω, τὸ ἐκρίπτω καὶ ἀποβάλλω, ἀπὸ μεταφορᾶς τῶν ἀθέρων τῶν μὴ δυναμένων ἔχεσθαι διὰ σμικρότητα. οἱ γὰρ λικμῶντες ἐκρίπτουσιν αὐτούς. Ms. Barn. cf. ad θ, 212. et not. prox. fin.

V. 175. οὔτε λίην ἄγαμαι] Τό, οὐδὲ λίην ἄγαμαι, ἀντὶ τοῦ, οὐκέτι λίαν ἐκπλήττομαι, ὡς ἔτι ἐκ τῶν φθασάντων πιστουμένη τὰ κατὰ σέ. ὅτε δὲ καὶ περὶ τῆς κλίνης ἀκούσει, τότε εἴποι ἂν οὐχ ὅτι οὐ λίην ἄγαμαι, ἀλλ' ὅτι οὐδ' ὅλως ἄγαμαι. Eust. Σημείωσαι δὲ καὶ ὅτι τρεῖς αἰτίας ἐμφαίνει ἀποστροφῆς ἐνταῦθα τῆς πρός τινα οἰκειοῦσθαι θέλοντα, τὸ μεγαλίζεσθαι, τὸ ἀθερίζειν, καὶ τὸ ἄγασθαι. ἢ γὰρ ἐξαθερίζει τις τὸν οἰκειούμενον, τουτέστιν ἐξουθενοῖ ὡς μὴ ἄξιον οἰκειώσεως, ἢ μεγαλίζεται ὡς μείζων ὢν ἐκείνου, ἢ ἄγαται τὴν αἰτίαν ἐννοούμενος τῆς ζητουμένης οἰκειώσεως. Id.

V. 179. ἐκθεῖσαι] ἔξω ἀποθέμεναι. Vulg. Ἐκθέσθαι. Γρ. ἐκθεῖσαι, ἔξω θεῖσα (scr. ἐκθεῖσαι, ἔξω θεῖσαι). Vind. 133.

πυκινὸν λέχος] Δῆλον ὡς διαφέρει λέχος τε καὶ εὐνή. καὶ ἔστι λέχος μὲν ἡ κλίνη, πυκινὴ οὖσα, ἵνα φέρειν ἔχει (l. ἔχῃ) στεῤῥῶς τὰ ἐπικείμενα. διὸ ὑποκαταβὰς Ὀδυσσεὺς ἐρεῖ (v. 199.), λέχος ἔξεον ὄφρ' ἐτέλεσσα. εὐνὴ δὲ τὸ παρ' ἡμῖν στρῶμα, διὸ ἑρμηνεύων ἐπάγει, κώεα καὶ χλαίνας καὶ ῥήγεα. Eust. Πυκινὸν λέχος, διὰ τὸ ἐκ πολλῶν ἱματίων τὰ στρώματα συντίθεσθαι. Hesych.

τίς δέ μοι ἄλλοσε θῆκε λέχος; χαλεπὸν δέ κεν εἴη,
καὶ μάλ' ἐπισταμένῳ, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν
ῥηϊδίως ἐθέλων θείη ἄλλῃ ἐνὶ χώρῃ·
ἀνδρῶν δ' οὔ κέν τις ζωὸς βροτός, οὐδὲ μάλ' ἡβῶν,
ῥεῖα μετοχλίσσειεν· ἐπεὶ μέγα σῆμα τέτυκται
ἐν λέχει ἀσκητῷ· τὸ δ' ἐγὼ κάμον, οὐδέ τις ἄλλος.
θάμνος ἔφυ τανύφυλλος ἐλαίης ἕρκεος ἐντός,

V. 184. *ἄλλοσε θῆκε*] *ἀλλαχοῦ ἀπέθετο.* Vulg. *μετέθετο.* Eust.

V. 185. *ὅτε μὴ θεὸς*] *Τό, ὅτε μὴ θεὸς αὐτός, ὅμοιόν ἐστι τῷ, εἰ μὴ θεὸς αὐτός, καὶ τῷ, ὅτι μὴ θεὸς αὐτός. τριχῶς γὰρ τὸ τοιοῦτον οἱ ῥήτορες φράζουσιν. ἔστι δὲ κοινότερον μὲν τό, εἰ μὴ τόδε γένηται, Ἀττικώτερον δὲ τό, ὅτι μὴ τόδε καὶ ὅτε μὴ τόδε.* Eust.

V. 187. *οὐδὲ μάλ' ἡβῶν*] *Γράφεται καί, οὐδὲ γυναικῶν, ἵνα λέγῃ, ὅτι τὸ τοιοῦτον λέχος οὔτε ἀνδράσιν οὔτε γυναιξὶ μεταθέσθαι δυνατόν.* Id.

V. 188. *μέγα σῆμα*] *μέγα τέρας. Ἀκίνητον δὲ λέγων εἶναι τὸ λέχος, ἔοικεν αἰνίττεσθαι ὅτι τὴν γαμικὴν κοίτην ἀδιάλλακτον εἶναι δεῖ.* Ambr. Q.

V. 189. *ἐν λέχει ἀσκητῷ*] *Λέχος ἀσκητόν, τὸ μὴ αὐτοσχέδιον καὶ εἰκαῖον, ὁποῖα καὶ τὰ τῶν σκευῶν αὐτοκάβδαλα, ἀλλ' ἐπιμεμελημένον καὶ πολυδαίδαλον. οὕτω δέ που* (*δ*, 134.) *καὶ νῆμα φθάσας εἶπεν ἀσκητόν, τὸ ἐπιμεληθέν, ὃ γυνὴ ἀσκήσειαν ἂν ἔριθος, κατὰ τό, ἤσκειν εἴρια καλά* (Il. *γ*, 388.). Eust. cf. ad *δ*, 134.

κάμον] *μετὰ καμάτου ἐποίησεν* (sic). Vulg.

V. 190. *θάμνος*] *Θάμνος νῦν οὐ κατὰ τὴν συνήθειαν εἴρηται. ἡ μὲν γὰρ ἐλαία νῦν παχύκορμος ἠΰτε κίων. θάμνοι δὲ κυρίως τὰ ἐξ αὐτῆς ἀναφύσεως πολύκλαδα καὶ πυκνά, παρὰ τὸ θαμόν, ὅ ἐστι πυκνόν, ὁποία ἡ πρὸ τούτων φυλία ἡ ἐν τῇ τῶν Φαιάκων νήσῳ* (*ε*, 477.), *καὶ ὅσα τοιαῦτα.* Eust.

ἀκμηνὸς, θαλέθων· πάχετος δ' ἦν, ἠΰτε κίων.
τῷ δ' ἐγὼ ἀμφιβαλὼν θάλαμον δέμον, ὄφρ' ἐτέλεσσα
πυκνῇσιν λιθάδεσσι, καὶ εὖ καθύπερθεν ἔρεψα·
κολλητὰς δ' ἐπέθηκα θύρας, πυκινῶς ἀραρυίας.
καὶ τότ' ἔπειτ' ἀπέκοψα κόμην τανυφύλλου ἐλαίης·
κορμὸν δ' ἐκ ῥίζης προταμὼν, ἀμφέξεσα χαλκῷ

V. 191. ἀκμηνός] Ἀκμηνός νῦν ὀξύνεται. φασὶ γὰρ ὅτι Ἀρίσταρχος ἐνταῦθα μὲν ἐπὶ τοῦ, θάμνος ἀκμηνός, ὅ ἐστιν ἀκμὴν ἔχων τοῦ νεάζειν, ὠξυτόνησεν, ἐν δὲ Ἰλιάδι ἐπὶ τοῦ δηλοῦντος τὸν νῆστιν (Il. τ, 163. et 346.) ἐβαρυτόνησεν.' ἕτεροι δέ φασι καὶ δύο προπαροξυτόνησαν. ἑρμηνεία δὲ τῆς τοιαύτης λέξεως εὐθὺς κεῖται τὸ θαλέθων, ἵνα μὴ ἄλλως νοοῖτο. Eust. Ἄκμηνος. ἐπὶ μὲν τοῦ σίτου (cit. Il. τ, 163. et 207.)· ἐπὶ δὲ τοῦ ἀκμάζοντος (cit. n. l., non immutato accentu). Apollon.

V. 192. ἀμφιβαλών]· κτίσας. Vulg. Ἀντὶ τοῦ, ἔσω περιλαβών, περικλείσας. Eust.

V. 193. λιθάδεσσι] μικραῖς λίθοις. Vulg. Eust. ad ξ, 36. legit λιθάκεσσι.

V. 195. κόμην] Λέγεται κόμη δένδρων τὰ φύλλα τε καὶ οἱ λεπτοὶ δὲ κλαδίσκοι, διὰ τὸ εἰς κόσμον ἀπαιωρεῖσθαι καὶ αὐτὰ τοῖς φυτοῖς ὁμοίως τῇ κυρίως κόμῃ: οἱ δὲ τραγικοὶ καὶ φόβην αὐτὴν εἶπον, οἷον, πᾶσαν αἰκίζων φόβην ὕλης πεδιάδος (Sophocl. Antig. v. 419.). Eust.

V. 196. κορμὸν δ' ἐκ ῥίζης προταμών] ἀπὸ τῆς ῥίζης κορμὸν ποιήσας. Vulg. Τό, κορμὸν ἐκ ῥίζης προταμών, οὐ δηλοῖ κάτωθεν τὸν κορμὸν ἐκτμηθῆναι, τοῦτο γὰρ ἀπὸ πυθμένος ἐστὶ τμηθῆναι, οὐ μὴν κορμὸν προταμεῖν. διὸ καὶ ἐῤῥέθη κατωτέρω τό, ταμὼν ὑπὸ πυθμέν' ἐλαίης (v. 204.), ἵνα ὑποταμεῖν μὲν νοοῖτο τὸ κάτωθεν ἐκκόψαι τὸ παχὺ τοῦ πυθμένος, προταμεῖν δὲ τὸ ἄνωθέν ποθεν ἐκ κορμοῦ. καὶ οὐδὲ ἐξ ἀνάγκης τὸ προταμεῖν τὴν τοῦ ὅλου δηλοῖ ἐκκοπήν, ἀλλὰ μέρους τινός, ὡς δῆλον ἐκ τοῦ, νώτου ἀποπροταμών, ἐπὶ δὲ πλεῖον ἐλέλειπτο (θ, 475.). ὥστε οὐχ ὑπέτεμε μὲν Ὀδυσσεὺς κορμὸν ἀπὸ ῥίζης ἤτοι πυθμένος, ἀλλὰ προέτεμεν κορμόν, ἤγουν πρὸ τῆς ῥίζης ἔκοψεν, ὡς τὸ μὲν αὐτοῦ τμηθῆναι, τὸ δὲ λιπέσθαι. ἀπὸ τοῦ κείρω δὲ ὁ κορμός. Eust.

εὖ καὶ ἐπισταμένως, καὶ ἐπὶ στάθμην ἴθυνα,
ἑρμῖν' ἀσκήσας· τέτρηνα δὲ πάντα τερέτρῳ.
ἐκ δὲ τοῦ ἀρχόμενος λέχος ἔξεον, ὄφρ' ἐτέλεσσα,
δαιδάλλων χρυσῷ τε καὶ ἀργύρῳ ἠδ' ἐλέφαντι·
ἐκ δ' ἐτάνυσσα ἱμάντα βοὸς, φοίνικι φαεινόν.
οὕτω τοι τόδε σῆμα πιφαύσκομαι· οὐδέ τι οἶδα,
εἴ μοι ἔτ' ἔμπεδόν ἐστι, γύναι, λέχος, ἠέ τις ἤδη

V. 197. στάθμην] τὴν τεκτονικὴν σπάρτον. Vulg.

V. 198. ἑρμῖν'] κλινόποδα (ed. ant. ἑρμῖνα. κλινόποδας). ἕρμα γὰρ τῆς κλίνης. Vulg. Ἑρμῖνα καὶ νῦν τὸν κλινόποδα λέγει, καθὰ καὶ ἐν τοῖς περὶ Ἄρεος καὶ Ἀφροδίτης (Θ, 278.) ὃς γίνεταί φασιν οὐ μόνον παρὰ τὸ ἕρμα ἢ τὸν Ἑρμῆν, ὡς ἐκεῖ ἐλέχθη, ἀλλὰ καὶ παρὰ τὸ ἐνείρεσθαι τρήμασι κλίνης. Eust. Ἑρμῆς, ὁ Διὸς καὶ Μαίας τῆς Ἄτλαντος, παῖς ἔτι ὢν ἐν ἀνθρώποις τέσσαρα μέγιστα εὕρετο γράμματα, καὶ μουσικήν, καὶ παλαίστραν, καὶ γεωμετρίαν. ὅθεν καὶ τοὺς Ἕλληνας τετράγωνον αὐτὸν ἀσκῆσαι καὶ οὕτως ἐν τοῖς γυμνασίοις ἀναθεῖναι. τῷ δὲ ὀνειροπομπὸν εἶναι, καὶ τοὺς κοιμωμένους αὐτῷ εὔχεσθαι, καὶ αὐτὸν ἀναμένειν, εἵλοντο ἐν τοῖς θαλάμοις ἔχειν αὐτὸν φύλακα τοῦ ὕπνου, ἐπινοῆσαί τε (scr. cum Buttm. ἐπενόησαν δὲ) καὶ ἀσκῆσαι τοὺς τῶν κλινῶν πόδας εἰς τὴν τοῦ θεοῦ πρόσοψιν, ὅπως ἀλεξήτορας ἔχοντες ἰδέας (Barn. corr. ἰδίους, male) τὰ μὲν δείματα μὴ φοβοῖντο, προσδοκῷεν δὲ πλείστην ἐπαφροδισίαν διὰ τῶν ὀνειράτων. ἡ δὲ ἱστορία παρὰ Ἀπολλοδώρῳ τῷ Ἀθηναίῳ (v. Heyn. Fragm. Apollod. p. 399. ed. 2.). Vulg. fin. l.

τέτρηνα] ἐτόρνωσα. τερέτρῳ] τεκτονικῷ ἐργαλείῳ. Vulg.

V. 199. ἐκ δὲ τοῦ ἀρχόμενος] τοῦ ποδός. Id.

V. 201. ἐκ δ' ἐτάνυσσα ἱμάντα βοός] Τὸν τόνον λέγει τῆς κλίνης ἐξ ἱμάντος εἶναι βοείου φοινικοῦ τῷ χρώματι. Ambr. Q. Ὅρα καὶ ὅτι κατὰ χρῆσιν παλαιὰν ἱμάντα βοὺς ἀντὶ σχοίνου Ὀδυσσεὺς τείνει τῷ ὑπ' αὐτοῦ ἠσκημένῳ λέχει. βασιλικὸν μέντοι φοινικῷ βάμματι φαεινόν, ὁποῖος ἔπρεπε λέχει πολυτελεῖ, ὃ χρυσὸς καὶ ἄργυρος καὶ ἐλέφας κοσμεῖ. Eust. ἶφι κταμένοιο. Γρ. φοίνικι φαεινῷ. Harl.

V. 203. ἔμπεδον] ἀκίνητον ἢ ἐν τῷ πέδῳ ἑστώς. Vulg. Ἔμπεδον λέχος ἐνταῦθα πάνυ κυριολεκτεῖται, τὸ ἀκατάσειστον δηλαδὴ καὶ ἐπὶ τῆς παλαιᾶς ἕδρας ἑστώς. Eust.

ἀνδρῶν ἄλλοσε θῆκε, ταμὼν ὕπο πυθμέν' ἐλαίης.
Ὣς φάτο· τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,
σήματ' ἀναγνούσης, τά οἱ ἔμπεδα πέφραδ' Ὀδυσσεύς·
δακρύσασα δ' ἔπειτ' ἰθὺς δράμεν, ἀμφὶ δὲ χεῖρας
δειρῇ βάλλ' Ὀδυσῆϊ, κάρη δ' ἔκυσ', ἠδὲ προςηύδα·
Μή μοι, Ὀδυσσεῦ, σκύζευ, ἐπεὶ τά περ ἄλλα μάλιστα
ἀνθρώπων πέπνυσο· θεοὶ δ' ὤπαζον ὀϊζύν,
οἳ νῶϊν ἀγάσαντο παρ' ἀλλήλοισι μένοντε,

V. 204. *πυθμέν' ἐλ.*] Πυθμήν, ἡ ῥίζα, ἢ παρὰ τὸ φύω οἱονεὶ φυτμήν, ὅθεν καὶ ἡ ἀνάφυσις τοῦ φυτοῦ, ἢ καὶ παρὰ τὴν οἱονεὶ σῆψιν, ἣν ζωογόνον πάσχει τὸ κατὰ γῆς τεθὲν σπέρμα πρὸ τῆς ἀναφύσεως, ὡς ἀπὸ τοῦ πύθω τὸ σήπω. Eust. v. ν, 122. et 372.

V. 205. 206. *τῆς — ἀναγνούσης*] Σημείωσαι καὶ τό, τῆς δ' αὐτοῦ λύτο γούνατα σήματ' ἀναγνούσῃ, καινότερον φρασθέν. τὸ γὰρ κοινόν, ἢ τῆςδε ἀναγνούσης, ἢ τῇ δ' ἀναγνούσῃ ὁ δὲ γενικὴν δοτικῇ παρέθηκεν διά τε τὸ μυριαχοῦ φανὲν φύσει ἀσολοίκιστον τοῦ πλαγιασμοῦ, καὶ τὴν συγγένειαν τῶν δύο τούτων πτώσεων. Eust. v. Eust. ad ι, 256.

V. 209. *σκύζευ*] ὀργίζου. Vulg.

V. 211. *οἳ νῶϊν ἀγάσαντο*] Τὸ ἀγάσατο οὐ μακρὰν ἐνταῦθά ἐστι τοῦ ἐφθόνησεν ἢ ἐμέμψατο. καινὸν δ' ἐνταῦθα σχῆμα ἡ ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν ἀνακόλουθος μετάβασις ἐν τῷ, ὃς νῶϊν ἀγάσσατο, καὶ ἑξῆς. ἦν μὲν γὰρ ἀκόλουθον εἰπεῖν, ὃς ἡμῖν ἐφθόνησε παρ' ἀλλήλοισι μένουσι τέρπεσθαι, ἵνα ἦν ὁμοιόπτωτον τὸ ἡμῖν καὶ τὸ μένουσιν. ἡ δὲ Ὁμηρικὴ γυνὴ τὸ σχῆμα ἤλλαξε, καινότερον μέν, ἀσολοίκως δέ, καθὰ πολλαχοῦ γίνεται (v. ad ι, 256. et proxime ad v. 205.), εἰποῦσα ὅτι θεοὶ ἡμῖν ἐφθόνησαν τοῦ τέρπεσθαι δηλαδὴ ἡμᾶς μένοντας παρ' ἀλλήλοις, ὡς καὶ εἴ τις εἴποι, παραινῶ σοι ζῶντα σπουδαίως διάγειν τὸν βίον. καλὸν μὲν γὰρ καὶ τό, παραινῶ σοι ζῶντι σπουδαίως ποιεῖν τόδε. ἀσόλοικον ὁμοίως καὶ τό, παραινῶ σοι διάγειν σε τὸν βίον ζῶντα σπουδαίως. αἴτιον δὲ τῆς τοιαύτης ἀσφάλτου ἐναλλαγῆς τὸ

ἥβης ταρπῆναι, καὶ γήραος οὐδὸν ἱκέσθαι.
αὐτὰρ μὴ νῦν μοι τόδε χώεο, μηδὲ νεμέσσα,
οὕνεκά σ' οὐ τὸ πρῶτον, ἐπεὶ ἴδον, ὧδ' ἀγάπησα.
αἰεὶ γάρ μοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
ἐῤῥίγει, μήτις με βροτῶν ἀπάφοιτ' ἐπέεσσιν
ἐλθών· πολλοὶ γὰρ κακὰ κέρδεα βουλεύουσιν.
οὐδέ κεν Ἀργείη Ἑλένη, Διὸς ἐκγεγαυῖα,

μετὰ τὴν δοτικὴν ῥῆμα, ὃ προκαλεῖται τὴν ἐπαγομένην αἰτιατικήν. τοιοῦτον καὶ τό, χαίρω τῷ λόγῳ, ᾧ εἶπας, καὶ ὃν εἶπας, καὶ ἄλλα δὲ μυρία. Eust. ἀγάσαντο] ἐφθόνησαν. Ambr. Q.

V. 212. ταρπῆναι] Τὸ ταρπῆναι συνήθως καὶ νῦν γενικῇ συνέταξεν ἢ κατ' ἔλλειψιν τῆς διά προθέσεως, ἢ διὰ τὸ ληφθῆναι τὸ ταρπῆναι ἀντὶ τοῦ κορεσθῆναι. Eust.

V. 213. χώεο μηδὲ νεμέσσα] Δῆλον ὅτι πολλὴ διαφορὰ τοῦ χώεσθαι καὶ τοῦ νεμεσᾶν. ἐκεῖνο μὲν γὰρ εἰκὸς καὶ μὴ δικαίως γίνεσθαι, ἡ δὲ νέμεσις ἀεὶ σὺν τῷ δικαίῳ ἐστί. Id.

V. 214. ἀγάπησα] περιεπτυξάμην. Vulg. Τὸ ἀγάπησα ἀντὶ τοῦ, ἐφιλοφρονησάμην, καὶ ἔστιν ὅμοιον τῷ ἀμφαγαπάζειν. Eust.

V. 216. ἐῤῥίγει] ἐφοβεῖτο. Vulg. Τὸ ἐῤῥίγει ἐπίτασίς ἐστι προσοχῆς. οὐ γὰρ ἁπλῶς εὐλαβεῖτο τὴν ἐξ ἀνδρὸς ἀπάτην ἡ σώφρων Πηνελόπη, ἀλλὰ ἐῤῥίγει, καὶ οὐ κατὰ τὴν ἄλλως ῥιγεδανὴν Ἑλένην ἀπεριμερίμνως διέκειτο. παρακείμενος δὲ μέσος τοῦ ἐῤῥίγει τὸ ἔῤῥιγα. Eust.

V. 217. βουλεύουσι] ἐννοοῦσιν. Vulg.

V. 218. οὐδέ κεν Ἀργείη Ἑλένη] Τό, οὐδ' ἂν Ἀργείη Ἑλένη ἀνδρὶ ἀλλοδαπῷ ἐπιμύγη (scr. ἐπεμίγη), εἰ ᾔδη ὅ μιν αὖτις Ἀχαιοὶ ἐπαναγαγεῖν ἔμελλον οἴκαδε, τοιοῦτον ἔχει νοῦν, τελείας τιθεμένης στιγμῆς ἐν τῷ, εἰ ᾔδη. οὐκ ἄν φησιν οὐδὲ ἡ Ἑλένη παρ' ἀνδρὶ ἀλλοδαπῷ ἐγένετο, εἴπερ ἠπίστατο αὐτὸ δὴ τοῦτο τὸ παρ' ἐμοῦ λεχθὲν γνωμικὸν τό, πολλοὶ γὰρ κακὰ κέρδεα βουλεύουσιν ἤτοι βουλεύονται ἀπατητικῶς. διό φησιν ἔμελλον οἱ Ἀχαιοὶ ἄξειν αὐτὴν οἴκαδε ὡς ἀπατηθεῖσαν καὶ μεταμελομένην, καθὰ δηλοῖ τό, τίσασθαι δ' Ἑλένης ὁρμήματά τε στοναχάς τε, κείμενον ἐν Ἰλιάδι (β, 356. 590.) καὶ φασὶν οἱ παλαιοὶ περὶ τῆς ῥηθείσης ἀπάτης, ἣν ἔπαθεν ἡ Ἑλένη, ὅτι Ἀφροδίτη Μενελάῳ

ἀνδρὶ παρ᾽ ἀλλοδαπῷ ἐμίγη φιλότητι καὶ εὐνῇ,
εἰ ᾔδη, ὅ μιν αὖτις Ἀρήϊοι υἷες Ἀχαιῶν
ἀξέμεναι οἶκόνδε φίλην ἐς πατρίδ᾽ ἔμελλον.
τὴν δ᾽ ἤτοι ῥέξαι θεὸς ὤρορεν ἔργον ἀεικές·
τὴν δ᾽ ἄτην οὐ πρόσθεν ἑῷ ἐγκάτθετο θυμῷ

τὸν Ἀλέξανδρον εἰκάσασα παρήγαγεν ἤτοι ἠπάτησε τὴν Ἑλένην, παραλογισαμένη τῇ ὁμοιότητι, ὡς εὐλόγως λοιπὸν καὶ τὴν Πηνελόπην δεδοικέναι μὴ πάθοι τι ὅμοιον. καὶ οὕτω μέν τινες καλῶς τὸ ῥηθὲν ἡρμήνευσαν νόημα. Ἕτεροι δέ, τὴν ῥηθεῖσαν στιγμὴν ἀπάγοντες καὶ συνάπτοντες τὸ ὅλον εἰς νόημα ἕν, λέγουσι μέν, ὅτι οὐκ ἂν ἡ Ἑλένη ἐμίγη ἀλλοδαπῷ, εἴπερ ᾔδη ὅτι αὐτὴν ἐπανάξειν οἱ Ἀχαιοὶ ἔμελλον, κρίνονται δὲ μεμπτέοι τοῖς παλαιοῖς διὰ τὸ κακοσυμβίβαστον τῆς ἐννοίας. ἀδιανόητον γὰρ τὸ λέγειν τὴν Πηνελόπην, ὡς ἐδεδίειν μήπως ἀπατηθῶ, οὐδὲ γὰρ ἡ Ἑλένη συναπῆλθεν ἂν τῷ ἐκ Τροίας μειράκι, ἐὰν ἐγίνωσκεν ὅτι ἐπανακομισθήσεται εἰς τὴν πατρίδα. λέγοι γὰρ ἄν, ὅτι οὐ πόθῳ τοῦ ἀνδρός, ἀλλὰ φόβῳ τοῦ ἐπανακάμψαι εἰς αὐτόν, ἐπεῖχον τὸν γάμον. ἴσως δὲ καὶ οὕτω πως καθίσταται τὰ τῆς ἐννοίας ταύτης· ἐδεδίειν φησὶ τὴν ἀπάτην, μεθ᾽ ἣν ἀνάγκη πάντως ἦν ἐπανασωθῆναί με ζῶντι τῷ κουριδίῳ ἀνδρί, ὃ δὴ νόημα εἴπερ ἔσχε καὶ ἡ Ἑλένη, οὐκ ἂν ἡρπάγη. Eust. Ἀθετοῦνται οἱ ζ̄ (v. 218—224.), ὡς σκάζοντες κατὰ τὸν νοῦν· σώζοιντο δ᾽ ἄν, εἰ στίζοιμεν ἐπὶ τῷ, εἰ ᾔδη. καὶ τό ὅ ἀντὶ τοῦ διό. ὡς εἶναι, οὐδ᾽ ἂν ἡ Ἑλένη ἐμίγη παρὰ ἀλλοδαπῷ ἀνδρί, εἰ μὴ ἦν ἐξηπατημένη. διὸ αὐτήν, ἐπεὶ παρελογίσθη, οἱ Ἕλληνες ἐπανήγαγον. Οἱ δέ φασι, τὸν Ἀλέξανδρον Μενελάῳ εἰκασθέντα γνώμῃ Ἀφροδίτης μιγῆναι τῇ Ἑλένῃ. Vulg.

V. 220. *εἰ ᾔδη*] Ἐνταῦθα στικτέον· ἔπειτα ἀφ᾽ ἑτέρας ἀρχῆς προσενεκτέον, ὅ μιν αὖτις Ἀρήϊοι υἷες Ἀχαιῶν (haec verba novum lemma faciunt in ed. ant.). ὁ γὰρ λόγος, οὐκ ἂν ἡ Ἑλένη παρ᾽ ἀλλοφύλῳ ἀνδρὶ ἐμίγη, εἰ προεώρα τὸ μέλλον. διὸ καὶ ἐπανάξειν ἔμελλον αὐτὴν οἱ Ἕλληνες, ὡς μηδὲν ἡμαρτηκυῖαν. *ὅ μιν*] διὸ αὐτήν. Vulg. v. Eust. ad v. 218.

V. 222. *ὤρορεν*] Τὸ ὤρορε καὶ ἐνταῦθα μετάθεσιν τῆς αὐξήσεως ἔπαθεν, ἐξ Ἀττικοῦ μεταπεσὸν ὡς εἰς κοινὸν παρακείμενον. Eust.

V. 223. *τὴν δ᾽ ἄτην οὐ πρόσθεν*] Οὐ πρὸ τοῦ παθεῖν ἔγνω τὴν φρενοβλάβειαν. Vulg.

λυγρήν, ἐξ ἧς πρῶτα καὶ ἡμέας ἵκετο πένθος.
νῦν δ', ἐπεὶ ἤδη σήματ' ἀριφραδέα κατέλεξας
εὐνῆς ἡμετέρης, ἣν οὐ βροτὸς ἄλλος ὀπώπει,
ἀλλ' οἶοι, σύ τ' ἐγώ τε, καὶ ἀμφίπολος μία μούνη,
Ἀκτορίς, ἥν μοι δῶκε πατὴρ ἔτι δεῦρο κιούσῃ,
ἣ νῶϊν εἴρυτο θύρας πυκινοῦ θαλάμοιο,
πείθεις δή μευ θυμὸν, ἀπηνέα περ μάλ' ἐόντα.
Ὣς φάτο· τῷ δ' ἔτι μᾶλλον ὑφ' ἵμερον ὦρσε γόοιο.
κλαῖε δ' ἔχων ἄλοχον θυμαρέα, κέδν' εἰδυῖαν.
ὡς δ' ὅτ' ἂν ἀσπάσιος γῆ νηχομένοισι φανήῃ,
ὧντε Ποσειδάων εὐεργέα νῆ' ἐνὶ πόντῳ
ῥαίσῃ, ἐπειγομένην ἀνέμῳ καὶ κύματι πηγῷ·
παῦροι δ' ἐξέφυγον πολιῆς ἁλὸς ἤπειρόνδε
νηχόμενοι, πολλὴ δὲ περὶ χροῒ τέτροφεν ἅλμη·
ἀσπάσιοι δ' ἐπέβαν γαίης, κακότητα φυγόντες·
ὣς ἄρα τῇ ἀσπαστὸς ἔην πόσις εἰςοροώσῃ·

V. 225. ἀριφραδέα] Ἀντὶ τοῦ, ἀριφραδῶς. Harl.

V. 229. νῶϊν] ἡμῶν. Vulg.

V. 232. θυμαρέα] τῇ ψυχῇ ἀρέσκουσαν, εὐάρεστον. Id. Ὅρα τὸ θυμαρέα ἤγουν θυμήρη, ὡς ἀπὸ εὐθείας τῆς, ἡ θυμαρής. καὶ σημείωσαι ὅτι μετὰ τοῦ η μὲν βαρύνεται ἡ τοιαύτη λέξις, ὡς δῆλον ἐκ τοῦ, θυμῆρες κεράσασα κατὰ κρατός τε καὶ ὤμων (κ, 363.), διὰ δὲ τοῦ α ὀξύνεται, κανόνι ὁποίῳ καὶ ἡ εὐμαρής. Eust. cf. ad ρ, 199.

V. 233. ἀσπάσιος γῆ] Τό, ἀσπάσιος γῆ; Ἀττικόν ἐστι. τὸ γὰρ κοινόν, ἀσπασία, ἐξ οὗ καὶ κύριον ἡ παρὰ ταῖς ἱστορίαις σοφὴ γυνὴ Ἀσπασία. καιρία δὲ λέξις ἡ ῥηθεῖσα, διὸ καὶ νῦν ἐπιμονὴν ποιεῖ ἐν τῷ ἀσπάσιοι, καί, ἀσπαστὸς ἔην πόσις. Eust.

V. 235. κύματι πηγῷ] ἀπαγεῖ (εὐπαγεῖ recte emend. Majus)· ἢ μέλανι. Ambr. Q. v. ad ε, 388.

V. 237. τέτροφεν] πέπηγεν. Vulg. Eust. δέδρομεν] Γρ. τέτροφεν. Vind. 5, 56.

δειρῆς δ' οὔπω πάμπαν ἀφίετο πήχεε λευκώ.
καί νύ κ' ὀδυρομένοισι φάνη ῥοδοδάκτυλος Ἠώς,
εἰ μὴ ἄρ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη.
νύκτα μὲν ἐν περάτῃ δολιχὴν σχέθεν, Ἠῶ δ' αὖτε
ῥύσατ' ἐπ' Ὠκεανῷ χρυσόθρονον, οὐδ' ἔα ἵππους
ζεύγνυσθ' ὠκύποδας, φάος ἀνθρώποισι φέροντας,
Λάμπον καὶ Φαέθονθ', οἵτ' Ἠῶ πῶλοι ἄγουσιν.
καὶ τότ' ἄρ' ἣν ἄλοχον προσέφη πολύμητις Ὀδυσσεύς·
  Ὦ γύναι, οὐ γάρ πω πάντων ἐπὶ πείρατ' ἀέθλων
ἤλθομεν, ἀλλ' ἔτ' ὄπισθεν ἀμέτρητος πόνος ἔσται,

V. 243. ἐν περάτῃ] ἤδη πρὸς τῷ πέρατι καὶ τῷ τέλει οὖσαν. Vulg. Περάτην ἅπαξ ἐνταῦθά φησιν ὁ ποιητὴς κατὰ γένος θηλυκόν, καὶ δηλοῖ ἡ λέξις τὸ πέρας τοῦ Ὠκεανοῦ νῦν οὐ τὸ ἀνατολικόν, ἀλλὰ μᾶλλον τὸ δυτικόν, δι' οὗ ἔμελλεν ἡ νὺξ δῆθεν σωματικῶς κατελθεῖν, ὡς ἂν ἑτέρωθεν ἀνέλθῃ ἡ ἠώς. διὸ καὶ ὁ ποιητὴς εἶπε, νύκτα μὲν ἐν περάτῃ σχέθε, τῇ κατὰ δύσιν δηλαδή, ἠῶ δ' αὖτε ἐπ' Ὠκεανῷ, τῷ κατὰ ἀνατολήν, ὥστε μήτε ταύτην ἀναδῦναι, μήτε ἐκείνην καταδῦναι, ἵνα οὕτω μένῃ κατὰ χώραν τὸ σκίασμα τῆς γῆς. καὶ ἔστι πρὸς ταύτην τὴν ἔννοιαν ταυτὸν ἡ περάτη καὶ τὸ πέρας τοῦ Ὠκεανοῦ κατά τε δύσιν κατά τε ἀνατολήν, εἰ καὶ νῦν ὁ ποιητὴς δυτικὴν περάτην φησί. Eust.

δολιχὴν] οὐκ ἐν τῷ καθόλου, ἀλλὰ τότε ἐσομένην πρὸς ἀνάκτησιν τοῦ Ὀδυσσέως (ita Barn. ex Ms. pro corr. πρὸς ἀγανάκτησιν τοῦ ὅθεν. An: πρὸς ἀπόλαυσιν τοῦ Ὀδυσσέως, ut Ambr. Q. Πρὸς τέλει αὐτὴν οὖσαν δολιχὴν ἐπέσχεν, ὑπὲρ τοῦ εἰς πλέον ἀλλήλων ἀπολαῦσαι.). Vulg.

V. 244. ῥύσατ'] ἐκώλυσεν. Ambr. Q. Τό, ῥύσατο ἐπ' Ὠκεανῷ, οὐ κατὰ τό, ῥύσατο καὶ ἐσάωσεν, εἴρηται, ἀλλὰ κώλυσίν τινα δηλοῖ, διὸ καὶ ἐδέησεν ἑρμηνευθῆναι τὴν λέξιν ἐν τῷ, οὐδὲ ἔα ἵππους ζεύγνυσθαι ὠκύποδας. Eust.

V. 246. ἄγουσιν] Γρ. ἄγουσιν. Vind. 5.

V. 249. ἀμέτρητος] ὁ πολύς. Vulg. Πόνος ἀμέτρητος,

πολλὸς καὶ χαλεπός, τὸν ἐμὲ χρὴ πάντα τελέσσαι.
ὣς γάρ μοι ψυχὴ μαντεύσατο Τειρεσίαο
ἤματι τῷ, ὅτε δὴ κατέβην δόμον Ἄϊδος εἴσω,
νόστον ἑταίροισιν διζήμενος ἠδ' ἐμοὶ αὐτῷ.
ἀλλ' ἔρχευ, λέκτρονδ' ἴομεν, γύναι, ὄφρα καὶ ἤδη
ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντε.
Τὸν δ' αὖτε προσέειπε περίφρων Πηνελόπεια·
εὐνὴ μὲν δὴ σοίγε τότ' ἔσσεται, ὁππότε θυμῷ
σῷ ἐθέλῃς· ἐπεὶ ἄρ' σε θεοὶ ποίησαν ἱκέσθαι
οἶκον ἐϋκτίμενον καὶ σὴν ἐς πατρίδα γαῖαν.
ἀλλ' ἐπεὶ ἐφράσθης, καί τοι θεὸς ἔμβαλε θυμῷ,
εἴπ' ἄγε μοι τὸν ἄεθλον· ἐπεὶ καὶ ὄπισθεν, ὀΐω,
πεύσομαι· αὐτίκα δ' ἐστὶ δαήμεναι οὔτι χέρειον.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
δαιμονίη, τί τ' ἄρ' αὖ με μάλ' ὀτρύνουσα κελεύεις

ὃν οὐκ ἔστι μετρῆσαι, μᾶλλον δ' εἰπεῖν ἀναμετρῆσαι κατὰ τό, ὀλοὴν ἀναμετρήσαιμι Χάρυβδιν (μ, 428.). Eust. *πόνος*] κάματος. Vulg.

V. 254. *λέκτρονδ'*] εἰς τὴν κοίτην. Vulg.

V. 255. *ταρπώμεθα*] Ὅρα ὅτι τὸ ταρπῆναι γενικῇ πρὸ ὀλίγων συνταχθὲν (v. 212.) ἐνταῦθα καὶ ἄλλως φράζεται ἐν τῷ, ταρπώμεθα ὕπνῳ ὑπὸ γλυκερῷ. Eust.

V. 258. *ἐπεὶ ἄρ*] ἐπειδή. Vulg. Ὅτι ἁπλοϊκῶς καὶ κοινότερον κεῖται τὸ ἐποίησεν ἐν τῷ, ἐπεὶ ἄρ σε *θεὸς ποίησεν* ἱκέσθαι. Eust.

V. 260. *ἐφράσθης*] τουτέστιν ἐνεθυμήθης. Eust.

καί τοι θεὸς ἔμβαλε θυμῷ] τὸ εἰπεῖν, ὅτι ποιῆσαί σέ τι καὶ ἕτερον (Ms. Barn. ὕστερον) δεῖ. Vulg.

V. 262. *πεύσομαι*] ἀκούσομαι. *οὔτι*] οὐδαμῶς. Id.

V. 264. *τί τ' ἄρ* (ed. ant. *τί γάρ*)] τί δή ποτε. *ὀτρυνέουσα*] ἐπείγουσα. Id.

εἰπέμεν; αὐτὰρ ἐγὼ μυθήσομαι, οὐδ᾽ ἐπικεύσω.
οὐ μέν τοι θυμὸς κεχαρήσεται· οὐδὲ γὰρ αὐτὸς
χαίρω· ἐπεὶ μάλα πολλὰ βροτῶν ἐπὶ ἄστε᾽ ἄνωγεν
ἐλθεῖν, ἐν χείρεσσιν ἔχοντ᾽ εὐῆρες ἐρετμόν,
εἰςόκε τοὺς ἀφίκωμαι, οἳ οὐκ ἴσασι θάλασσαν
ἀνέρες, οὐδέ θ᾽ ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν·
οὐδ᾽ ἄρα τοίγ᾽ ἴσασι νέας φοινικοπαρήους,
οὐδ᾽ εὐήρε᾽ ἐρετμά, τάτε πτερὰ νηυσὶ πέλονται.
σῆμα δέ μοι τόδ᾽ ἔειπεν ἀριφραδές, οὐδέ σε κεύσω·
ὁππότε κεν δή μοι ξυμβλήμενος ἄλλος ὁδίτης
φήῃ, ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ,
καὶ τότε μ᾽ ἐν γαίῃ πήξαντ᾽ ἐκέλευεν ἐρετμόν,
ἔρξανθ᾽ ἱερὰ καλὰ Ποσειδάωνι ἄνακτι,
ἀρνειὸν, ταῦρόν τε, συῶν τ᾽ ἐπιβήτορα κάπρον,
οἴκαδ᾽ ἀποστείχειν, ἔρδειν θ᾽ ἱερὰς ἑκατόμβας
ἀθανάτοισι θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
πᾶσι μάλ᾽ ἑξείης· θάνατος δέ μοι ἐξ ἁλὸς αὐτῷ
ἀβληχρὸς μάλα τοῖος ἐλεύσεται, ὅς κέ με πέφνῃ
γήρα᾽ ὕπο λιπαρῷ ἀρημένον· ἀμφὶ δὲ λαοὶ
ὄλβιοι ἔσσονται· τάδε μοι φάτο πάντα τελεῖσθαι.
Τὸν δ᾽ αὖτε προσέειπε περίφρων Πηνελόπεια·
εἰ μὲν δὴ γῆράς γε θεοὶ τελέουσιν ἄρειον,

V. 266. κεχαρήσεται] Ὅρα ἐνταῦθα τὸ κεχαρήσεται παραχθὲν ἐκ τοῦ χαίρω, οὗ ὁ μέλλων χαρῶ κοινότερον, ὃς δὴ μέλλων ἀναδραμὼν εἰς περισπώμενον ἐνεστῶτα, χαρῶ χαρήσω, ποιεῖ τὸ κεχαρήσομαι, ὃ χρόνου ἐστὶ μετ᾽ ὀλίγον μέλλοντος. ἐκ δὲ τοῦ τοιούτου ῥήματος καὶ τό, κεχαρηότα νίκῃ (Il. η, 312.), καὶ ὅσα τοιαῦτα. Eust.

V. 267. sequ. ἐπεὶ μάλα πολλὰ κ. τ. ἑ.] v. λ, 121. sequ. usque ad v. 137.

ἐλπωρή τοι ἔπειτα κακῶν ὑπάλυξιν ἔσεσθαι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
τόφρα δ' ἄρ' Εὐρυνόμη τε ἰδὲ τροφὸς ἔντυον εὐνὴν
ἐσθῆτος μαλακῆς, δαΐδων ὕπο λαμπομενάων.
αὐτὰρ ἐπεὶ στόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι,
γρηῢς μὲν κείουσα πάλιν οἶκόνδε βεβήκει·
τοῖσιν δ' Εὐρυνόμη θαλαμηπόλος ἡγεμόνευεν
ἐρχομένοισι λέχοσδε, δάος μετὰ χερσὶν ἔχουσα·
ἐς θάλαμον δ' ἀγαγοῦσα, πάλιν κίεν· οἱ μὲν ἔπειτα
ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο.

V. 292. *κείουσα*] κοιμηθησομένη. Vulg.

V. 296. *ἀσπάσιοι λέκτροιο*] Ἀσπαστῶς καὶ ἐπιθυμητικῶς ὑπεμνήσθησαν τοῦ πάλαι τῆς συνουσίας νόμου. Ἀριστοφάνης καὶ Ἀρίσταρχος πέρας τῆς Ὀδυσσείας τοῦτο ποιοῦνται. Vulg. (Extrema habet etiam margo Vind. 133.). Τοῦτο τὸ τέλος τῆς Ὀδυσσείας φησὶν Ἀρίσταρχος καὶ Ἀριστοφάνης. Ambr. Q. Harl. Ἰστέον ὅτι κατὰ τὴν τῶν παλαιῶν ἱστορίαν Ἀρίσταρχος καὶ Ἀριστοφάνης, οἱ κορυφαῖοι τῶν τότε γραμματικῶν, εἰς τό, ἀσπάσιοι λέκτροιο παλαιοῦ θεσμὸν ἵκοντο, περατοῦσι τὴν Ὀδύσσειαν, τὰ ἐφεξῆς ἕως τέλους τοῦ βιβλίου νοθεύοντες. οἱ δὲ τοιοῦτοι πολλὰ τῶν καιριωτάτων περικόπτουσιν, ὥς φασιν οἱ αὐτοῖς ἀντιπίπτοντες, οἷον τὴν εὐθὺς ἐφεξῆς τῶν φθασάντων ῥητορικὴν ἀνακεφαλαίωσιν, καὶ τὴν τῆς ὅλης ὡς εἰπεῖν Ὀδυσσείας ἐπιτομήν, εἶτα καὶ τὸν ὕστερον ἀναγνωρισμὸν Ὀδυσσέως τὸν πρὸς τὸν Λαέρτην καὶ τὰ ἐκεῖ θαυμασίως πλαττόμενα, καὶ ἄλλα οὐκ ὀλίγα. εἰ δέ, διότι πολλὰ εὐανασκεύαστα ἐν τῇ ἀρχῇ τῆς ἐφεξῆς ῥαψῳδίας πεποίηνται, διὰ τοῦτο ἐνταῦθα τὴν Ὀδύσσειαν ἀποτερματίζουσιν, ἔστιν αὐτοῖς στενῶσαι καὶ συσφίγξαι καὶ οἷον σφηκῶσαι τὴν ὅλην ποίησιν ταύτην, ἀφελομένοις ἐκ μέσου τοῦ βιβλίου καὶ ὅσα ὁμοίως μυθικὰ καὶ οὐ πιθανὰ ἐν Φαιακίᾳ ἐλαλήθησαν. εἴποι ἂν οὖν τις, ὅτι Ἀρίσταρχος καὶ Ἀριστοφάνης οἱ ῥηθέντες οὐ τὸ βιβλίον τῆς Ὀδυσσείας, ἀλλὰ ἴσως τὰ καίρια ταύτης ἐνταῦθα συντετελέσθαι φασίν. Eust.

Αὐτὰρ Τηλέμαχος καὶ βουκόλος ἠδὲ συβώτης
παῦσαν ἄρ' ὀρχηθμοῖο πόδας, παῦσαν δὲ γυναῖκας·
αὐτοὶ δ' εὐνάζοντο κατὰ μέγαρα σκιόεντα.
Τὼ δ' ἐπεὶ οὖν φιλότητος ἐταρπήτην ἐρατεινῆς,
τερπέσθην μύθοισι, πρὸς ἀλλήλους ἐνέποντε·
ἡ μὲν, ὅσ' ἐν μεγάροισιν ἀνέσχετο δῖα γυναικῶν,
ἀνδρῶν μνηστήρων ἐσορῶσ' ἀΐδηλον ὅμιλον,
οἳ ἕθεν εἵνεκα πολλά, βόας καὶ ἴφια μῆλα,
ἔσφαζον· πολλὸς δὲ πίθων ἠφύσσετο οἶνος.
αὐτὰρ ὁ Διογενὴς Ὀδυσεύς, ὅσα κήδε' ἔθηκεν
ἀνθρώποις, ὅσα τ' αὐτὸς ὀϊζύσας ἐμόγησεν,
πάντ' ἔλεγ'· ἡ δ' ἄρ' ἐτέρπετ' ἀκούουσ', οὐδέ οἱ ὕπνος
πίπτεν ἐπὶ βλεφάροισι, πάρος καταλέξαι ἅπαντα.
Ἤρξατο δ', ὡς πρῶτον Κίκονας δάμασ'· αὐτὰρ ἔπειτα
ἦλθ' ἐς Λωτοφάγων ἀνδρῶν πίειραν ἄρουραν·
ἠδ' ὅσα Κύκλωψ ἔρξε, καὶ ὡς ἀπετίσατο ποινὴν

V. 300. ἐταρπήτην] ἐκορέσθησαν. Vulg.

V. 302. ἀνέσχετο] ὑπέμεινεν. Id.

V. 303. ἀΐδηλον ὅμιλον] v. ad π, 29. et χ, 165.

V. 309. καταλέξαι] καθ' ἕκαστον εἰπεῖν. Vulg.

V. 310. sequ. ἤρξατο δ' ὡς πρῶτον] Οὐ καλῶς ἠθέτησεν Ἀρίσταρχος τοὺς γ' καί λ' (v. 310—341.). ῥητορικὴν γὰρ πεποίηκεν ἀνακεφαλαίωσιν καὶ ἐπιτομὴν τῆς Ὀδυσσείας. Vulg. At margo Vind. 133. Ῥητορικὴν ποιεῖται ἀνακεφαλαίωσιν τῆς ὑποθέσεως καὶ ἐπιτομὴν τῆς Ὀδυσσείας. καλῶς οὖν ἠθέτησεν Ἀρίσταρχος τοὺς τρεῖς καὶ τριάκοντα.

V. 311. πίειραν] λιπαρήν. Ms. Barn.

V. 312. ἀπετίσατο ποινήν] Τό, ἀπετίσατο ποινήν, ἢ

ἰφθίμων ἑτάρων, οὓς ἤσθιεν, οὐδ᾽ ἐλέαιρεν·
ἠδ᾽ ὡς Αἴολον ἵκεθ᾽, ὅ μιν πρόφρων ὑπέδεκτο,
καὶ πέμπ᾽· οὐδέ πω αἶσα φίλην ἐς πατρίδ᾽ ἱκέσθαι
ἤην, ἀλλά μιν αὖτις ἀναρπάξασα θύελλα
πόντον ἐπ᾽ ἰχθυόεντα φέρεν μεγάλα στενάχοντα·
ἠδ᾽ ὡς Τηλέπυλον Λαιστρυγονίην ἀφίκανεν,
οἳ νῆάς τ᾽ ὄλεσαν καὶ ἐϋκνήμιδας ἑταίρους·
[πάντας· Ὀδυσσεὺς δ᾽ οἶος ὑπέκφυγε νηῒ μελαίνῃ·]
καὶ Κίρκης κατέλεξε δόλον, πολυμηχανίην τε·
ἠδ᾽ ὡς εἰς Ἀΐδεω δόμον ἤλυθεν εὐρώεντα,
ψυχῇ χρησόμενος Θηβαίου Τειρεσίαο,
νηῒ πολυκληῗδι, καὶ εἴςιδε πάντας ἑταίρους,
μητέρα θ᾽, ἥ μιν ἔτικτε, καὶ ἔτρεφε τυτθὸν ἐόντα·
ἠδ᾽ ὡς Σειρήνων ἀδινάων φθόγγον ἄκουσεν·

ἀντὶ τοῦ, ἀπέτισε ποινὴν ἑτάρων, ἢ ἀντὶ τοῦ, ἀπέτισε ποινὴν ὁ φαγὼν αὐτοὺς Κύκλωψ, τουτέστιν ἀπέδωκεν, ἢ Ὀδυσσεὺς ἐτίσατο ἐκεῖνον ἤγουν ἐτιμώρησεν εἰς ποινὴν τὴν ὑπὲρ τῶν φίλων. Eust.

V. 316. ἤην] ἀντὶ τοῦ ἦ. Ms. Barn.

V. 319. οἳ νῆάς τ᾽ ὄλεσαν] Ὅρα τό, οἳ νῆας ὤλεσαν, τουτέστίν οἱ Λαιστρυγόνες, ὡς ταυτὸν ὄν, Λαιστρυγονίην καὶ Λαιστρυγόνας εἰπεῖν. Eust.

V. 322. εὐρώεντα] ἤτοι πλατύν, παρὰ τὸ εὖρος· ἢ σκοτεινόν. Vulg. Γρ. ἠερόεντα. Vind. 5.

V. 326. ἀδινάων] Ἔνθα φασὶν οἱ παλαιοὶ τὸ ἀδινάων ἀντὶ τοῦ ἡδυφώνων, ᾠδικῶν, παρὰ τὸ ᾄδειν, ἢ μᾶλλον παρὰ τὸ ἡδύ. πέντε γάρ φασι τὸ ἀδινὸν σημαίνει, ἀθρόον, ὡς ἐν τῷ, μελισσάων ἀδινάων (Il. β, 87. coll. v. 469.), οἰκτρόν, ὡς ἐν τῷ, ἀδινὸν στοναχῆσαι (v. η, 274. et δ, 721. π, 216. coll. κ, 413.), ἥδιον ἤγουν ἡδύ, γλυκύ, ὡς ἐν τῷ, Σειρήνων ἀδινάων, πυκνὸν

ὥς θ' ἵκετο Πλαγκτὰς πέτρας, δεινήν τε Χάρυβδιν,
Σκύλλην θ', ἣν οὔ πώποτ' ἀκήριοι ἄνδρες ἄλυξαν·
ἠδ' ὡς Ἠελίοιο βόας κατέπεφνον ἑταῖροι·
ἠδ' ὡς νῆα θοὴν ἔβαλε ψολόεντι κεραυνῷ
Ζεὺς ὑψιβρεμέτης· ἀπὸ δ' ἔφθιθεν ἐσθλοὶ ἑταῖροι
πάντες ὁμῶς, αὐτὸς δὲ κακὰς ὑπὸ Κῆρας ἄλυξεν·
ὥς θ' ἵκετ' Ὠγυγίην νῆσον, Νύμφην τε Καλυψῶ,
ἣ δή μιν κατέρυκε, λιλαιομένη πόσιν εἶναι,
ἐν σπέσσι γλαφυροῖσι, καὶ ἔτρεφεν, ἠδὲ ἔφασκεν
θήσειν ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα·
ἀλλὰ τῷ οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν·
ἠδ' ὡς ἐς Φαίηκας ἀφίκετο, πολλὰ μογήσας,
οἳ δή μιν πέρι κῆρι, θεὸν ὥς, τιμήσαντο,
καὶ πέμψαν σὺν νηῒ φίλην ἐς πατρίδα γαῖαν,
χαλκόν τε χρυσόν τε ἅλις, ἐσθῆτά τε δόντες.
τοῦτ' ἄρα δεύτατον εἶπεν ἔπος, ὅτε οἱ γλυκὺς ὕπνος

καὶ ἰσχνόν, οἷον, ἀμφ' ἀδινὸν κῆρ (Il. π, 481.), καὶ ἠρέμα, ὡς ἐν τῷ, ἀδινῶς ἀνενείκατο φώνησέν τε (Il. τ, 314.). Eust.

V. 328. ἀκήριοι] χωρὶς κηρὸς (ed. ant. corr. κήρυκος), χωρὶς θανάτου. Vulg. Καὶ ἀκήριοι, ἀσθενεῖς. Ms. Barnes. v. ad μ, 98.

V. 330. ἔβαλεν] Νῦν ἀντὶ τοῦ ἔκλασεν (ed. ant. corr. ἔκλαυσεν). Vulg.

ψολόεντι] καυστικῷ. ψόλον γὰρ τὸ ἄσβολον ποιοῦν. Id. Ψολόεντι κεραυνῷ, τουτέστι αἶψα ὀλλύντι, ἢ ἀσβολοποιῷ. Ψόλος γάρ φασιν ἡ ἀσβόλη. Eust. Ψολόεντα κεραυνόν (ex Od. ω, 538.). ἤτοι τὸν τεφρώδη. ψόλος γὰρ ἡ αἰθάλη, ἤ, ὡς ἔνιοι συνθέτως, πεσολόεντα, τὸν διὰ τοῦ πεσεῖν ὀλοὺν γινόμενον, τουτέστιν ὀλοθρευτικὸν τούτοις, οἷς ἂν ἐμπέσῃ. ἢ τὸν κατὰ ψαῦσιν ὀλλύντα. ἢ τὸν μελαίνοντα. Apollon.

V. 342. δεύτατον] ἔσχατον. Vulg.

λυσιμελὴς ἐπόρουσε, λύων μελεδήματα θυμοῦ.
Ἡ δ' αὖτ' ἄλλ' ἐνόησε θεὰ γλαυκῶπις Ἀθήνη·
ὁππότε δή ῥ' Ὀδυσῆα ἐέλπετο ὃν κατὰ θυμὸν
εὐνῆς ἧς ἀλόχου ταρπήμεναι ἠδὲ καὶ ὕπνου,
αὐτίκ' ἀπ' Ὠκεανοῦ χρυσόθρονον Ἠριγένειαν
ὦρσεν, ἵν' ἀνθρώποισι φόως φέροι· ὦρτο δ' Ὀδυσσεὺς
εὐνῆς ἐκ μαλακῆς, ἀλόχῳ δ' ἐπὶ μῦθον ἔτελλεν·
Ὦ γύναι, ἤδη μὲν πολέων κεκορήμεθ' ἀέθλων
ἀμφοτέρω· σὺ μὲν ἐνθάδ' ἐμὸν πολυκηδέα νόστον
κλαίουσ'· αὐτὰρ ἐμὲ Ζεὺς ἄλγεσι καὶ θεοὶ ἄλλοι
ἱέμενον πεδάασκον ἐμῆς ἀπὸ πατρίδος αἴης·

V. 343. λυσιμελὴς] ὁ τὰ μέλη τοῦ σώματος παριείς. ἢ ἀμέριμνος. Id. cf. υ, 57.

V. 346. εὐνῆς] συγκαθευδήσεως. Vulg.

V. 348. ὦρσεν] Τὸν ὄρθρον φράζει, ὡς δηλοῖ τὸ ὦρσεν, οὗ θέμα ὄρω, ἐξ οὗ ὁ ὄρθρος. δοκεῖ δὲ τοιοῦτος εἶναι καιρὸς ὁ μικρόν τι πρὸ ἡλίου φαύσεως, ὡς δηλοῖ ἐφεξῆς τό, αὐτίκα γὰρ φάτις εἶσιν ἅμ' ἠελίῳ ἀνιόντι (v. 362.), ἤγουν ὅτε ἥλιος ἀνατείλῃ, μετὰ τὸν ὄρθρον δηλαδή, καθ' ὃν καὶ ἀνίστανται ὀρθρούμενοι ἄνθρωποι, ὡς τὰ πολλὰ οὐκ ἀναμένοντες ἥλιον. Eust.

V. 350. ὦ γύναι ἤδη μὲν πολέων] Ἡ σύνταξις οὕτως· ὦ γύναι, ἤδη μὲν πολέων κεκορήμεθ' ἀέθλων. νῦν δ' ἐπεὶ ἀμφοτέρω πολυήρατον ἱκόμεθ' εὐνήν, σὺ μὲν ἐν τοῖς οἴκοις ἐπιμελείας ἄξιον τὰ κτήματα. ἐγὼ γὰρ αὐτὸς λαφυραγωγήσω τὰ θρέμματα, ἅπερ οἱ μνηστῆρες κατέφαγον. Ambr. Q. Harl.

V. 351. 352. σὺ μὲν — αὐτὰρ ἐμέ] Ὅρα ὅτι σχήματός ἐστιν ἐξάλλαξις τό, σὺ μὲν ἐνθάδε κλαίουσα, ἐμὲ δὲ θεὸς ἄλγεσι πεδάασκε. τὸ γὰρ σαφὲς καὶ κοινὸν καὶ σύνηθες τοιοῦτον. σὺ μὲν ἐνθάδε κλαίουσα, ἐγὼ δὲ ἀλήτης ἐκ θεοῦ πεδούμενος ἄλγεσι. Eust.

V. 353. πεδάασκον] ἐνεπόδιζον. Vulg. ἐδέσμουν. Ambr. Q.

νῦν δ' ἐπεὶ ἀμφοτέρω πολυήρατον ἱκόμεθ' εὐνήν,
κτήματα μέν, τά μοί ἐστι, κομιζέμεν ἐν μεγά-
ροισιν·
μῆλα δ', ἅ μοι μνηστῆρες ὑπερφίαλοι κατέκειραν,
πολλὰ μὲν αὐτὸς ἐγὼ ληΐσσομαι, ἄλλα δ' Ἀχαιοὶ
δώσουσ', εἰςόκε πάντας ἐνιπλήσωσιν ἐπαύλους.
ἀλλ' ἤτοι μὲν ἐγὼ πολυδένδρεον ἀγρὸν ἔπειμι,
ὀψόμενος πατέρ' ἐσθλόν, ὅ μοι πυκινῶς ἀκάχηται·
σοὶ δέ, γύναι, τάδ' ἐπιτέλλω, πινυτῇ περ ἐούσῃ·
αὐτίκα γὰρ φάτις εἶσιν ἅμ' ἠελίῳ ἀνιόντι
ἀνδρῶν μνηστήρων, οὓς ἔκτανον ἐν μεγάροισιν·
εἰς ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξίν,

V. 354. πολυήρατον] πολύευκτον. Vulg.

V. 355. κτήματα] Κτήματα φανερῶς πάντα λέγει τὰ ἐν μεγάροις, ὥςπερ δὴ μῆλα πάντα τὰ θρέμματα. Eust.

κομιζέμεν] ὅ ἐστι, κόμιζε καὶ ἐπιμελοῦ. Id.

V. 356. κατέκειραν] κατεδαπάνησαν. Vulg.

V. 357. ληΐσσομαι] κτήσομαι. Id.

V. 358. ἐνιπλήσωσι] πληρώσωσιν. Id. ἐπαύλους] ἤτοι σταθμούς, αὐλάς, ἐπαύλεις. γράφεται δέ φασι καὶ μεσαύλους. Eust.

V. 359. ἀγρὸν ἔπειμι] Ὅρα τό, ἀγρὸν ἔπειμι, αἰτιατικῇ συνταχθὲν ἀντὶ τοῦ, ἐπὶ τὸν ἀγρὸν εἶμι. οἱ δὲ μεθ' Ὅμηρον καὶ μάχιμον οἴδασι τὴν λέξιν. ἐπιέναι γοῦν τις καὶ ἐπέρχεσθαί τινι λέγεται κατὰ δοτικὴν σύνταξιν. Eust.

V. 362. αὐτίκα γάρ] Σημείωσαι καὶ τό, αὐτίκα γάρ. ἔνθα ὁ γὰρ σύνδεσμος κεῖται συνήθως ἐν ἀρχῇ ἀντὶ τοῦ ἐπειδὴ ἢ διό, ἀποδιδόμενος εἰς τό, εἰς ὑπερῷ' ἀναβᾶσα. Eust.

φάτις] Φάτιν τὴν πολλαχοῦ δηλωθεῖσαν φήμην φησί. γίνεται δὲ ἐκ τοῦ φατίζω ἡ φάτις. ἡ μέντοι φάσις τῶν μεθ' Ὅμηρόν ἐστι, φιλοσόφοις τε ἐγνωσμένη, καὶ δικανικὴ λέξις οὖσα παρὰ τοῖς παλαιοῖς. Id.

εἶσιν] εἰςελεύσεται, διαδοθήσεται. Vulg.

V. 364. εἰς ὑπερῷ' ἀναβᾶσα] Καταλείπει τὴν γυναῖκα

ἧσθαι, μηδέ τινα προτιόσσεο, μηδ' ἐρέεινε.
Ἦ ῥα, καὶ ἀμφ' ὤμοισιν ἐδύσατο τεύχεα καλά·
ὦρσε δὲ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην,
πάντας δ' ἔντε' ἄνωγεν Ἀρήϊα χερσὶν ἑλέσθαι.
οἱ δέ οἱ οὐκ ἀπίθησαν, ἐθωρήσσοντο δὲ χαλκῷ·
ὤϊξαν δὲ θύρας, ἐκ δ' ἤϊον· ἦρχε δ' Ὀδυσσεύς.
ἤδη μὲν φάος ἦεν ἐπὶ χθόνα· τοὺς δ' ἄρ' Ἀθήνη
νυκτὶ κατακρύψασα θοῶς ἐξῆγε πόληος.

θαῤῥῶν τῷ πατρὶ αὐτῆς καὶ τοῖς ἀδελφοῖς, ἢ δῆθεν ὡς ἀγνοοῦσαν τῶν πεπραγμένων τὸ ἀληθές, ἢ ἐμπιστεύων τῇ Ἀθηνᾷ. Vulg.

V. 365. ἧσθαι] τουτέστι κάθησο. Eust. προτιόσσεο] ἤγουν πρόβλεπε. Id. προςδέχου. Ambr. Q. ἐρέεινε] ἤτοι προςφώνει. Eust.

V. 370. ἐκ δ' ἤϊον] ἐξῄεσαν δέ. Vulg.

V. 372. ἐξῆγε] ἐξέβαλεν. Id.

ΤΗΣ ΤΟΥ ΟΜΗΡΟΥ ΟΔΥΣΣΕΙΑΣ ΡΑΨΩΙΔΙΑ Η ΓΡΑΜΜΑ Ω.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ω ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Τὰς τῶν μνηστήρων ψυχὰς Ἑρμῆς εἰς Ἅιδου κατάγει. (*καὶ κατασκευὴ περὶ τῆς δευτέρας νεκυομαντείας γίνεται* add. Pal.) *καὶ ἀναγνωρισμὸς Ὀδυσσέως γίνεται πρὸς τὸν ἑαυτοῦ πατέρα Λαέρτην. καὶ ταραχὴν τοῖς Ἰθακησίοις γεγενημένην ἐπὶ τῇ τῶν μνηστήρων ἀναιρέσει Ἀθηνᾶ διακωλύει.* Eust. Vulg. Pal.

Ἄ λ λ ω ς.

Ψυχοπομπίαν. καὶ Ὀδυσσέως ἄφιξιν πρὸς Λαέρτην τὸν πατέρα εἰς τοὺς ἀγρούς, καὶ ἀναγνωρισμόν. ἐπιστρατείας τῶν Ἰθακησίων, καὶ συνθήκας Ἀθηνᾶς κελευσάσης. Ambr. Q.

Ἐ π ι γ ρ α φ α ί.

Σπονδαί, ἢ Νεκυία.

Ἄ λ λ ω ς.

Ω δ' Ὀδυσεὺς σὺν πατρὶ καὶ υἱέϊ μάρνατ' Ἀχαιοῖς.
(Barn. ex ed. Oxon. Vulg. *μάχετ' Ἀχαιοῖς.*)

Ὅτι τῆς τελευταίας ταύτης ῥαψῳδίας διπλῆ ἐπιγραφή. σπονδαὶ γὰρ ἢ νεκυία ἐπιγράφεται παρὰ τοῖς παλαιοῖς, τὸ μὲν ἐκ τοῦ τέλους ταύτης, ἔνθα σπονδαὶ τοῖς τε Ἰθακησίοις καὶ τοῖς περὶ τὸν Ὀδυσσέα γίνονται, τὸ δὲ ἐκ τῆς ἀρχῆς, καθ' ἣν Ἑρμῆς τὰς τῶν μνηστήρων ψυχὰς εἰς Ἅιδην κατάγει, ἐφ' ᾗ καταγωγῇ τερ-

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο
ἀνδρῶν μνηστήρων· ἔχε δὲ ῥάβδον μετὰ χερσὶν
καλὴν, χρυσείην, τῇτ' ἀνδρῶν ὄμματα θέλγει,
ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει·
τῇ ῥ' ἄγε κινήσας· ταὶ δὲ τρίζουσαι ἕποντο.

θρεύεται (an τερατεύεται) τὰ δοκοῦντα ὁ ποιητὴς κάτω που περὶ τὸν Ἅιδην, ἔνθα οἱ νέκυες, ἀφ' ὧν ἡ νεκυία παράγεται, τουτέστιν ἡ λέγουσα πραγματεία τὰ κατὰ τοὺς νέκυας. ἣν δὴ νεκυίαν τινὲς μὲν κατὰ τὴν μυῖαν γράφουσι (pr. νεκυῖαν), τινὲς δὲ κατὰ τὴν ὀξύαν, τὸ φυτόν, ἀφ' ἧς καὶ βέλη κατά τινας ὀξυόεντα. Eust.

V. 1. Ἑρμῆς δὲ ψυχάς] Ἀρίσταρχος ἀθετεῖ τὴν νεκυῖαν. Vulg.

Κυλλήνιος] Κυλλήνιος Ἑρμῆς μυθικῶς μὲν ἀπὸ Κυλλήνης, ἥτις ὄρος ἐστὶν Ἀρκαδίας, σταδίων ἐννέα Ὀλυμπιακῶν παρὰ πόδας ὀγδοήκοντα, καθά φασιν ἱστορεῖν Ἀπολλόδωρον, ὀνομασθὲν ἀπὸ Κυλλήνης ἡρωΐδος τινός. περιᾴδεται δέ, διαφερόντως ἐν τοῖς περὶ τὸ τοιοῦτον ὄρος τιμᾶσθαι τὸν Ἑρμῆν, κἀκεῖθεν σχεῖν τὸ λεχθὲν ἐπίθετον. κατὰ μέντοι ἀλληγορίαν Κυλλήνιος, ὁ τοῦ ὕπνου δοτήρ, ὁ τὰς ἡνίας τῶν κύλων ἢ κυλάδων ἔχων, ὃ δηλοῖ τὰ ὑπὸ τοὺς ὀφθαλμούς. ὅθεν καὶ κυλοιδιᾶν παρ' Ἀττικοῖς, τὸ τὰ κύλα τῶν ὀφθαλμῶν οἰδεῖν ἐκ μακροϋπνίας τυχὸν ἢ ἀϋπνίας. Eust.

ἐξεκαλεῖτο] ἐξῆγεν, ἔξω ἐκάλει. Vulg. τουτέστιν ἔξω τοῦ δώματος ἔφερε, προνοούμενός φασι τὰ Ὀδυσσέως, οἷα πρόγονος ἐκείνου, εἴπερ Ἑρμοῦ μὲν Ἀρκείσιος, αὐτοῦ δὲ Λαέρτης ὁ τοῦ Ὀδυσσέως πατήρ, καὶ διὰ τοῦτο τὰς φιλοσωμάτους ψυχὰς ἐκφέρων, καὶ τῆς ἐξ ἐκείνων μήνιδος ἐκκαθαίρων τὸν τοῦ ἀπογόνου οἶκον. — Ἰστέον δ' ὡς ἐκ τοῦ, Ἑρμῆς δὲ ψυχὰς ἐξεκαλεῖτο, τὸν ψυχοπομπὸν συντιθέντες τινὲς ἐπίθετον αὐτὸ εἶπον Ἑρμοῦ. Eust.

V. 2. ἔχε δὲ ῥάβδον] v. ε, 47. sequ.

V. 5. τρίζουσαι] Ὅτι φωνήν τινα ταῖς προπεμπομέναις εἰς Ἅιδην ψυχαῖς τῶν μνηστήρων πλάττων ὁ ποιητὴς τρίζειν αὐτάς φησι κατά τινα ὀνοματοποιΐαν τῷ μύθῳ ἀρέσκουσαν, ὡς εἶναι αὐταῖς τοῦτο οἷά τινα κλαυθμυρισμόν. — Ἰστέον δὲ ὅτι τρύζειν μὲν διὰ τοῦ ῡ ψιλοῦ ἐπὶ τρυγόνων, αἳ καὶ ἀπὸ τοῦ τοιούτου γίνονται ῥήματος, τρίζειν δὲ κυρίως ἐπὶ νυκτερίδων. — Ἰστέον

ὡς δ' ὅτε νυκτερίδες μυχῷ ἄντρου θεσπεσίοιο
τρίζουσαι ποτέονται, ἐπεί κέ τις ἀποπέσῃσιν
ὁρμαθοῦ ἐκ πέτρης, ἀνά τ' ἀλλήλῃσιν ἔχονται·
ὣς αἱ τετριγυῖαι ἅμ' ἤϊσαν· ἦρχε δ' ἄρα σφιν
Ἑρμείας ἀκάκητα κατ' εὐρώεντα κέλευθα.
πὰρ δ' ἴσαν Ὠκεανοῦ τε ῥοὰς καὶ Λευκάδα πέτρην,

δὲ ὅτι μυθικῶς ταῖς ψυχαῖς ἐπελέχθη τρισμός, οἷα λόγου μὲν ἐνάρθρου ἐστερημέναις, ἄλλως δὲ θορυβούσαις. Eust.

V. 6. θεσπεσίοιο] Θεσπέσιον ἄντρον οὐχ ἁπλῶς οὕτω παρέῤῥιπται, ἀλλ' ὅτι θεῖα τὰ ἄντρα ἐνομίζοντο οἷα σύμβολα κόσμου κατὰ Πορφύριον. Id.

V. 7. ποτέονται] πέτονται. Vulg.

ἀποπέσῃσιν] ἐπειδὰν μία αὐτῶν τῆς συνεδρίας ἐκπέσῃ. ὁρμαθὸς δὲ τὸ ἐξ εἱρμοῦ ἄθροισμα. Ambr. Q.

V. 8. ὁρμαθοῦ ἐκ πέτρης] τῆς ἐπαλλήλου πετρώδους ἐπισυνθέσεως· ἢ ἀλλήλαις ἀνημμένας (Barn. corr. συνημμέναι), παρὰ τὸ εἴρειν. ἐπιφέρει γάρ, ἀνά τ' ἀλλήλῃσιν ἔχονται. Vulg. τόπου ἐπαλλήλου πετρώδους συνθέσεως. ἢ τοῦ τῶν νυκτερίδων ἀθροίσματος. Hesych. Ὁρμαθός, στίχος, ἤγουν τὸ σύστημα, ἀπὸ τοῦ ἐν αὐτοῖς ἁρμόζεσθαι. Etymol. M.

V. 10. ἀκάκητα] Ἔνιοι μέν, ἀμέτοχος κακῶν (ed. ant. vitiose, ἀμέτροχος, κακῶς)· ἔστι γὰρ ὁ θεὸς δοτὴρ ἀγαθῶν (cf. Hymn. in Merc. min. v. 12. χαῖρ' Ἑρμῆ χαριδῶτα, διάκτορε, δῶτορ ἐάων). ἔνιοι ἀπὸ Ἀκακησίου ὄρους ἐν Ἀρκαδίᾳ. δοκεῖ γὰρ ὁ θεὸς Ἀρκὰς εἶναι. Vulg. Ἀκάκητα. ἀντὶ τοῦ ἀκακήτης, τῇ κλητικῇ ἀντὶ τῆς εὐθείας. λέγεται δὲ οὕτως ὁ Ἑρμῆς, ὁ μηδενὸς κακοῦ περιποιητικός. Apollon.

V. 11. Λευκάδα πέτρην] πρὸς τοῖς καταχθονίοις μέρεσι. Vulg. Ἰστέον ὅτι Λευκάδα μὲν πέτραν ὁ μῦθος πρὸς τῷ Ἅιδῃ πλάττει ἢ κατὰ ἀντίφρασιν, μέλας γὰρ ἐκεῖ σκότος, ἢ καὶ διὰ τοὺς ἐσχάτους τῆς ἐκεῖ γῆς τόπους, οὓς εἰκὸς τὸν ἥλιον ἔτι διαλευκαίνειν δυόμενον. ὅτι δὲ καθ' ἱστορίαν Λευκὰς τόπος ἠπειρωτικός, ἧς οἱ ἐγχώριοι Λευκάδιοι, δῆλόν ἐστι. Eust. Λευκάδα πέτρην. διὰ ταύτης λέγεται τῆς πέτρας τὸν Ὠκεανὸν φέρεσθαι. ἢ ἀλληγορικῶς, τὸ στόμα ἡμῶν τῶν ἀνθρώπων, διὰ τὸ τοὺς

ἠδὲ παρ' Ἠελίοιο πύλας καὶ δῆμον Ὀνείρων
ἤϊσαν· αἶψα δ' ἵκοντο κατ' ἀσφοδελὸν λειμῶνα,
ἔνθα τε ναίουσι ψυχαί, εἴδωλα καμόντων.
Εὗρον δὲ ψυχὴν Πηληϊάδεω Ἀχιλῆος,
καὶ Πατροκλῆος καὶ ἀμύμονος Ἀντιλόχοιο,

ὀδόντας λευκοὺς εἶναι. αἱ γὰρ ψυχαὶ τῶν τελευτώντων διὰ τοῦ στόματος ἀνέρχονται. Hesych.

V. 12. Ἠελίοιο πύλας] Πύλας ἡλίου λέγει τὰς οἷον συγκλειούσας ἐκεῖνον κρύψεις, γενόμενον πρὸς δυσμαῖς, ἃς δὴ πύλας εἰςδυόμενος ὡς ὑπὸ κευθμῶνάς τινας, γίνεται ἀφανής. Eust.

δῆμον Ὀνείρων] τὴν νύκτα, ἐν ᾗ φαίνονται οἱ ὄνειροι. Vulg. Τό, δῆμον Ὀνείρων, ὡς ἐπὶ ἐμψύχων καὶ σωματοειδῶν εἶπε, νύκτωρ ἡμῖν ἐκεῖθεν δῆθεν ἐπιφοιτώντων. οἰκεῖον δὲ καὶ αὐτοῖς αἱ δυσμαί, οὐ μὴν ἡ ἀνατολή. τοῖς γὰρ νυκτὸς καὶ ἁπλῶς ἐν ὕπνῳ φαινομένοις προσφυὲς καὶ τὸ νυκτῶδες τοῦ τόπου. — Ἰστέον δὲ καὶ ὅτι πιθανεύεται ὁ μῦθος ὀνείροις τόπον εἶναι περί που τὰ κατὰ τὸν Ἅιδην, οὗ οἱ τεθνεῶτες, ἐπεὶ καὶ ἀδελφοὶ θάνατος καὶ ὕπνος εἶναι λέγονται. Eust.

V. 13. ἀσφοδελὸν λειμῶνα] Ἐν λειμῶνί τέ φησι τὰς ψυχὰς οἰκεῖν, ἐπεὶ καὶ ἐκ μελιᾶν (Hesiod. εργ. v. 144.). οὐ μέντοι τὸν Ἀχέροντα διαβαίνουσιν. ἄταφοι γὰρ τέως εἰσίν. Ambr. Q. Ἀσφοδελὸν εἶδος βοτάνης, ἐξ οὗ ἐάν τις φάγοι (scr. φάγῃ), οὐκέτι διψᾷ οὐδὲ πεινᾷ. δηλοῖ δὲ διὰ τούτου, ὅτι οἱ ἐν τῷ Ἅιδῃ οὐδὲ ἐσθίουσιν οὐδὲ πίνουσιν. Id. Ἄκαρπον φυτὸν ὁ ἀσφόδελος. νῦν τὸν τόπον λέγει τὸν ἀσφοδελώδη. Vulg. (Suidas herbam προπαροξυτόνως, locum, cit. n. l., ὀξυτόνως legendum judicat.) v. ad λ, 539. coll. v. 572.

V. 14. καμόντων] Γρ. θανόντων. Vind. 5.

V. 15. εὗρον δὲ ψυχήν] Ὅτι πρός τε πλατυσμόν, πρός τε παραδοξοποιΐαν, πρός τε ποικιλίαν ποιήσεως, τεχνᾶταί τι κἀνταῦθα Ὅμηρος, ὧν καὶ ἐν τῇ πρώτῃ νεκυίᾳ πεποίηκε. καὶ πλάττει ὡς ἐν ἠθοποιΐᾳ εἰδωλοποιητικῇ Ἀχιλλέα τε τὸν αὐτῷ φίλον, ἔτι δὲ καὶ τὸν εὐρυκρείοντα Ἀγαμέμνονα, διομιλουμένους ἀλλήλοις τὰ εἰκότα βιωτικώτερον. ἐν οἷς ἄλλα τε κατορθοῖ ὁ ποιητής, καὶ Τρωϊκαῖς ἱστορίαις ἀρτύει συνήθως τὴν ποίησιν, καὶ μύθοις χρᾶται, ὧν στερουμένη ποίησις οὐκ ἂν εἴη ἔτι ποίησις. Eust. Ceterum cf. λ, 467—470.

Αἴαντός θ', ὃς ἄριστος ἔην εἶδός τε δέμας τε
τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλείωνα.
ὣς οἱ μὲν περὶ κεῖνον ὁμίλεον· ἀγχίμολον δὲ
ἤλυθ' ἔπι ψυχὴ Ἀγαμέμνονος Ἀτρείδαο
ἀχνυμένη· περὶ δ' ἄλλαι ἀγηγέραθ', ὅσσαι ἅμ' αὐτῷ
οἴκῳ ἐν Αἰγίσθοιο θάνον καὶ πότμον ἐπέσπον.
τὸν προτέρη ψυχὴ προσεφώνεε Πηλείωνος·
Ἀτρείδη, περὶ μέν σε φάμεν Διῒ τερπικεραύνῳ
ἀνδρῶν ἡρώων φίλον ἔμμεναι ἤματα πάντα·
οὕνεκα πολλοῖσίν τε καὶ ἰφθίμοισιν ἄνασσες
δήμῳ ἔνι Τρώων, ὅθι πάσχομεν ἄλγε' Ἀχαιοί.
ἦ τ' ἄρα καὶ σοὶ πρῶτα παραστήσεσθαι ἔμελλεν
Μοῖρ' ὀλοή, τὴν οὔτις ἀλεύεται, ὅς κε γένηται.
ὡς ὄφελες τιμῆς ἀπονήμενος, ἧςπερ ἄνασσες,
δήμῳ ἔνι Τρώων θάνατον καὶ πότμον ἐπισπεῖν·
τῷ κέν τοι τύμβον μὲν ἐποίησαν Παναχαιοί,
ἠδέ κε καὶ σῷ παιδὶ μέγα κλέος ἤρα' ὀπίσσω.

V. 28. πρῶτα] ἤγουν πρὸ καιροῦ, κατὰ τοὺς Ἀττικούς. Eust. πρωτι] (sic ed. ant., quod Buttm. conjicit esse πρωΐ, addito τι) πρὸ τοῦ δέοντος καιροῦ. πόθεν δὲ ᾔδει ὁ Ἀχιλλεύς; εἰκὸς παρ' ἄλλου πεπύσθαι αὐτόν. οὐ γάρ τι ἐν Ἅιδου ἔστιν διασκοπεῖν, ἀλλ' ὅτι αὐτή ἐστιν ἡ ὑπόθεσις. Vulg.

παραστήσεσθαι] παραγενήσεσθαι. ἔμελλεν] ἐῴκει. Id.

V. 29. τὴν οὔτις ἀλ. — γένηται] τουτέστιν, ἣν ὀλοὴν μοῖραν οὐδεὶς ἐκφεύγει τῶν ἐν γενέσει, κἂν εὐδαιμονοίη. Eust., qui, ἣν οὔτις, exhibet, non τήν.

V. 30. ἀπονήμενος] ὄνησιν καὶ ὠφέλειαν λαβών. Vulg. ἀντὶ τοῦ, κερδήσας, καὶ ὄνησίν τινα σχὼν τῆς βασιλείας, δι' ἧς ἄνασσες, ἢ ἧς ἕνεκεν ἄνασσες. οὐ γὰρ τιμῆς ἀνάσσει τις, ἀλλὰ χάριν ἢ ἕνεκεν τιμῆς. Eust.

V. 33. ἤραο] (ita recte ed. ant., non ἤραο cum rec.) ἀπήνεγκας. Vulg.

νῦν δ' ἄρα σ' οἰκτίστῳ θανάτῳ εἵμαρτο ἁλῶναι.
Τὸν δ' αὖτε ψυχὴ προσεφώνεεν Ἀτρείδαο·
ὄλβιε Πηλέος υἱὲ, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
ὃς θάνες ἐν Τροίῃ, ἑκὰς Ἄργεος· ἀμφὶ δέ σ' ἄλλοι
κτείνοντο Τρώων καὶ Ἀχαιῶν υἷες ἄριστοι,
μαρνάμενοι περὶ σεῖο· σὺ δ' ἐν στροφάλιγγι κονίης
κεῖσο μέγας μεγαλωστὶ, λελασμένος ἱπποσυνάων.
ἡμεῖς δὲ πρόπαν ἦμαρ ἐμαρνάμεθ'· οὐδέ κε πάμπαν
παυσάμεθα πτολέμου, εἰ μὴ Ζεὺς λαίλαπι παῦσεν.
αὐτὰρ ἐπεί σ' ἐπὶ νῆας ἐνείκαμεν ἐκ πολέμοιο,
κάτθεμεν ἐν λεχέεσσι, καθήραντες χρόα καλὸν
ὕδατί τε λιαρῷ καὶ ἀλείφατι· πολλὰ δέ σ' ἀμφὶ

V. 36. Πηλέος] Ἰστέον ὅτι Ἰωνικῶς ἐκλίθη τό, Πηλέος, διὸ συστέλλει τὴν λήγουσαν ἐν τοῖς ἀκριβεστέροις τῶν ἀντιγράφων. Eust.

V. 39. σὺ δὲ στροφάλιγγι κονίης] Παρόσον ὁ ἄνεμος ἀνακινῶν τὸν κονιορτὸν ποιεῖ τοιαῦτα. Ambr. Q. Στροφάλιγγα κονίης καὶ ἀέλλης εἰπεῖν, ταυτόν ἐστιν, ἐπεὶ καὶ τὸ στρέφειν καὶ τὸ εἱλεῖν ὅμοια, ὧν τὸ μὲν τὴν στροφάλιγγα παράγει, τὸ δὲ τὴν ἄελλαν. Eust.

V. 40. κεῖσο — ἱπποσυνάων] ὃς δὴ ὁλοδάκτυλος στίχος κεῖταί που ἐν Ἰλιάδι (π, 776.). Eust.

V. 42. λαίλαπι] ἀνέμῳ, βροντῇ. Ambr. Q.

V. 43. ἐνείκαμεν] ἠνέγκαμεν. Vulg.

V. 44. κάτθεμεν] κατεθέμεθα. Id.

χρόα καλόν] Χρόα καλὸν λέγει τὸν τοῦ νέκυος Ἀχιλλέως, ἢ ὡς ποτὲ τοιοῦτον, ὅτε δηλαδὴ ἔζη, ἢ καὶ ὡς μετὰ θάνατον. τερατεύεται γὰρ καὶ τοιαῦτα ἡ ποίησις, ὡς δηλοῖ καὶ ἐπὶ τοῦ νεκροῦ Πατρόκλου τό, ἔμπεδος αὐτῷ ἔσται χρώς, ἢ καὶ ἀρείων (Il. τ, 33.). Eust.

V. 45. ἀλείφατι] Ἄλειφαρ ἢ τὸ ἔλαιόν φησιν, ἢ καὶ εἶδός τι ἀλείμματος εὐώδους ἕτερον. Id.

δάκρυα θερμὰ χέον Δαναοί, κείροντό τε χαίτας.
μήτηρ δ' ἐξ ἁλὸς ἦλθε σὺν ἀθανάτῃς ἁλίῃσιν,
ἀγγελίης ἀΐουσα· βοὴ δ' ἐπὶ πόντον ὀρώρει
θεσπεσίη· ὑπὸ δὲ τρόμος ἔλλαβε πάντας Ἀχαιούς·
καί νύ κ' ἀναΐξαντες ἔβαν κοίλας ἐπὶ νῆας,
εἰ μὴ ἀνὴρ κατέρυκε, παλαιά τε πολλά τε εἰδώς,
Νέστωρ, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή·
ὅ σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
Ἴσχεσθ', Ἀργεῖοι, μὴ φεύγετε, κοῦροι Ἀχαιῶν·
μήτηρ ἐξ ἁλὸς ἥδε σὺν ἀθανάτῃς ἁλίῃσιν,
ἔρχεται, οὗ παιδὸς τεθνηότος ἀντιόωσα.
Ὣς ἔφαθ'· οἱ δ' ἔσχοντο φόβου μεγάθυμοι Ἀχαιοί·
ἀμφὶ δέ σ' ἔστησαν κοῦραι ἁλίοιο γέροντος,
οἴκτρ' ὀλοφυρόμεναι, περὶ δ' ἄμβροτα εἵματα ἕσσαν.

V. 47. ἀθανάτῃς ἁλίῃσιν] Τὰς Νηρηΐδας παραφράζων ἀθανάτας τε ἁλίας λέγει, καὶ κούρας ἁλίοιο γέροντος (v. 58.), τοῦ Νηρέως δηλαδή. Ἐνταῦθα ἰστέον ὅτι κοινῶς μὲν Νηρηΐδες πᾶσαι αἱ τοῦ Νηρέως θυγατέρες. παραδέδοται δὲ ἄλλως, ὅτι ἐν ὑπομνήματι Βακχυλίδου τοῦ λυρικοῦ διαφορὰ Νηρεΐδων φέρεται καὶ Νηρέως θυγατέρων οὕτως. εἰσὶν οἵ φασι διαφέρειν τὰς Νηρεΐδας τῶν τοῦ Νηρέως θυγατέρων, καὶ τὰς μὲν ἐκ Δωρίδος γνησίας αὐτοῦ θυγατέρας νομίζεσθαι, τὰς δὲ ἐξ ἄλλων κοινότερον Νηρεΐδας καλεῖσθαι. πιθανὸν οὖν, τὰς μὲν ἐκ μιᾶς τῆς Δωρίδος, γνησιωτέρας τῶν ἄλλων οὔσας, Νηρέως θυγατέρας λέγεσθαι, Νηρεΐδας δὲ τὰς συνεισάκτους. Καὶ ὅρα ἐν τούτοις τὸ Νηρεΐδας κοινὸν ὂν ἢ καὶ Ἀττικόν. τὸ γὰρ Νηρηΐδας Ἰωνικώτερον ἐκ τῆς Νηρῆος Ἰώνων γενικῆς. Id.

V. 48. ἀγγελίης] Νῦν, τοῦ θρήνου. Vulg.

V. 50. ἔβαν κοίλας ἐπὶ νῆας] Ἀπὸ τοῦ ναυστάθμου τῶν Μυρμιδόνων ἐφοίτων ἐπὶ τὰς ἰδίας ναῦς. Ambr. Q.

V. 57. φόβου] ἤγουν φυγῆς. Eust.

V. 59. ἕσσαν] τουτέστιν ἐνέδυσαν. Id.

Μοῦσαι δ' ἐννέα πᾶσαι, ἀμειβόμεναι ὀπὶ καλῇ,
θρήνεον· ἔνθα κεν οὔτιν' ἀδάκρυτόν γ' ἐνόησας
Ἀργείων· τοῖον γὰρ ὑπώρορε Μοῦσα λίγεια.
ἑπτὰ δὲ καὶ δέκα μέν σε ὁμῶς νύκτας τε καὶ ἦμαρ
κλαίομεν, ἀθάνατοί τε θεοὶ, θνητοί τ' ἄνθρω-
ποι·
ὀκτωκαιδεκάτῃ δ' ἔδομεν πυρί, πολλὰ δέ σ' ἀμφὶ
μῆλα κατεκτάνομεν μάλα πίονα, καὶ ἕλικας βοῦς.
καίεο δ' ἔν τ' ἐσθῆτι θεῶν καὶ ἀλείφατι πολλῷ,
καὶ μέλιτι γλυκερῷ· πολλοὶ δ' ἥρωες Ἀχαιοὶ
τεύχεσιν ἐῤῥώσαντο πυρὴν πέρι καιομένοιο,
πεζοί θ' ἱππῆές τε· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
αὐτὰρ ἐπεὶ δή σε φλὸξ ἤνυσεν Ἡφαίστοιο,
ἠῶθεν δή τοι λέγομεν λεύκ' ὀστέ', Ἀχιλλεῦ,

V. 61. ἐνόησας] ἐθεάσω. Vulg.

V. 62. τοῖον γὰρ ὑπώρορε] Λείπει τό, πένθος. Ambr. Q.

V. 65. ἔδομεν] ἐδώκαμεν. ἔδομεν πυρί] Ἀντὶ τοῦ, ἐκαύσαμεν. Vulg. Τό, ἔδομεν πυρί, περίφρασίς ἐστι τοῦ, ἐκαύσαμεν. ἔχει δέ τι καινὸν ἐνταῦθα τὸ πυρί οὐδέτερον, ὡς λεχθὲν κοινότερον. ἄλλως γὰρ ἐπὶ τῶν τοιούτων ἡ πυρὰ κυριολεκτεῖται, ὡς δηλοῖ καὶ τό, ἐῤῥώσαντο πυρὴν πέρι καιομένοιο (v. 69.). Eust.

πολλὰ δ' ἐπ' αὐτῷ] Γρ. πολλὰ δέ σ' ἀμφίς. Vind. 5. et 56.

V. 67. ἔν τ' ἐσθῆτι θεῶν] τῇ δεδομένῃ ὑπὸ Νηρηΐδων. Ambr. Q. Ἐσθῆτα θεῶν λέγει τὰ μυθικῶς ἄμβροτα εἵματα τὰ ἀνωτέρω ῥηθέντα (v. 59.), κατά τινα ὡς εἰκὸς ὄντα καὶ βασιλικά, καὶ διὰ τοῦτο ἐπικηρυσσόμενα θείᾳ κλήσει. Eust.

V. 69. ἐῤῥώσαντο] ἐῤῥωμένως ἐκινήθησαν. Id. ad ψ, 3. et ad n. l. τεύχεσι ῥώσασθαι, ἤτοι ἐῤῥωμένως κινηθῆναι.

V. 71. ἤνυσεν] Τό, ἤνυσε φλόξ, ἀντὶ τοῦ, ἔκαυσεν, ἐτελείωσεν. λέξις δὲ αὕτη οὐ ποιητικὴ μέν, καιριωτάτη δέ. Id.

V. 72. λέγομεν] συνήγομεν. Vulg. Eust.

οἴνῳ ἐν ἀκρήτῳ καὶ ἀλείφατι· δῶκε δὲ μήτηρ
χρύσεον ἀμφιφορῆα· Διωνύσοιο δὲ δῶρον
φάσκ' ἔμεναι, ἔργον δὲ περικλυτοῦ Ἡφαίστοιο.
ἐν τῷ τοι κεῖται λεύκ' ὀστέα, φαίδιμ' Ἀχιλλεῦ,
μίγδα δὲ Πατρόκλοιο Μενοιτιάδαο θανόντος·
χωρὶς δ' Ἀντιλόχοιο· τὸν ἔξοχα τῖες ἁπάντων
τῶν ἄλλων ἑτάρων, μετὰ Πάτροκλόν γε θανόντα.
ἀμφ' αὐτοῖσι δ' ἔπειτα μέγαν καὶ ἀμύμονα τύμβον
χεύαμεν Ἀργείων ἱερὸς στρατὸς αἰχμητάων,
ἀκτῇ ἔπι προὐχούσῃ, ἐπὶ πλατεῖ Ἑλλησπόντῳ·
ὥς κεν τηλεφανὴς ἐκ ποντόφιν ἀνδράσιν εἴη

V. 73. οἴνῳ — ἀλείφατι] Τὸ ἐν ἀκράτῳ οἴνῳ καὶ ἀλείφατι, τουτέστιν ἐλαίῳ ἢ ἄλλως ἀλοιφῇ τινι λίπους, τὰ ὀστᾶ τῶν τεθνεώτων τίθεσθαι, σόφισμα ἦν τοῦ παραμένειν αὐτὰ εἰς μακρόν. Eust.

V. 74. Διωνύσοιο δὲ δῶρον] Ἥντινα δέδωκεν αὐτῇ ὁ Διόνυσος, ὅταν (scr. ὅτε) παρὰ τοῦ Λυκούργου διωκόμενος κατέφυγεν εἰς αὐτήν. τοῦτο δὲ εὑρήσεις ἐν τῇ Ἰλιάδι (ζ, 130 sequ.) πλατύτερον. Ambr. Q. Ἔργον περικλυτοῦ Ἡφαίστοιο, τοῦτο μὲν διὰ τὸ ἐν πυρὶ τεχνικῶς κατειργάσθαι, ἐκεῖνο δὲ (np. Διονύσοιο δῶρον) διὰ τὸ ἐπιτετηδεῦσθαι ὑποδέχεσθαι οἶνον, εἰς ὃν ἀλληγορεῖται Διόνυσος. Eust.

V. 77. μίγδα] Τὸ μίγδα ἐκ τοῦ μίγδην μεταπέπλασται, ὡς ἐκ τοῦ κρύβδην καὶ κύβδην τὸ κρύβδα καὶ κύβδα. Eust.

V. 81. ἱερὸς στρατός] Ἱερὸν στρατὸν λέγει τὸν Ἑλληνικόν, ὡς ὑπὲρ ἀρετῆς τολυπεύσαντα τὸν δεκαετῆ ἐκεῖνον πόλεμον. Id.

V. 82. προὐχούσῃ] προεχούσῃ, ἐξεχούσῃ. Vulg. Ἀκτὴ προὔχουσα ἡ αὐτὴ ἂν εἴη τῇ προβλῆτι ἀκτῇ, περὶ ἧς εἴρηται ἀλλαχοῦ (ε, 405. κ, 89.). Eust. ἐπὶ πλατεῖ Ἑλλησπόντῳ] cf. Il. η, 86.

V. 83. τηλεφανής] ἐκ διαστήματος φαινόμενος. ποντόφιν] τῆς θαλάσσης (ὡς πτυόφιν add. Barn. ex Il. ν, 588.) Vulg.

τοῖς, οἳ νῦν γεγάασι, καὶ οἳ μετόπισθεν ἔσονται.
μήτηρ δ᾽, αἰτήσασα θεοὺς, περικαλλέ᾽ ἄεθλα
θῆκε μέσῳ ἐν ἀγῶνι ἀριστήεσσιν Ἀχαιῶν.
ἤδη μὲν πολέων τάφῳ ἀνδρῶν ἀντεβόλησας
ἡρώων, ὅτε κέν ποτ᾽ ἀποφθιμένου βασιλῆος
ζώννυνταί τε νέοι, καὶ ἐπεντύνονται ἄεθλα·
ἀλλά κε κεῖνα μάλιστα ἰδὼν ἐτεθήπεας θυμῷ,
οἷ᾽ ἐπὶ σοὶ κατέθηκε θεὰ περικαλλέ᾽ ἄεθλα,
ἀργυρόπεζα Θέτις· μάλα γὰρ φίλος ἦσθα θεοῖσιν.
ὣς σὺ μὲν οὐδὲ θανὼν ὄνομ᾽ ὤλεσας, ἀλλά τοι αἰεὶ
πάντας ἐπ᾽ ἀνθρώπους κλέος ἔσσεται ἐσθλόν, Ἀχιλλεῦ.

V. 89. *ζώννυνται*] *ἐν περιζώμασιν ἀγωνίζονται.* Vulg. *Τὸ ζώννυνται ὡς ἀπὸ μέρους τοῦ πλείονος εἴληπται. ἡνιόχοι μὲν γὰρ καὶ τοξόται καὶ ἀκονтισταὶ καὶ δισκοβόλοι ζώννυνται, δρομεῖς δὲ καὶ παλαισταὶ γυμνοὶ ἀθλοῦσι.* Eust. *εὐτρεπίζονται πρὸς τὰ ἆθλα* (reliqua ad sententiam Eustathii). Ambr. Q. cujus glossa modo citata pertinet ad: *ἐπεντύνονται ἄεθλα.*

V. 90. *ἐτεθήπεας θυμῷ*] Eust. *ἐτεθήπεα ἢ ἐτεθήπεας*, et inferius: *Τὸ ἐτεθήπεα, ἤγουν ἐθαύμασα θυμῷ, δηλοῖ μὲν τὸ κατὰ ψυχὴν θάμβος, οὐ μὴν τὸ κατὰ λόγον προφορικόν. γράφεται δὲ καί, τεθήπεας,* (scr. *ἐτεθ.* ut supra) *ἐν δευτέρῳ προσώπῳ, ὥσπερ καὶ ἀνωτέρω αὐτοῦ* (v. 87.) *τὸ ἀντεβόλησας, ἵνα λέγῃ ὁ βασιλεὺς τῷ Ἀχιλλεῖ, ὅτι πολλοῖς μὲν τάφοις περιέτυχες καὶ ἀγῶσιν, ἰδὼν δ᾽ ἂν ἐκεῖνα τὰ κατὰ σὲ μάλιστα ἐθαύμασας ἄν. ἔτι γράφεται τὸ αὐτὸ καί, ἐτεθήπεο, καὶ σημαίνει τὸ αὐτό, ἤγουν τὸ ἐθαύμασας. καὶ ἔστιν ἡ τοιαύτη γραφὴ Δωρικὴ Συρακουσία, ἔνθα σύνηθες, τὸν παρακείμενον μετάγειν εἰς ἐνεστῶτα. ἐκ τοῦ πέπληγα γοῦν καὶ πέφυκα πεπλήγω καὶ πεφύκω φασὶν οἱ ἐκεῖ. ὥστε οὕτω καὶ ἐκ τοῦ τέθηπα τεθήπω γίνεται Δωρικῶς, οὗ παθητικὸς ἐτεθηπόμην ἐτεθήπου, καὶ Ἰωνικῇ διαλύσει ἐτεθήπεο. τὸ μέντοι ἐτεθήπεα καὶ ἐτεθήπεας κοινοῦ ὑπερσυντελικοῦ μεταποίησίς ἐστιν Ἰωνική. ὡς γὰρ τὸ ἐτετύφειν ἐτετύφεις, ἐτετύφεα καὶ ἐτετύφεας οἱ Ἴωνες λέγουσιν, οὕτω καὶ τὸ ἐτεθήπειν ἐτεθήπεις, ἐτεθήπεα ἐτεθήπεας.* Idem Eust. *ἀλλά γε*, non *ἀλλά κε.*

αὐτὰρ ἐμοὶ τί τόδ᾽ ἦδος, ἐπεὶ πόλεμον τολύπευσα;
ἐν νόστῳ γάρ μοι Ζεὺς μήσατο λυγρὸν ὄλεθρον,
Αἰγίσθου ὑπὸ χερσὶ καὶ οὐλομένης ἀλόχοιο.
  Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον. —
ἀγχίμολον δέ σφ᾽ ἦλθε διάκτορος Ἀργειφόντης,
ψυχὰς μνηστήρων κατάγων, Ὀδυσῆϊ δαμέντων·
τὼ δ᾽ ἄρα θαμβήσαντ᾽ ἰθὺς κίον, ὡς ἐσιδέσθην.
ἔγνω δὲ ψυχὴ Ἀγαμέμνονος Ἀτρείδαο
παῖδα φίλον Μελανῆος, ἀγακλυτὸν Ἀμφιμέδοντα·
ξεῖνος γάρ οἱ ἔην, Ἰθάκῃ ἔνι οἰκία ναίων.
τὸν προτέρη ψυχὴ προςεφώνεεν Ἀτρείδαο·
  Ἀμφίμεδον, τί παθόντες ἐρεμνὴν γαῖαν ἔδυτε,
πάντες κεκριμένοι καὶ ὁμήλικες; οὐδέ κεν ἄλλως
κρινάμενος λέξαιτο κατὰ πτόλιν ἄνδρας ἀρίστους.
ἦ ὔμμ᾽ ἐν νήεσσι Ποσειδάων ἐδάμασσεν,
ὄρσας ἀργαλέους ἀνέμους καὶ κύματα μακρά;
ἤ που ἀνάρσιοι ἄνδρες ἐδηλήσαντ᾽ ἐπὶ χέρσου,
βοῦς περιταμνομένους ἠδ᾽ οἰῶν πώεα καλά,

V. 95. ἦδος] ἤγουν ἡδονὴ καὶ ὄνησις. Eust.

τολύπευσα] κατειργασάμην. Vulg. Eust.

V. 106. ἐρεμνήν] Ἰστέον ὅτι ταυτόν, μέλαιναν γῆν εἰπεῖν καὶ ἐρεμνὴν γαῖαν. Eust.

V. 107. κεκριμένοι] Κεκριμένοι, οἱ ἐπιλελεγμένοι. διὸ καὶ ἐπήγαγε παραθείς, οὐδ᾽ ἂν ἄλλως κρινάμενος λέξαιτο, ἤγουν διακρίνας ἐπιλέξαιτο. λείπει δὲ ἐν τῷ διακρίνας εὐθεῖα, ἵνα λέγῃ, ὅτι οὐδ᾽ ἂν ἄλλως τις διακρίνας λέξαιτο. ἢ καὶ ἑτέρως εἰπεῖν, οὐδ᾽ ἂν ἄλλως λέξαιτο, εἴ τις κρίνοι. εἰ μὴ ἄρα τὸ ἄλλος εἴη ἀντωνυμία. τότε γὰρ ἀνελλιπῶς ἔχει ὁ λόγος. δῆλον δέ ὡς ταυτὸν κρῖναι καὶ λέξασθαι, ἀφ᾽ ὧν τοῦ μὲν ὁ ἔκκριτος, τοῦ δὲ οἱ παρ᾽ Εὐριπίδῃ (Hecub. v. 525. cf. Suppl. v. 356.) λεκτοὶ νεανίαι, καὶ ὁ ἐπίλεκτος, καὶ ὁ λογάς, καὶ ἐπιλέγδην ἐπίῤῥημα. Id.

V. 112. περιταμνομένους] περιελαύνοντας. Vulg. cf. λ, 402.

ἠὲ περὶ πτόλιος μαχεούμενοι ἠδὲ γυναικῶν;
εἰπέ μοι εἰρομένῳ· ξεῖνος δέ τοι εὔχομαι εἶναι.
ἦ οὐ μέμνῃ, ὅτε κεῖσε κατήλυθον ὑμέτερον δῶ,
ὀτρυνέων Ὀδυσῆα, σὺν ἀντιθέῳ Μενελάῳ
Ἴλιον εἰς ἅμ᾽ ἕπεσθαι ἐϋσσέλμων ἐπὶ νηῶν;
μηνὶ δ᾽ ἄρ᾽ οὔλῳ πάντα περήσαμεν εὐρέα πόντον,
σπουδῇ παρπεπιθόντες Ὀδυσσῆα πτολίπορθον.

V. 115. κεῖσε] ἤγουν εἰς Ἰθάκην. τὸ δέ, ἐκεῖσε κατῆλθον, ἢ ἀντὶ τοῦ, ἐνελιμενίσθην, ἢ ἀντὶ τοῦ ἁπλῶς ἦλθον. Ἀττικοὶ μέντοι καὶ τὸ τὸν φυγάδα εἰς τὴν πατρίδα νοστῆσαι κατελθεῖν λέγουσιν, ἐπεὶ καὶ ἡ πατρὶς ἑκάστοις οἷά τις λιμήν ἐστι. Eust.

V. 116. σὺν ἀντιθ. Μενελάῳ] Τό, σὺν Μενελάῳ, σχῆμά τι ἀμφιβολίας ἐμφαῖνον, λέγει ὅμως, οὐχ ὅτι καὶ τὸν Μενέλαον ὤτρυνεν εἰς μάχην ὁ βασιλεύς, ἀλλ᾽ ὅτι κατῆλθεν εἰς Ἰθάκην σὺν Μενελάῳ, ἢ καί, ὅτι καὶ αὐτὸς καὶ ὁ Μενέλαος τὸν Ὀδυσσέα ὤτρυνον. Id.

V. 118. οὔλῳ] ὅλῳ. Vulg. ὅλῳ καὶ ἀκεραίῳ. Eust.

V. 119. σπουδῇ] τουτέστι μόλις, ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη (v. Il. ε, 893. λ, 562. ψ, 37.). ὤκνει γὰρ τὸν πόλεμον διὰ τὸ μέγεθός φασι τοῦ κινδύνου καὶ τὸ τῆς μάχης δυςκατόρθωτον. (infra idem Eust. Ἰστέον ὅτι Ὅμηρος μὲν οὐκ ἀναγκαστὸν τῷ Ὀδυσσεῖ γενέσθαι ἱστορεῖ τὸν εἰς Ἴλιον πλοῦν, εἰς ὃν ἄμφω οἱ βασιλεῖς ἥκουσιν οὐ βιασόμενοι, ἀλλ᾽ ὀτρυνέοντες καὶ σπουδῇ παραπείσοντες συμπλεῦσαι εἰς Ἴλιον. μηνὶ γὰρ οὔλῳ κατειργάσαντο διὰ πειθοῦς ἐκεῖνον, οἷα κατὰ σύνεσιν ἢ καὶ ἐκ μαντείας εἰδότα τὸ τῆς Τρωϊκῆς μάχης δυσαποτέλεστον. κ. τ. λ.) καθὰ καὶ ὁ λαμπρὸς Ἀμφιάραος μόλις ἐπείσθη ταῖς Θήβαις ἐπιστρατεῦσαι. καὶ Ἀχιλλεὺς δὲ ὁμοίως τῇ Τροίᾳ, ὁ καὶ ἀνδρεῖος καὶ καλός. οὕτω τοίνυν μηνὶ οὔλῳ τὸν Ὀδυσσέα πείσαντές φησιν ἐπερήσαμεν πόντον. Eust. σπουδῇ] μόλις. ἤθελε δὲ κρύπτειν ἑαυτὸν (ὁ Ὀδυσσεύς, μὴ βουλόμενος στρατεύεσθαι, οὐ διὰ δειλίαν add. Barn. ex Ms.), ἀλλ᾽ ὡς συνετὸς ἀνὴρ ὁρῶν τὸ μέγεθος τοῦ πολέμου, ὅθεν εἰκὸς τὸν Ἀγαμέμνονα παρὰ τῷ Ἀμφιμέδοντι (Barn. conjic. παρὰ τῷ Ἀμφιμέδοντος πατρί v. παρὰ τοῖς τοῦ Ἀμφιμέδοντος ob verba Eustathii: ἐπεξενώθη τοῖς τοῦ Ἀμφιμέδοντος) μένειν, καὶ οὐ παρὰ τῷ Ὀδυσσεῖ. Vulg.

Τὸν δ' αὖτε ψυχὴ προσεφώνεεν Ἀμφιμέδοντος·
[Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,]
μέμνημαι τάδε πάντα, Διοτρεφές, ὡς ἀγορεύεις·
σοὶ δ' ἐγὼ εὖ μάλα πάντα καὶ ἀτρεκέως καταλέξω,
ἡμετέρου θανάτοιο κακὸν τέλος, οἷον ἐτύχθη.
μνώμεθ' Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα·
ἡ δ' οὔτ' ἠρνεῖτο στυγερὸν γάμον, οὔτε τελεύτα,
ἡμῖν φραζομένη θάνατον καὶ Κῆρα μέλαιναν·
ἀλλὰ δόλον τόνδ' ἄλλον ἐνὶ φρεσὶ μερμήριξεν·
στησαμένη μέγαν ἱστὸν ἐνὶ μεγάροισιν ὕφαινεν,
λεπτὸν καὶ περίμετρον· ἄφαρ δ' ἡμῖν μετέειπεν·
κοῦροι, ἐμοὶ μνηστῆρες, ἐπεὶ θάνε δῖος Ὀδυσσεύς,
μίμνετ' ἐπειγόμενοι τὸν ἐμὸν γάμον, εἰςόκε φᾶρος
ἐκτελέσω – μή μοι μεταμώνια νήματ' ὄληται –
Λαέρτῃ ἥρωϊ ταφήϊον, εἰς ὅτε κέν μιν
Μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο·
μήτις μοι κατὰ δῆμον Ἀχαιϊάδων νεμεσήσῃ,
αἴ κεν ἄτερ σπείρου κῆται, πολλὰ κτεατίσσας.
ὣς ἔφαθ'· ἡμῖν δ' αὖτ' ἐπεπείθετο θυμὸς ἀγήνωρ.
ἔνθα καὶ ἠματίη μὲν ὑφαίνεσκεν μέγαν ἱστόν,
νύκτας δ' ἀλλύεσκεν, ἐπὴν δαΐδας παραθεῖτο.
ὣς τρίετες μὲν ἔληθε δόλῳ, καὶ ἔπειθεν Ἀχαιούς·

V. 122. μέμνημαι τάδε πάντα] συνταχθέντος νῦν ἀρχαϊκῶς τοῦ μέμνημαι μετὰ αἰτιατικῆς. Eust.

V. 129. sequ. στησαμένη] v. β, 94. sequ. et τ, 139. sequ.

V. 133. μεταμώλια] μάταια, ἐκ τοῦ μὴ ὀνεῖν, κρᾶσει τοῦ η καὶ ο εἰς ω μέγα. Ambr. Q. Schol. Harl. μεταμώνια. v. ad β, 98. σ, 332 et 392.

ἀλλ᾽ ὅτε τέτρατον ἦλθεν ἔτος, καὶ ἐπήλυθον ὧραι,
[μηνῶν φθινόντων, περὶ δ᾽ ἤματα πόλλ᾽ ἐτελέσθη,]
καὶ τότε δή τις ἔειπε γυναικῶν, ἣ σάφα ᾔδη,
καὶ τήνγ᾽ ἀλλύουσαν ἐφεύρομεν ἀγλαὸν ἱστόν.
ὣς τὸ μὲν ἐξετέλεσσε, καὶ οὐκ ἐθέλουσ᾽, ὑπ᾽ ἀνάγ-
κης.
εὖθ᾽ ἡ φᾶρος ἔδειξεν, ὑφήνασα μέγαν ἱστόν,
πλύνασ᾽, ἠελίῳ ἐναλίγκιον ἠὲ σελήνῃ·
καὶ τότε δή ῥ᾽ Ὀδυσῆα κακός ποθεν ἤγαγε δαίμων
ἀγροῦ ἐπ᾽ ἐσχατιήν, ὅθι δώματα ναῖε συβώτης.
ἔνθ᾽ ἦλθεν φίλος υἱὸς Ὀδυσσῆος θείοιο,
ἐκ Πύλου ἠμαθόεντος ἰὼν σὺν νηῒ μελαίνῃ·
τὼ δὲ μνηστῆρσιν θάνατον κακὸν ἀρτύναντε,
ἵκοντο προτὶ ἄστυ περικλυτόν· ἤτοι Ὀδυσσεὺς
ὕστερος, αὐτὰρ Τηλέμαχος πρόσθ᾽ ἡγεμόνευεν.
τὸν δὲ συβώτης ἦγε, κακὰ χροῒ εἵματ᾽ ἔχοντα,
πτωχῷ λευγαλέῳ ἐναλίγκιον ἠδὲ γέροντι·
[σκηπτόμενον· τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο·]
οὐδέ τις ἡμείων δύνατο γνῶναι τὸν ἐόντα,
ἐξαπίνης προφανέντ᾽, οὐδ᾽ οἳ προγενέστεροι ἦσαν·
ἀλλ᾽ ἔπεσίν τε κακοῖσιν ἐνίσσομεν ἠδὲ βολῇσιν.

V. 147. φᾶρος ἔδειξεν] Τό, φᾶρος ἔδειξεν, ἀντὶ τοῦ, ἡλίῳ ἔφηνεν, εἰς φῶς ἤγαγεν. Ἱστὸς δὲ κυρίως μὲν ἐργαλεῖον ὑφαντικόν, ὁμώνυμον τῷ τοῦ πλοίου ἱστῷ, παρὰ τὸ ἵστασθαι. νῦν δὲ ἐπὶ ὑφάσματος ἡ λέξις κεῖσθαι δοκεῖ, ὡς δηλοῖ τό, ὑφήνασα μέγαν ἱστόν, οὗ μέρος τὸ φᾶρος, εἰ μὴ ἄρα ταυτὸν ἐνταῦθα φᾶρος καὶ μέγας ἱστός. τὸ δὲ ῥηθὲν φᾶρος καὶ σπεῖρον ἐν τοῖς πρὸ τούτων ὠνόμασται. Eust.

V. 148. πλύνασ᾽] Τὸ πλύνειν, ὃ νῦν ἐπὶ λινέου φάρους ἐῤῥέθη, γναφεύειν ἢ κναφεύειν ἐπὶ τῶν ἐριωδῶν λέγεται. Id.

V. 158. σκηπτόμενον] τῇ ῥάβδῳ ἐπερειδόμενον. Ambr. Q.

V. 161. ἐνίσσομεν] (ed. rec. ἐνίπτομεν) ἐπεπλήττομεν.

αὐτὰρ ὁ τέως μὲν ἐτόλμα ἐνὶ μεγάροισιν ἑοῖσιν
βαλλόμενος καὶ ἐνισσόμενος τετληότι θυμῷ·
ἀλλ᾽ ὅτε δή μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο,
σὺν μὲν Τηλεμάχῳ περικαλλέα τεύχε᾽ ἀείρας,
ἐς θάλαμον κατέθηκε, καὶ ἐκλήϊσσεν ὀχῆας·
αὐτὰρ ὁ ἣν ἄλοχον πολυκερδείῃσιν ἄνωγεν
τόξον μνηστήρεσσι θέμεν πολιόν τε σίδηρον,
ἡμῖν αἰνομόροισιν ἀέθλια καὶ φόνου ἀρχήν.
οὐδέ τις ἡμείων δύνατο κρατεροῖο βιοῖο
νευρὴν ἐντανύσαι, πολλὸν δ᾽ ἐπιδευέες ἦμεν·
ἀλλ᾽ ὅτε χεῖρας ἵκανεν Ὀδυσσῆος μέγα τόξον,
ἔνθ᾽ ἡμεῖς μὲν πάντες ὁμοκλέομεν ἐπέεσσιν,

Vulg. *Τὸ ἐνίσσειν ὡς τὰ πολλὰ ἐνίπτειν λέγεται, ἐξ οὗ καὶ ἐνίψω μέλλων, καὶ τὸ ἠνίπαπε, καὶ ἡ ἐνιπή. Ὅρα δ᾽ ἐνταῦθα καὶ ὅτι διχῶς τὸ ἐνίσσειν, λόγοις τε καὶ πληγαῖς, εἰ μὴ ἄρα ἐν τῷ βολῇσι προσυπακουστέον ἀνάλογον ῥῆμα, οἷον τὸ ἐβάλλομεν ἢ ἐπλήττομεν ἤ τι τοιοῦτον, ὁποῖα καὶ ἄλλα ποιεῖν εἴωθεν Ὅμηρος.* Eust. *ἔπεσί τε κακοῖσιν ἐνίσσομεν, τουτέστιν ἐκακολογοῦμεν, ἠδὲ βολῇσι, τουτέστι βολαῖς ταῖς διὰ ὀστῶν καὶ ξύλων.* Id. *βολῇσιν*] *βλήμασι, βολαῖς.* Vulg.

V. 162. *τέως*] *τηνικαῦτα.* *ἐτόλμα*] *ἐκαρτέρει.* Vulg. *Τό, ἐτόλμα τετληότι θυμῷ, ταυτὸν τῷ, ἐκαρτέρει καὶ ὑπέμενε. παρὰ δὲ τοῖς ὕστερον ἡ τόλμα εἶδός τι θαρσαλεότητος.* Eust. cf. v. 261.

V. 166. *ἐκλήϊσσεν*] *ἔκλεισεν ἀσφαλίσας* (ed. ant. *ἠσφαλίσας*). *ὀχῆας*] *τοὺς μοχλούς.* Vulg. *μοχλοὺς τούς τε τῆς γυναικωνίτιδυς καὶ τοὺς περὶ τὴν αὐλήν.* Eust.

V. 167. *πολυκερδείῃσιν*] *Ἡ πολυκερδείη ὁμοίως τῷ ἐλεγχείῃ καὶ ἐγχείῃ τὴν διὰ διφθόγγου ἔχει παραλήγουσαν, ὡς ἀπὸ τοῦ κέρδεος.* Eust.

V. 171. *ἐπιδευέες ἦμεν*] *ἤγουν ὕστεροι, ἀπὸ τοῦ δεύω, ἐξ οὗ ὁ δεύτερος καὶ ὁ δεύτατος. ἐν ἄλλοις δὲ καὶ τὸν ἐπιδεῆ, ὅ ἐστι χρῄζοντα, ἡ λέξις δηλοῖ, ὡς καὶ ἐν τῷ, τά τ᾽ ἔλδεται ὅς κεν ἐπιδευής* (Il. ε, 481.). Id. cf. *φ*, 185.

V. 173. *ὁμοκλέομεν*] *ἠπειλοῦμεν.* Vulg.

τόξον μὴ δόμεναι, μηδ᾽ εἰ μάλα πόλλ᾽ ἀγορεύοι·
Τηλέμαχος δέ μιν οἶος ἐποτρύνων ἐκέλευσεν.
αὐτὰρ ὁ δέξατο χειρὶ πολύτλας δῖος Ὀδυσσεύς,
ῥηϊδίως δ᾽ ἐτάνυσσε βιόν, διὰ δ᾽ ἧκε σιδήρου·
στῆ δ᾽ ἄρ᾽ ἐπ᾽ οὐδὸν ἰών, ταχέας δ᾽ ἐκχεύατ᾽ ὀϊστούς,
δεινὸν παπταίνων· βάλε δ᾽ Ἀντίνοον βασιλῆα.
αὐτὰρ ἔπειτ᾽ ἄλλοις ἐφίει βέλεα στονόεντα,
ἄντα τιτυσκόμενος· τοὶ δ᾽ ἀγχιστῖνοι ἔπιπτον.
γνωτὸν δ᾽ ἦν, ὅ ῥά τίς σφι θεῶν ἐπιτάῤῥοθος ἦεν.
αὐτίκα γὰρ κατὰ δώματ᾽, ἐπισπόμενοι μένεϊ σφῷ,
κτεῖνον ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ᾽ ἀεικής,
κράτων τυπτομένων, δάπεδον δ᾽ ἅπαν αἵματι θῦεν.
ὣς ἡμεῖς, Ἀγάμεμνον, ἀπωλόμεθ᾽, ὧν ἔτι καὶ νῦν
σώματ᾽ ἀκηδέα κεῖται ἐνὶ μεγάροις Ὀδυσῆος·

V. 174. *ἀγορεύοι*] *λέγοι.* Id.

V. 180. *βέλεα στον.*] Vulg. ed. ant. *βέλεμνα*] *βέλη.* Eust. *βέλεα.*

V. 182. *ἐπιτάῤῥοθος*] *βοηθὸς ἰσχυρός, σύμμαχος, παρὰ τὸ ῥόθος (ῥοθῶ τὸ παρορμῶ) γίνεται ἐπίῤῥοθος, καὶ πλεονασμῷ τῆς ταρ συλλαβῆς ἐπιτάῤῥοθος, ὁ ἐν τῷ βοηθεῖν πρόθυμος καὶ παρορμῶν.* Etymol. M. *ἐπιτάῤῥοθοι* (Il. *μ*, 180.). *οἱ τοῖς κυσὶν ἐπιθοῤῥοῦντες* (Villois. corr. *ἐπιῤῥοθοῦντες*). *τάσσεται δὲ καὶ ἐπὶ τῶν ἐπικούρων.* Apollon.

V. 183. *ἐπισπόμενοι*] *ἐπακολουθοῦντες.* Vulg.

V. 184. *ἐπιστροφάδην*] *Ἐπιστροφάδην, ὡς ἐν Ἰλιάδι* (*κ*, 483.), *καὶ πρὸ ὀλίγων* (*χ*, 308.), *τὸ ἐπιστρεπτικῶς, ἤγουν ὧδε καὶ ἐκεῖ, καὶ ὡς εἰπεῖν κύκλωθεν, ἢ πάντοθεν.* Eust.

V. 185. *κράτων — θῦεν*] v. ad *χ*, 309.

V. 187. *ἀκηδέα*] *ἄθαπτα.* Vulg. *Ἐν τῷ, σώματα ἀκηδέα, σώματα μὲν τὰ νεκριμαῖα συνήθως φησίν, ἀκηδέα δὲ τὰ ἀτημέλητα, πρὸς ὅπερ ὁμοιότητά τινα ἔχει καὶ τὰ δυςκηδέα, ἢ καὶ ἄλλως ἀκηδέα τὰ ἀκήδευτα.* Eust.

οὐ γάρ πω ἴσασι φίλοι κατὰ δώμαθ᾽ ἑκάστου,
οἵ κ᾽ ἀπονίψαντες μέλανα βρότον ἐξ ὠτειλέων,
κατθέμενοι γοάοιεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων.
Τὸν δ᾽ αὖτε ψυχὴ προσεφώνεεν Ἀτρείδαο·
ὄλβιε Λαέρταο πάϊ, πολυμήχαν᾽ Ὀδυσσεῦ,
ἦ ἄρα σὺν μεγάλῃ ἀρετῇ ἐκτήσω ἄκοιτιν.
ὡς ἀγαθαὶ φρένες ἦσαν ἀμύμονι Πηνελοπείῃ,
κούρῃ Ἰκαρίου· ὡς εὖ μέμνητ᾽ Ὀδυσῆος,
ἀνδρὸς κουριδίου· τῷ οἱ κλέος οὔποτ᾽ ὀλεῖται
ἧς ἀρετῆς· τεύξουσι δ᾽ ἐπιχθονίοισιν ἀοιδὴν
ἀθάνατοι χαρίεσσαν ἐχέφρονι Πηνελοπείῃ.

V. 189. βρότον] τὸ μετὰ κόνεως καὶ ἱδρῶτος αἷμα. Vulg. Μέλανα βρότον λέγει, ὡς εἴπερ εἶπε μέλαν αἷμα. βρότος γὰρ κυρίως ὁ ἐξ αἵματος μολυσμός, οὐχ ἁπλῶς μέντοι αἵματος, ἀλλὰ βροτέου, ὅ ἐστιν ἀνθρωπίνου. ὃς δὴ βρότος καὶ βαρύνεται πρὸς διαστολὴν τοῦ βροτός, τοῦ κατ᾽ ἄνθρωπον. οὕτω καὶ κακὸς μὲν τὸ ἐπίθετον ὀξυτόνως, Κάκος δὲ ἐν βαρυτονήσει λῃστὴς Λατῖνος, ὃν ἀνεῖλεν Ἡρακλῆς. πολλὰ δὲ τοιαῦτα καὶ ἕτερα. Eust.

ὠτειλέων] τραυμάτων. Vulg. Ἐν τῷ, ἐξ ὠτειλέων, γενικώτερον εἴρηται ἡ ὠτειλή, τάς τε πόῤῥωθεν δηλοῦσα βολάς, καὶ τὰς ἐγγύθεν πληγάς. Eust.

V. 190. ὃ γὰρ γέρας ἐστὶ θαν.] τὸ ἀπονιφθῆναι δηλαδὴ καὶ κλαυσθῆναι, ἀκολούθως δὲ πάντως καὶ ταφῆναι. Id.

V. 193. σὺν μεγ. ἀρετῇ] τουτέστιν εὐτυχίᾳ, εὐδαιμονίᾳ. Id. v. ν, 45.

V. 197. ἧς ἀρετῆς] τῆς φρονήσεως καὶ σωφροσύνης δηλονότι. Id.

ἀοιδήν] Ἀντὶ τοῦ, φήμην. Vulg. Ἐν τῷ, τεύξει ἐπιχθονίοισιν ἀοιδήν, ἐπὶ ἀγαθοῦ νοητέον τὴν ἀοιδήν, ὡς δηλοῖ ἐπαχθὲν τὸ χαρίεσσαν. δῆλον δὲ καὶ ἐκ τῶν ἐφεξῆς, ἐν οἷς ἐξ ἐναντίου ἔφη, ὡς Κλυταιμνήστρα στυγερὴ ἀοιδὴ τοῖς μετὰ ταῦτα ἔσσεται. ὥστε καὶ τὸ ἐκ τούτων, ὁ ἀοίδιμος, μέση λέξις κυρίως ἐστίν. Eust.

V. 198. χαρίεσσαν] ἐπέραστον, καλήν. Vulg.

οὐχ ὡς Τυνδαρέου κούρη κακὰ μήσατο ἔργα,
κουρίδιον κτείνασα πόσιν· στυγερὴ δέ τ' ἀοιδὴ
ἔσσετ' ἐπ' ἀνθρώπους· χαλεπὴν δέ τε φῆμιν ὄπασσεν
θηλυτέρῃσι γυναιξὶ, καὶ ἥ κ' εὐεργὸς ἔῃσιν.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
ἑσταότ' εἰν Ἀΐδαο δόμοις, ὑπὸ κεύθεσι γαίης. —
Οἱ δ' ἐπεὶ ἐκ πόλιος κατέβαν, τάχα δ' ἀγρὸν ἵκοντο
καλὸν Λαέρταο τετυγμένον, ὅν ῥά ποτ' αὐτὸς
Λαέρτης κτεάτισσεν, ἐπεὶ μάλα πόλλ' ἐμόγησεν.

V. 199. *Τυνδαρέου*] Ὁ Τυνδάρεος, εἰ καὶ παρὰ τοῖς ὕστερον ἐκτείνει τὴν λήγουσαν Ἀττικῶς, ἀλλὰ παρὰ τῷ ποιητῇ κοινῶς κλίνεται, ὡς δηλοῖ τό, Τυνδαρέου κούρη. οὕτω καὶ ἐν Ἰλιάδι (ξ, 489.) Πηνελέοιο φησὶν ἄνακτος, ὃν Πηνέλεων ἐν ἐκτάσει τῆς ληγούσης φασὶν οἱ Ἀττικοί. Eust.

V. 201. *χαλεπὴν — φῆμιν*] v. ξ, 239. *χαλεπὴν — ἔῃσιν*] ἤγουν εἰς παράδειγμα κεῖται ψόγου οὐ μόνον τοῖς ψέγουσι τὰς ἐπ' ἀληθείᾳ φαύλας γυναῖκας, ἀλλὰ καὶ εἴ τις φιλαπεχθημόνως ἀγαθὴν γυναῖκα ψέξαι βούλοιτο. Eust. cf. λ, 433. 434.

V. 204. *ἑσταότ'*] ἑστῶτες. *κεύθεσι γαίης*] κρυπτοῖς τόποις. λέγει δὲ τοῖς ὑπὸ γῆν. Vulg. Ὅτι περιφράζων τὸν Ἅιδην Ἀΐδαο δόμους λέγει καὶ κεύθεα γαίης, ταυτὸν δὲ γῆς κευθμῶνας εἰπεῖν. Eust.

V. 205. *ἐκ πόλιος κατέβαν*] Ὅτι ἐν τῷ, ἐκ πόλιος κατέβαν — τετύγμενον, ἐφ' ὑψηλοῦ τινος τόπου κεῖσθαι τὴν Ἰθάκην φαίνεται, ὡς δηλοῖ τὸ κατέβαν. τοῦτο δὲ δῆλον καὶ ἐκ τοῦ ὑπὲρ πόλιος ἑρμαίου λόφου, ὃς πρὸ τούτων εἴρηται (v. π, 471.). Eust. Ὑποστικτέον μετὰ τοῦτο, ἐπεί τοι ψολὸς λόφον ἐστί (corrige ex Eust. ἐπεὶ ὑψηλὸς τόπος v. λόφος ἐστί. Barn. ἐπεί τοι ψιλὸς λόγος ἐστί.). Vulg.

V. 206. *καλόν*] Τὸ καλόν ἢ πρὸς τὸ ἀγρόν κολλητέον, ἵνα εἴη καλὸς οὗτος ἀγρὸς ὁ τοῦ Λαέρτου, ἢ πρὸς τὸ τετυγμένον, ἵνα λέγῃ καλὸν τετυγμέναν πρὸς ὁμοιότητα τοῦ, εὖ τετυγμένον, εἴτουν εὔτυκτον. Eust.

V. 207. *κτεάτισσεν*] ἔκτισεν. *ἐμόγησεν*] ἔκαμεν. Vulg.

ἔνθα οἱ οἶκος ἔην, περὶ δὲ κλίσιον θέε πάντῃ,
ἐν τῷ σιτέσκοντο καὶ ἵζανον ἠδὲ ἴαυον
δμῶες ἀναγκαῖοι, τοί οἱ φίλα ἐργάζοντο.
ἐν δὲ γυνὴ Σικελὴ γρηῢς πέλεν, ἥ ῥα γέροντα

κτεάτισσε, τουτέστιν ἐκτήσατο, οὐ κατὰ λόγον ὤνου, ἀλλ' ἐπειδή φησι μάλα πόλλ' ἐμόγησε, κατὰ βίον ἁπλοῦν ἡρωϊκόν. Eust.

μάλα πολλ' ἐμόγησεν] ἐκακοπάθησεν οἰκοδομήσας, φυτεύσας. Ambr. Q.

V. 208. κλίσιον] Ἅπαξ εἴρηται. σημαίνει δὲ ἐξέδραν τινὰ σιγματοειδῆ, ἐν ᾗ ἔκειντο οἱ κλισμοί. ἢ κρηπίδωμα, ἐφ' οὗ ἐκαθέζοντο ἢ ἐκοιμῶντο. Vulg. Κλίσιον οἰκετικὸς οἶκός ἐστιν εὐτελὴς καὶ οἷόν τις κλισία, περὶ ἣν δμῶες ἴαυον. παρὰ μέντοι Ἀττικοῖς τὸ κλίσιον ἁμαξῶν καὶ ζευγῶν ἐστι δεκτικόν. Eust. Κλίσιον. τῶν ἅπαξ εἰρημένων ἐν τῇ Ω τῆς Ὀδυσσείας· περὶ δὲ κλίσιον θέε πάντῃ, ἐν τῷ σιτέσκοντο. ἀντὶ τοῦ, ἐν τῷ οἴκῳ. ὁ μὲν Ἡλιόδωρος τὰς κύκλῳ καὶ ἔξω καταλύσεις εἴρηκεν. ὁ δὲ Ἀρίσταρχος, κυκλόθεν τοῦ οἴκου, οἷον ἐκ στιβάδων ᾠκοδομημένον, (scr. ᾠκοδομημένου v. ᾠκοδομημένων) πρὸς οὗ (scr. αἷς ex Porphyrio) καὶ οἱ θρόνοι ἔκειντο, ὥστε οὖν καὶ ἐπ' αὐτῷ (scr. αὐτῶν) καθιζομένους δειπνεῖν καὶ ἐγκοιμᾶσθαι. ὁ δὲ Ἀπίων φησὶν οὕτως· κλίσιον, ἡ βάσις, ἐφ' ἧς κεῖται ὁ θρόνος. περὶ δὲ κλίσιον θέε πάντῃ, ὅ ἐστι, δι' ὅλου τοῦ οἴκου. Apollon. cf. Etymol. M. sub h. v.

θέε] ἔτρεχεν. Vulg. ὁποῖά τι χαράκωμα τῶν ἐντός, ἢ καὶ ἑρκίον ἐπαύλεως. Eust.

V. 209. σιτέσκοντο] σίτου καὶ τροφῆς μετελάμβανον. Vulg.

ἴαυον] Τὸ ἴαυον κἀνταῦθα γενικῶς τὴν περί τι διατριβὴν δηλοῖ. δόξειε δ' ἂν καὶ τοῦ κοιμᾶσθαι νῦν ὡς ἐκ μέρους εἶναι δηλωτικόν. Eust.

V. 210. δμῶες ἀναγκαῖοι] οἱ ἀργυρώνητοι. οὗτοι γὰρ ἀνάγκῃ δουλεύουσιν. Ambr. Q. χρειώδεις. Id. Vulg. Δμῶες ἀναγκαῖοι, οἱ κατὰ τὴν Ὁμηρικὴν ἑρμηνείαν φίλα ἐργαζόμενοι. ἐν μέντοι τοῖς ἑξῆς ἀναγκαῖοι πολεμισταὶ Λαέρτης καὶ Δόλιος (v. 499.), οἳ καὶ πολιοί περ ἐόντες τεύχεα ἔδυναν, οὐ μόνον οἱ χρειώδεις, ὡς νῦν, ἀλλὰ καὶ οἱ κατ' ἀνάγκην πολεμοῦντες. Eust.

ἐνδυκέως κομέεσκεν ἐπ' ἀγροῦ, νόσφι πόληος.
ἔνθ' Ὀδυσεὺς δμώεσσι καὶ υἱέϊ μῦθον ἔειπεν·
Ὑμεῖς μὲν νῦν ἔλθετ' ἐϋκτίμενον δόμον εἴσω·
δεῖπνον δ' αἶψα συῶν ἱερεύσατε, ὅςτις ἄριστος·
αὐτὰρ ἐγὼ πατρὸς πειρήσομαι ἡμετέροιο,
αἴ κέ μ' ἐπιγνοίη καὶ φράσσεται ὀφθαλμοῖσιν,
ἦέ κεν ἀγνοίῃσι, πολὺν χρόνον ἀμφὶς ἐόντα.
Ὣς εἰπὼν, δμώεσσιν Ἀρήϊα τεύχε' ἔδωκεν.
οἱ μὲν ἔπειτα δόμονδε θοῶς κίον· αὐτὰρ Ὀδυσσεὺς
ἆσσον ἴεν πολυκάρπου ἀλωῆς, πειρητίζων.
οὐδ' εὗρεν Δολίον, μέγαν ὄρχατον ἐςκαταβαίνων,
οὐδέ τινα δμώων, οὐδ' υἱῶν· ἀλλ' ἄρα τοίγε

V. 212. κομέεσκεν] Πρωτότυπον τὸ κομέεσκε καὶ τὸ κομεῖν τοῦ κομίζειν, ὅθεν κομιδή, ἡ ἐπιμέλεια. Id.

V. 215. δεῖπνον — ἱερεύσατε] Ἀντὶ τοῦ, διὰ δεῖπνον σφάζετε. οὐ γὰρ ἄλλως ἐνταῦθα ἱερεύεται κατὰ θυσίαν ὁ σῦς. Id.

V. 217. αἴ κέ μ' ἐπιγνοίη] Eust. εἴ με ἔτι γνοίη, et annotat: ἀργὸν ἐκ περισσοῦ κεῖται τὸ ἔτι ἐπίῤῥημα, ὁποῖα καὶ ἄλλα ἐν τοῖς εἰς τὴν Ἰλιάδα παρεσημάνθησαν, ἐν οἷς καὶ τὸ τί, πολλαχοῦ κατὰ παρολκὴν κείμενον, οἷον ἐν τῷ, σχεδόν τι, καὶ οὔτι, καὶ οὕτω τι, καί, ναῦς χαλκεμβόλους ὁμοῦ τι διακοσίας. — φράσσεται] γνωρίσει. Vulg.

V. 218. ἀγνοίησι] Τὸ ἀγνοίησι λέξις μὲν μετρικοῖς ἴσως ἀγαπητή, πάντῃ δὲ ἀσυνήθης, καὶ μάλιστα διὰ τὸν τόνον. εἴτε γὰρ ἐκ τοῦ ἀγνοῶ εἴτε ἐκ τοῦ ἀγνοιῶ, οὐκ εὔλογος ἡ παροξυτόνησις (scr. προπαροξυτόνησις). μάλιστα οὖν δοκεῖ ἐκ τοῦ ἀγνοίημι εἶναι τὸ τρίτον ἀγνοίησιν ὡς τίθησι. τὸ δὲ ἀγνοίημι ἐκ τοῦ ἀγνοιῶ, ὡς αἰνῶ αἴνημι, οἷον, οὔ μιν ἔγωγε αἴνημι, καὶ διζῶ δίζημι, ὅθεν καὶ διζήμενος. Eust. Sed Vulg. ed. ant. ἀγνοιήσει (ed. rec. ἀγνοίῃσι vitiose)] ἀγνοήσει. — ἀμφίς] χωρίς. Ambr. Q.

V. 221. πειρητίζων] τουτέστι πειρασόμενος. ἀντὶ μέλλοντος γὰρ ὁ ἐνεστὼς καὶ νῦν κεῖται. Eust. v. ξ, 459. ο, 304. π, 315.

αἱμασιὰς λέξοντες, ἀλωῆς ἔμμεναι ἕρκος,
ᾤχοντ᾽· αὐτὰρ ὁ τοῖσι γέρων ὁδὸν ἡγεμόνευεν.
τὸν δ᾽ οἶον πατέρ᾽ εὗρεν ἐϋκτιμένῃ ἐν ἀλωῇ,
λιστρεύοντα φυτόν· ῥυπόωντα δὲ ἕστο χιτῶνα,
ῥαπτὸν, ἀεικέλιον· περὶ δὲ κνήμῃσι βοείας
κνημῖδας ῥαπτὰς δέδετο, γραπτῦς ἀλεείνων·

V. 224. αἱμασιὰς λέξοντες] τὰ ἐκ τῶν λεπτῶν λίθων τειχία οἰκοδομήσοντες. Vulg. Αἱμασιὰ κατὰ τὴν τοῦ ποιητοῦ ἑρμηνείαν ἀλωῆς ἕρκος, ἴσως μὲν, ὡς προεδηλώθη (ad σ, 359.), ἐξ ἀκανθῶν οὖσά ποτε, ὧν εἶδος καὶ αἱ βάτοι, ἃς ὁ γέρων διαχειρίζεται, καὶ κληθεῖσα παρὰ τὸ αἱμάσσειν τοὺς κατεπιχειροῦντας. οἱ μέντοι παλαιοὶ αἱμασιάς φασι τὰ ἐκ λεπτῶν λίθων ἐκτισμένα τοιχίδια. διὸ καὶ ὁ ποιητὴς τὴν ἀλωήν, εἰς ἣν αὐταὶ συνήγοντο, εὐκτιμένην ἔφη, καθά που καὶ πόλεις εὐκτιμένας λέγει. Eust.

V. 227. λιστρεύοντα] περιξύοντα καὶ περισκάπτοντα εἰς ἀρδείαν καὶ ὁμαλίζοντα. Vulg. ad Ms. Barn. Λιστρεύειν τὸ περιξύειν, παρὰ τὸ λίστρον, ὅ ἐστι ξύστρον (v. χ, 455.). αὐτὸ δὲ τὸ λιστρεύειν φυτὸν ὅμοιόν ἐστι τῷ, φυτὸν ἀμφιλαχαίνειν. καὶ γὰρ ὁ λιστρεύων φυτὸν ὀρύττει, καὶ ὁ λαχαίνων φυτόν, ἐπεὶ λαχαίνειν ταυτόν ἐστι τῷ διασκάπτειν, ἀφ᾽ οὗ καὶ λάχανον. καὶ γίνεται ἡ λέξις παρὰ τὸ ποιεῖν λίαν χαίνειν τὴν γῆν. Eust.

ῥυπ. δὲ ἕστο χιτ.] Τὸ ἑξῆς, ῥυπόωντα ἕστο χιτῶνα πένθος ἀέξων. Ambr. Q.

V. 228. ῥαπτὸν ἀεικέλιον] Τό, ῥαπτὸν ἀεικέλιον, ὑφὲν ἀναγνωστέον, ἵνα δηλοῖ τὸν ἀεικελίως ῥαπτόν. τοιοῦτον καὶ ἐν Ἰλιάδι σὺν ἄλλοις τό, τοξότα λωβητήρ (λ, 385.). ὅμοιον δὲ καὶ ἡ ἐν Ἀρκαδίᾳ μεγάλη πόλις, καὶ ἕτερα πολλά. Eust.

V. 229. κνημῖδας ῥαπτάς] Κνημῖδας νῦν οὐ πολεμικὰς λέγει, ἀλλὰ βύρσας, δι᾽ ὧν κνῆμαι τοῖς ἀγρώταις καλύπτονται οὕτω δὲ καὶ κυνέην αἰγείην, οὐ τὴν ἐν μάχῃ χρηστήν, ἀλλὰ τὸ ἁπλῶς ἐξ αἰγὸς κάλυμμα τῆς κεφαλῆς. — Ῥαπτὰς δὲ κνημῖδας λέγει, ἢ προςυπακουομένου καὶ ἐνταῦθα τοῦ ἀεικελίως αὐτὰς ἐῤῥάφθαι, ἢ καὶ μᾶλλον εἰς δεῖξιν τοῦ περίβλημα εἶναι ταῖς κνήμαις αὐτὰς καὶ μὴ ἁπλῶς ἠωρημένας τετυλίχθαι περὶ τὰς κνήμας, ἴσως δὲ καὶ εἰς διαστολὴν τῶν ἐκ σιδήρου, ὧν ἄπεστι τὸ ἐῤῥάφθαι. Eust.

χειρῖδάς τ' ἐπὶ χερσὶ, βάτων ἕνεκ'· αὐτὰρ ὕπερθεν
αἰγείην κυνέην κεφαλῇ ἔχε, πένθος ἀέξων.
τὸν δ' ὡς οὖν ἐνόησε πολύτλας δῖος Ὀδυσσεὺς
γήραϊ τειρόμενον, μέγα δὲ φρεσὶ πένθος ἔχοντα,
στὰς ἄρ' ὑπὸ βλωθρὴν ὄγχνην κατὰ δάκρυον εἶβεν.
μερμήριξε δ' ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν,
κύσσαι καὶ περιφῦναι ἑὸν πατέρ', ἠδὲ ἕκαστα
εἰπεῖν, ὡς ἔλθοι καὶ ἵκοιτ' ἐς πατρίδα γαῖαν·
ἦ πρῶτ' ἐξερέοιτο, ἕκαστά τε πειρήσαιτο.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
πρῶτον κερτομίοις ἐπέεσσιν πειρηθῆναι.

δέδετο] περιέκειτο, περιεδέδετο. Vulg. Τὸ περιδέδετο οἰκεῖον ἐπὶ κνημίδων, ὡς ἐπὶ πεδίλων τὸ ὑποδεδέσθαι. Eust.

γραπτῦς] τὰς τῶν ἀκανθωδῶν φυτῶν καταπεριξύσεις καὶ ἀμυχάς. Vulg. τὰς καταξύσεις τῶν ἀκανθῶν φυτῶν. Ambr. Q. Γραπτύας, καὶ ἐν συναιρέσει γραπτῦς, λέγει τὰς ἐξ ἀκανθῶν ἢ ἀκανθωδῶν τινων γραφάς, ἤγουν ξέσεις καὶ ἀμυχάς, ἀπὸ τοῦ γράφω τὸ ξέω, ὃ καὶ ἀμύσσειν λέγεται, ὅθεν ἡ ἀμυχή. Eust. — ἀλεείνων] φυλαττόμενος. Vulg.

V. 230. χειρίδας] Ἰστέον καὶ ὅτι τὰς μὲν τῶν κνημῶν γραπτῦς αἱ κνημῖδες κωλύουσι, τὰς δὲ τῶν χειρῶν αἱ χειρίδες, ἤγουν τὰ τῶν χειρῶν καλύμματα, ἐκ δερμάτων δηλαδὴ καὶ αὐτὰ ὄντα. ὧν ἡ παραγωγή, ὥςπερ κνήμη κνημίς, οὕτω καὶ χείρ χειρίς. Eust.

V. 231. αἰγείην κυνέην] Καταχρηστικῶς, ὡς καὶ τὴν χαλκῆν κυνέην. Vulg.

V. 234. βλωθρήν] τὴν μεγάλην, ἀπὸ τοῦ ἄνω μολίσκειν. Id. Βλωθρὴ ἐνταῦθα μὲν ὄγχνη, ἐν Ἰλιάδι δὲ (ν, 390.) πίτυς. Eust.

V. 236. κύσσαι] (sic ed. ant., rec. κῦσαι) περιπλακῆναι, φιλῆσαι. Vulg. (Prius scholion ad περιφῦναι pertinet.).

V. 240. κερτομίοις ἐπέεσσιν] Κερτόμια νῦν ἔπη οὐ τὰ ὑβριστικὰ καὶ ὀνειδιστικά, ὅ ἐστι μεμπτικά, τέμνοντα δὲ ἀλ-

τὰ φρονέων ἰθὺς κίεν αὐτοῦ δῖος Ὀδυσσεύς·
ἤτοι ὁ μὲν κατέχων κεφαλὴν φυτὸν ἀμφελάχαινεν·
τὸν δὲ παριστάμενος προςεφώνεε φαίδιμος υἱός·
Ὦ γέρον, οὐκ ἀδαημονίη σ᾽ ἔχει ἀμφιπολεύειν
ὄρχατον, ἀλλ᾽ εὖ τοι κομιδὴ ἔχει, οὐδέ τι πάμπαν,
οὐ φυτὸν, οὐ συκῆ, οὐκ ἄμπελος, οὐ μὲν ἐλαίη,
οὐκ ὄγχνη, οὐ πρασίη τοι ἄνευ κομιδῆς κατὰ κῆπον.
ἄλλο δέ τοι ἐρέω, σὺ δὲ μὴ χόλον ἔνθεο θυμῷ·
αὐτόν σ᾽ οὐκ ἀγαθὴ κομιδὴ ἔχει, ἀλλ᾽ ἅμα γῆρας
λυγρὸν ἔχεις, αὐχμεῖς τε κακῶς, καὶ ἀεικέα ἕσσαι.

λως κέαρ διὰ τὸ ἐρεθιστικὰ εἶναι εἰς χόλον κατὰ τό (v. 248.), σὺ δὲ μὴ χόλον ἔνθεο θυμῷ, ἐξ οὗ δὴ τόπου καὶ ἄρχεται τὰ κερτόμια ἐνταῦθα ἔπη. — δῆλον δὲ ὅτι παράγωγόν ἐστιν ἐκ τοῦ κέρτομος τρισυλλάβου ὀνόματος τὸ κερτόμιον ἔπος. Eust. ἀπατητικοῖς, δολίοις, ἵνα μὴ τῇ αἰφνιδίῳ χαρᾷ ἀποψύξει (scr. ξῃ) ὁ γέρων, ὥςπερ καὶ ὁ κύων ἀπώλετο (ρ, 326.). Ambr. Q. Ita etiam Eust. *Προμηθέστατα Ὀδυσσεὺς οὐκ εὐθὺς ἑαυτὸν ἀναγνωρίζει τῷ πατρί, μή ποτε τῷ αἰφνιδίῳ τῆς χαρᾶς ἀποσβῇ ὁ γέρων.*

V. 242. κατ᾽ ἔχων κεφαλήν] κάτω ἔχων, νενευκώς. δύναται δὲ καὶ ὑφ᾽ ἕν, κατέχων. Vulg. ἀμφελάχαινε] περιέσκαπτεν. Id. v. Eust. ad v. 227.

V. 244. ἀδαημονίη] ἀπειρία. ἀμφιπολεύειν] ἐνεργεῖν. Vulg. Τό, οὐκ ἀδαημονίη σ᾽ ἔχει ἀμφιπολεύειν ὄρχατον, περίφρασις τοῦ, δαήμων εἶς τῆς κηπευτικῆς. τούτου δὲ κομματικὴ ἐπιτομὴ τό, ἀλλ᾽ εὖ κομιδὴ ἔχει, τουτέστιν ἐπιμεμέληται ὁ ὄρχατος. Ἀμφιπολεύειν δὲ οὐχ ἁπλῶς τὸ περιοδεύειν, ἀλλ᾽ ἔχει τι καὶ δουλικῆς σημασίας, ἀφ᾽ ἧς αἱ ἀμφίπολοι. Eust. (Text. Harl. ἀδαημονίης ἔχεις. Marg. Γρ. ἀδαημοσύνης. Schol. ἀνεπιστημοσύνης.).

V. 250. αὐχμεῖς] ἐῤῥύπωσαι. Vulg. *Αὐχμεῖ κακῶς ὁ καὶ ῥύπον ἔχων κατὰ τὸν Λαέρτην καὶ ἀλουτῶν. γίνεται δὲ τὸ αὐχ-*

οὐ μὲν ἀεργίης γε ἄναξ ἕνεκ' οὔ σε κομίζει·
οὐδέ τί τοι δούλειον ἐπιπρέπει εἰςοράασθαι
εἶδος καὶ μέγεθος· βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικας.
τοιούτῳ δὲ ἔοικας, ἐπεὶ λούσαιτο φάγοι τε,
εὑδέμεναι μαλακῶς· ἣ γὰρ δίκη ἐστὶ γερόντων.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
τεῦ δμὼς εἶς ἀνδρῶν; τεῦ δ' ὄρχατον ἀμφιπολεύεις;
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
εἰ ἐτεόν γ' Ἰθάκην τήνδ' ἱκόμεθ', ὥς μοι ἔειπεν
οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος ἐνθάδ' ἰόντι,

μεῖν, ὥςπερ καὶ ὁ αὐχμός, παρὰ τὸ αὔω τὸ ξηραίνω, πλεονασμῷ δασέος, ὡς καὶ ἐν τῷ βρυχηθμός γίνεται καὶ τοῖς ὁμοίοις. Eust.

ἕσσαι] ἐνδέδυσαι. Vulg.

V. 251. ἀεργίης] ἀργίας. Vulg. Ἀεργίαν οὐ μόνον τὴν κοινῶς λεγομένην ἀργίαν λέγει τὴν ἐκ τῆς ἀεργίας κεκραμένην, ἀλλὰ καὶ τὴν εἰς ἔργον ἀτεχνίαν, διαφέρουσαν τῆς κακοεργίας, ὅτι ἐκείνη μὲν κακίαν δηλοῖ ψυχῆς, ὡς ἐν τῷ, κακοεργίης εὐεργεσίη μέγ' ἀμείνων (χ, 374.), τοῦτο δὲ ἀνεπιστημοσύνην. Eust. — κομίζει] ἐπιμελείας ἀξιοῖ. Vulg.

V. 252. δούλειον] δούλοις ἁρμόδιον. Vulg.

V. 254. τοιούτῳ δὲ ἔοικας] Τό, τοιούτῳ δὲ ἔοικας, ἐπεὶ λούσαιτο φάγοι τε, εὕδειν μαλακῶς, διττὴν ἔχει ἔννοιαν. ἢ γάρ, ὅτι τοιοῦτος εἶ οἷος λούεσθαι καὶ μετὰ τὸ ἐμφαγεῖν κοιμᾶσθαι, οὐ μὴν καὶ ἔργοις ἐπιπρέπεις ἀνδρικοῖς. ἢ ὅτι τοιούτῳ ἤγουν βασιλεῖ ἔοικας, οὐ νῦν οὕτως ὡς ἔχεις, ἀλλ' ὅτε ὁ τοιοῦτος λούσαιτο καὶ φάγοι, ὥςτε καὶ ἀναπεσεῖν εἰς ὕπνον. τηνικαῦτα γὰρ τὸ ἄρτι ῥυπαρὸν ἀποπλυνάμενος ὁ κατὰ σὲ φανείη ἂν τῇ ἀλλοιώσει ὡς βασιλεύς. — καὶ ἔστι μὲν καλὴ καὶ ἡ τοιαύτη ἔννοια, σαφεστέρα δὲ καὶ ἀβιαστοτέρα ἡ πρώτη. Eust.

V. 255. εὑδέμεναι] καθεύδειν, ἀναπαύεσθαι. Vulg.

V. 257. τεῦ] τίνος. δμώς] δοῦλος. Id.

V. 260. οὗτος ἀνήρ] Δεικτικῶς, ὁ σχεδὸν ὑπ' ὄψιν φαινόμενος. Ambr. Q. Ἀναφορικὸν ἐνταῦθα τό, οὗτος ἀνήρ. οὐ γὰρ πάρεστιν ἐκεῖνος, ὡς καὶ δείκνυσθαι. Eust.

οὔτι μάλ' ἀρτίφρων· ἐπεὶ οὐ τόλμησεν ἕκαστα
εἰπεῖν, ἠδ' ἐπακοῦσαι ἐμὸν ἔπος, ὡς ἐρέεινον
ἀμφὶ ξείνῳ ἐμῷ, εἴ που ζώει τε καὶ ἔστιν,
ἢ ἤδη τέθνηκε, καὶ εἰν Ἀΐδαο δόμοισιν.
ἐκ γάρ τοι ἐρέω, σὺ δὲ σύνθεο, καί μευ ἄκουσον·
ἄνδρα ποτ' ἐξείνισσα φίλῃ ἐνὶ πατρίδι γαίῃ,
ἡμέτερόνδ' ἐλθόντα· καὶ οὔπω τις βροτὸς ἄλλος
ξείνων τηλεδαπῶν φιλίων ἐμὸν ἵκετο δῶμα·
εὔχετο δ' ἐξ Ἰθάκης γένος ἔμμεναι, αὐτὰρ ἔφασκεν
Λαέρτην Ἀρκεισιάδην πατέρ' ἔμμεναι αὐτῷ.
τὸν μὲν ἐγὼ πρὸς δώματ' ἄγων εὖ ἐξείνισσα,
ἐνδυκέως φιλέων, πολλῶν κατὰ οἶκον ἐόντων·
καί οἱ δῶρα πόρον ξεινήϊα, οἷα ἐῴκει·
χρυσοῦ μέν οἱ δῶκ' εὐεργέος ἑπτὰ τάλαντα,
δῶκα δέ οἱ κρητῆρα πανάργυρον, ἀνθεμόεντα,
δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
τόσσα δὲ φάρεα καλά, τόσους δ' ἐπὶ τοῖσι χιτῶνας·

V. 261. οὔτι μάλ' ἀρτίφρων] οὐ πάνυ ἔμφρων, ἀνόητος. Vulg. Ψόγος ἐστὶ τοῦ μὴ ἐντελῶς διατεθέντος ἐφ' οἷς ἠρώτηται. Eust.

οὐ τόλμησεν] Τό, οὐ τόλμησεν ἕκαστα εἰπεῖν, ἀντὶ τοῦ, οὐκ ἐκαρτέρησε, καὶ νῦν κεῖται, καθὰ καὶ πρὸ ὀλίγων (v. 162.). Eust.

V. 272. ἐνδυκέως] v. η, 256. κ, 65. 450. ξ, 62. 109. 337. al.

V. 273. ἐῴκει] πρέπον ἦν. Vulg.

V. 275. ἀνθεμόεντα] ἀνθοῦντα. Id. Ἀνθεμόεις κρατήρ, ὡς καὶ ἐν ἄλλοις λέβητες καὶ τρίποδες ἐῤῥέθησαν ἀνθεμόεντες (v. Il. ψ, 885. Od. γ, 440.), οἱ ἀναθηματικοὶ διὰ κειμηλίωσιν, ἢ ἀνθηροὶ διὰ τὰ δαιδάλματα. Eust. λαμπρὸν καὶ καινόν. μεταφορικῶς ἀπὸ τῶν ἀνθέων. Ambr. Q.

V. 276. τάπητας] Vind. 56. χιτῶνας. Γρ. τάπητας.

χωρὶς δ᾽ αὖτε γυναῖκας, ἀμύμονα ἔργ᾽ εἰδυίας,
τέσσαρας εἰδαλίμας, ἃς ἤθελεν αὐτὸς ἑλέσθαι.
Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα πατὴρ, κατὰ δάκρυον εἴβων·
ξεῖν᾽, ἤτοι μὲν γαῖαν ἱκάνεις, ἣν ἐρεείνεις·
ὑβρισταὶ δ᾽ αὐτὴν καὶ ἀτάσθαλοι ἄνδρες ἔχουσιν·
δῶρα δ᾽ ἐτώσια ταῦτα χαρίζεο, μυρί᾽ ὀπάζων·
εἰ γάρ μιν ζωόν γ᾽ ἐκίχεις Ἰθάκης ἐνὶ δήμῳ,
τῷ κέν σ᾽ εὖ δώροισιν ἀμειψάμενος ἀπέπεμψεν,
καὶ ξενίῃ ἀγαθῇ· ἡ γὰρ θέμις, ὅςτις ὑπάρξῃ.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
πόστον δὴ ἔτος ἐστίν, ὅτε ξείνισσας ἐκεῖνον,
σὸν ξεῖνον δύστηνον, ἐμὸν παῖδ᾽, εἴ ποτ᾽ ἔην γε,
δύςμορον; ὅν που τῆλε φίλων καὶ πατρίδος αἴης,
ἠέ που ἐν πόντῳ φάγον ἰχθύες, ἢ ἐπὶ χέρσου

V. 278. γυναῖκας] v. ad ρ, 222.

V. 279. εἰδαλίμας] Εἰδαλίμας ἢ τὰς εὐειδεῖς λέγει, ἢ καὶ ἄλλως τὰς ἐπιστήμονας, παρὰ τὸ εἰδέναι, ἵνα εἴη ταυτὸν τῷ (scr. τό), ἔργα εἰδυίας, καὶ τὸ εἰδαλίμας. Eust. εὐειδεῖς (ita Barn. recte pro εὐεργεῖς). ἢ ἐπιστήμονας. Vulg.

V. 282. ἔχουσιν] Ἀντὶ τοῦ, οἰκοῦσιν. Vulg.

V. 284. ἐκίχεις] ἤτοι κατέλαβες, εὗρες. Eust. Τὸ ἐκίχεις ἢ ἐκ τοῦ κιχῶ γίνεται, ἢ ἐκ τοῦ κίχημι, ἐξ οὗ τὸ κιχήμεναι. Id.

V. 286. ὑπάρξῃ] προκατάρξηται. Vulg. Ὅρα τὸ ὑπάρξει, ἀντὶ τοῦ, προκατάρξει, οὕτω καλῶς καὶ πρωτοθέτως λεγόμενον παρὰ τῶν παλαιῶν. ὅπερ οἱ μεθ᾽ Ὅμηρον καὶ κατάρχειν φασίν. — λέγει δὲ ἡ ῥηθεῖσα γνώμη, ὅτι θέμις τουτέστι δίκαιον, ἀντιξενίζειν τὸν ὑπάρξαντα, κατὰ τό, δόμεν ἤγουν δός, ὅς κεν δῷ, τὸ Ἡσιόδειον (εργ. v. 352.). Eust.

V. 291. ἢ ἐπὶ χέρσου] Ὅρα ἐν τούτοις τό, ἢ ἐπὶ χέρσου ἕλωρ ἐγένετο, ἀσυνήθως φρασθέν. τὸ μὲν γὰρ ἀκόλουθον τοιοῦτον ἂν ἦν, ὅν που ἔφαγον ἰχθύες ἢ ἐπὶ χέρσου θῆρες καὶ οἰωνοὶ ἕλωρ ἔθηκαν. ὁ μέντοι γέρων ὡς οἷον ὑπὸ λύπης ἐκλαθόμενος τῆς συνήθους φράσεως ἐνήλλαξεν αὐτήν, καὶ χρὴ νοεῖν ἐκ τοῦ, ὅν

θηρσὶ καὶ οἰωνοῖσιν ἕλωρ γένετ'· οὐδέ ἑ μήτηρ
κλαῦσε περιστείλασα, πατήρ θ', οἵ μιν τεκόμεσθα·
οὐδ' ἄλοχος πολύδωρος, ἐχέφρων Πηνελόπεια,
κώκυσ' ἐν λεχέεσσιν ἑὸν πόσιν, ὡς ἐπέοικεν,
ὀφθαλμοὺς καθελοῦσα· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ·
τίς, πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες;
ποῦ δὲ νηῦς ἕστηκε θοή, ἥ σ' ἤγαγε δεῦρο,
ἀντιθέους θ' ἑτάρους; ἦ ἔμπορος εἰλήλουθας
νηὸς ἐπ' ἀλλοτρίης, οἱ δ' ἐκβήσαντες ἔβησαν;

που τῆλε, ἀπὸ κοινοῦ τό, ὅς, ὡς εἰ ἔλεγεν, ὃς ἐπὶ χέρσου ἕλωρ ἐγένετο. Eust.

V. 292. θηρσί] Ὅρα καὶ τὸ θηρσίν. εἰ γὰρ ἄλλως θηρία πάντα τὰ ἄλογα, ἀλλ' ὁ ποιητὴς ἐνταῦθα θῆρας ἰδιαζόντως τοὺς περὶ χέρσον ὠμηστὰς λέγει, ὥσπερ καὶ οἰωνούς οὐ πάντας, ἀλλὰ τοὺς σαρκοβόρους. Id.

V. 293. περιστείλασα] περικαλύψασα. Vulg. Τὰ περιστείλασα καιριωτάτη λέξις ἐστίν, εὐκοσμίαν δηλοῦσα νῦν μὲν ἐπὶ νεκροῦ, παρ' ἄλλοις δὲ καὶ ἐπὶ ζώντων. τοιαύτης δὲ δυνάμεως καὶ ἡ περιστολή. Eust.

V. 294. πολύδωρος] ἡ πολλοῖς δώροις γαμηθεῖσα. Vulg. ἡ πολλοῖς δώροις εἰς γάμον ἐλθοῦσα. Ambr. Q. cf. Il. ζ, 394. χ, 88.

V. 295. ἐπέοικεν] ἔπρεπεν. Vulg.

V. 296. καθελοῦσα] καταλαβοῦσα, ἐπικλείσασα. Id. Καθελεῖν ὀφθαλμούς, τὸ νεκρικῶς καλύψαι, ὡς ἀπὸ τοῦ παρακολουθοῦντος. παρέπεται γὰρ ἐν τοῖς τοιούτοις καθαιρεῖν ἐπὶ συμμύσει τὰ βλέφαρα. Eust.

V. 300. ἔμπορος] Ὅτι καὶ ἐνταῦθα ἔμπορος κεῖται ὁ ἀλλοτρίας νηὸς ἐπιβάτης. Eust. v. ad β, 319.

V. 301. οἱ δ'] Ἔνθα ὅρα καὶ τό, οἱ δέ, ἀντὶ τοῦ, οἱ ναῦται, νοηθέντες Ἀττικῶς ἐκ τῆς νηός. Eust.

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις 'Οδυσσεύς·
τοιγὰρ ἐγώ τοι πάντα μάλ' ἀτρεκέως καταλέξω.
εἰμὶ μὲν ἐξ 'Αλύβαντος, ὅθι κλυτὰ δώματα ναίω,
υἱὸς 'Αφείδαντος Πολυπημονίδαο ἄνακτος·
αὐτὰρ ἔμοιγ' ὄνομ' ἐστὶν 'Επήριτος· ἀλλά με δαίμων
πλάγξ' ἀπὸ Σικανίης δεῦρ' ἐλθέμεν, οὐκ ἐθέλοντα·
νηῦς δέ μοι ἥδ' ἕστηκεν ἐπ' ἀγροῦ νόσφι πόληος.
αὐτὰρ 'Οδυσσῆϊ τόδε δὴ πέμπτον ἔτος ἐστίν,
ἐξ οὗ κεῖθεν ἔβη, καὶ ἐμῆς ἀπελήλυθε πάτρης,
δύσμορος· ἦ τέ οἱ ἐσθλοὶ ἔσαν ὄρνιθες ἰόντι,
δεξιοί, οἷς χαίρων μὲν ἐγὼν ἀπέπεμπον ἐκεῖνον,

ἐκβήσαντες] ἐξενεγκόντες. Vulg. Ὅτι βῆναι μὲν τὸ ἀποβῆναι, τὸ ἀποπλεῦσαι, ἐκβῆσαι δὲ τὸ ἐξαγαγεῖν τῆς νηός. Eust.

V. 304. 'Αλύβαντος] 'Ιστέον ὅτι 'Αλύβη μὲν ἢ 'Αλύβας πόλις 'Ιταλίας, ἡ κληθεῖσα ὕστερόν φασι Μεταπόντιον. ἕτεροι δὲ πόλιν Θρακίαν ταύτην εἶπον. Ὅμηρος δὲ ταύτην ἐπίτηδες ἐπιλέξατο, οἷα παρωνυμουμένην τῇ ἄλῃ, τουτέστι τῇ πλάνῃ τοῦ 'Οδυσσέως. Eust. 'Αλύβας, πόλις 'Ιταλίας τὸ Μεταπόντιον, ἢ μᾶλλον Μεταπόντου (Barn. τοῦ Πόντου, secutus Steph. Byz. v. 'Αλύβας). ἥντινα ἐν τῷ καταλόγῳ 'Αλύβην ἔφη (Il. β, 856. 857.)· Αὐτὰρ 'Αλιζώνων 'Οδίος καὶ 'Επίστροφος ἦρχον, τηλόθεν ἐξ 'Αλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη. Vulg. 'Αλύβας πόλις Θετταλίας ἡ νῦν Μεταστάτις καλουμένη. 'Αλύβην δὲ αὐτὴν ἐν τῷ καταλόγῳ φησί. Ambr. Q.

V. 307. Σικανίης] Σικανίαν τὴν Σικελίαν φασί τινες, περὶ ἣν ἡ πλείων τοῦ 'Οδυσσέως προπέφηνε πλάνη γενέσθαι, διὸ καὶ 'Οδυσσεὺς ἄρτι οὐκ ἀφυῶς αὐτῆς μέμνηται. ἣν δὴ Σικανίαν οἰκίσαι καὶ καλέσαι λέγεται (scr. λέγονται) Ἴβηρες ἐλθόντες ἀπὸ Σικανοῦ ποταμοῦ. Eust.

V. 311. ὄρνιθες] οἰωνοί, σημεῖα. Vulg. οἰωνοί, οἱ τὸ μέλλον δηλοῦντες. δεξιοὶ δὲ ὄρνιθες εἰπεῖν καὶ ἐσθλοί, ταυτόν ἐστι. Eust.

V. 312. δεξιοί] αἴσιοι. ἢ ἐκ τῶν δεξιῶν μερῶν. Vulg.

χαῖρε δὲ κεῖνος ἰών· θυμὸς δ᾽ ἔτι νῶϊν ἐώλπει
μίξεσθαι ξενίῃ, ἠδ᾽ ἀγλαὰ δῶρα διδώσειν.
Ὣς φάτο· τὸν δ᾽ ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
χεύατο κὰκ κεφαλῆς πολιῆς, ἀδινὰ στεναχίζων.
τοῦ δ᾽ ὠρίνετο θυμός, ἀνὰ ῥῖνας δέ οἱ ἤδη
δριμὺ μένος προὔτυψε, φίλον πατέρ᾽ εἰςορόωντι.
κύσσε δέ μιν περιφύς, ἐπιάλμενος, ἠδὲ προςηύδα·
Κεῖνος μέν τοι ὅδ᾽ αὐτὸς ἐγώ, πάτερ, ὃν σὺ μεταλλᾷς,
ἤλυθον εἰκοστῷ ἔτεϊ ἐς πατρίδα γαῖαν.
ἀλλ᾽ ἴσχεο κλαυθμοῖο, γόοιό τε δακρυόεντος.
ἐκ γάρ τοι ἐρέω· μάλα δὲ χρὴ σπευδέμεν ἔμπης·
μνηστῆρας κατέπεφνον ἐν ἡμετέροισι δόμοισιν,
λώβην τινύμενος θυμαλγέα καὶ κακὰ ἔργα.
Τὸν δ᾽ αὖ Λαέρτης ἀπαμείβετο, φώνησέν τε·
εἰ μὲν δὴ Ὀδυσεύς γε, ἐμὸς παῖς, ἐνθάδ᾽ ἱκάνεις,

V. 313. νῶϊν] Eust. in comment. ἧμιν.

V. 314. διδώσειν] ἤγουν δοῦναι. ἀπὸ τοῦ διδῶ διδώσω, πρωτοτύπου, ἐξ οὗ τὸ δίδωμι. Eust. cf. ν, 358. διδώσομεν.

V. 316. αἰθαλόεσσαν] Κόνιν αἰθαλόεσσαν λέγει τὴν ξηρὰν καὶ ὁποία τις ἐκ τῶν αἰθομένων σωμάτων γένοιτ᾽ ἄν· Id.

V. 319. δριμὺ μένος προὔτυψε] ἤγουν προσενέπεσε ταῖς ῥισίν, ὃ δὴ προπάσχει ὡς τὰ πολλὰ ὁ μέλλων δακρύειν. ἡ δὲ λέξις τοῦ προτύπτειν καὶ ἐν Ἰλιάδι, πλὴν πολεμική, ὡς δηλοῖ τό, Τρῶες δὲ προὔτυψαν (Il. ν, 136. ο, 306. ρ, 262.). καὶ ἄλλως δὲ νῦν προτύψαι τὸ μὴ ἐντός που τύψαι, ἀλλὰ πρὸ τοῦ ἀκρωτηρίου τῆς ῥινός. Eust. Ἤτοι ὅτι πρᾶγμα ἐτόλμησεν ἐξειπεῖν, ἢ ὅτι ἔμελλεν δακρύειν, προσεμπίπτει ταῖς ῥισὶ δριμύτης τις. προὔτυψε] προσενέπεσεν. Vulg. προσέπεσεν, προσέσεισεν. Apollon. ex Heliodori interpretatione.

V. 324. σπευδέμεν] ἐπείγεσθαι. Vulg.

σῆμά τί μοι νῦν εἰπὲ ἀριφραδές, ὄφρα πεποίθω.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
οὐλὴν μὲν πρῶτον τήνδε φράσαι ὀφθαλμοῖσιν,
τὴν ἐν Παρνησῷ μ' ἔλασεν σῦς λευκῷ ὀδόντι
οἰχόμενον· σὺ δέ με προΐεις καὶ πότνια μήτηρ
ἐς πατέρ' Αὐτόλυκον μητρὸς φίλον, ὄφρ' ἂν ἑλοίμην
δῶρα, τὰ δεῦρο μολών μοι ὑπέσχετο καὶ κατένευσεν.
εἰ δ', ἄγε τοι καὶ δένδρε' ἐϋκτιμένην κατ' ἀλωὴν
εἴπω, ἅ μοί ποτ' ἔδωκας, ἐγὼ δ' ᾔτεόν σε ἕκαστα,
παιδνὸς ἐών, κατὰ κῆπον ἐπισπόμενος· διὰ δ' αὐτῶν
ἱκνεύμεσθα, σὺ δ' ὠνόμασας καὶ ἔειπες ἕκαστα.
ὄγχνας μοι δῶκας τρισκαίδεκα καὶ δέκα μηλέας,

V. 329. πεποίθω] πιστεύσω, θαῤῥήσω. Id.

V. 331. οὐλήν] v. τ, 391. sequ.

V. 336. καὶ δένδρεα] Καθάπερ τῇ γυναικί, οὕτω καὶ τῷ πατρὶ ἰδιαίτατόν τι γνώρισμα παραδεικνὺς οἰκεῖον τῷ τόπῳ, περὶ ὃν ἄρτι εὕρηται, ἀπαριθμεῖται καὶ δένδρα τῷ Λαέρτῃ, ἅ μοί ποτέ φησιν ἔδωκας. Eust.

V. 338. παιδνός] v. ad φ, 21.

διὰ δ' αὐτῶν ἱκνεύμεσθα] ἤγουν διὰ τῶν τοιούτων δένδρων ἐπορευόμεθα, ὡς καὶ ἰδεῖν με αὐτὰ καὶ οὕτω μεμνῆσθαι αὐτῶν. Eust.

V. 340. ὄγχνας] Ὄγχναι κυρίως αἱ καὶ ἀχράδες, ἤγουν δένδρα γεννῶντα τοὺς ἀγρίους ἀπίους. γίνεται δὲ παρὰ τὸ ἄγχειν. ἄγχουσι γάρ πως οἱ ἐκεῖθεν καρποὶ διὰ τὸ ἄγαν στύφον. Id.

τρισκαίδεκα] Τὸ τρεισκαίδεκα διὰ διφθόγγου γράφουσι τὰ τῶν ἀντιγράφων ἀκριβέστερα, πάνυ ἀναλόγως. ἐπεὶ

συκέας τεσσαράκοντ'· ὄρχους δέ μοι ὧδ' ὀνόμηνας
δώσειν πεντήκοντα, διατρύγιος δὲ ἕκαστος
ἤην· ἔνθα δ' ἀνὰ σταφυλαὶ παντοῖαι ἔασιν,
ὁππότε δὴ Διὸς ὧραι ἐπιβρίσειαν ὕπερθεν.
Ὣς φάτο· τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ,

πῶς ἂν τις διὰ διχρόνου γράψοι τὸ ὄγχνας τρεισκαίδεκα, ὃ διαλυθὲν οὕτως ἂν φράζοιτο, ὄγχνας τρεῖς καὶ δέκα. τὸ δὲ τοιοῦτον τρεῖς καὶ δέκα. τὸ δὲ τοιοῦτον τρεῖς οὐκ ἂν ἀμφιβάλοι τις διὰ διφθόγγου γράφεσθαι. Id.

μηλέας] Ὅτι οὐ συναιρεῖται ἡ μηλέα εἰς μηλῆν κατὰ τὴν συκῆν, καὶ ὅτι ὁ καρπὸς αὐτῆς τὰ μῆλα καὶ ἦλα λέγεται. Id.

V. 341. συκέας] Τὸ συκέας πρωτότυπόν ἐστι τοῦ συκᾶς εἰπεῖν κατὰ συναίρεσιν. ἔστι δέ, ὥςπερ ἀμυγδαλέα ἀμυγδαλῆ, κτητικῶς φασι παρὰ τὸν καρπὸν ὄντος τοῦ χαρακτῆρος, οὕτω καὶ συκέα συκῆ διὰ τὸν κατ' αὐτὰς καρπὸν τὰ σῦκα. Id.

ὄρχους] στίχους ἀμπέλων. Ambr. Q. Ὄρχους, οἱ τῶν ὀρχάτων πρωτότυποί εἰσι, τοὺς τῶν ἀμπέλων ἄρτι λέγει. Eust.

V. 342. διατρύγιος] Τὸ διατρύγιος ἅπαξ μὲν καὶ αὐτὸ εἴρηται τῷ ποιητῇ, σημαίνει δὲ ἄμπελον, ἧς οἱ καρποὶ ἐν διαφόροις καιροῖς πεπαίνονται. διὸ καὶ ἔφη, ἔνθα σταφυλαὶ παντοῖαι. ἕτεροι δὲ διατρυγίους φασὶν ὄρχους οὐ μόνον οἰνικούς, ἀλλὰ καὶ δενδρικούς, τοὺς μὴ πάνυ πυκνούς, ἀλλὰ τοιούτους, ὡς μεταξὺ τῶν κατὰ τὰ φυτὰ στοίχων παρεσπάρθαι τι τῶν σπορίμων καὶ οἵων τρυγᾶσθαι. Eust. Διατρύγιος. ἔγκαρπος, διὰ τὸ τρύγην ἔχειν. τρύγη δὲ ὁ πύρινος καρπός. Apollon. Διατρύγιος. τρυγήσιμος, ἔγκαρπος, δι' αὐτοῦ τὴν τρύγην ἔχων (corr. διὰ τὸ τὴν τρύγην ἔχειν). τινὲς δέ, ὁ διὰ μέσων ἀμπέλων κατεσπαρμένος τόπος. οἱ δέ, τόπον ἀγροῦ ἤδη πεπείρων σταφυλῶν. οἱ δέ, ἀνθοῦντα. Hesych. cf. Etymol. M.

V. 343. ἤην] τουτέστιν ἦν, πλεονασμῷ καὶ νῦν τοῦ ἑνὸς η. Eust.

V. 344. Διὸς ὧραι] αἱ τοῦ ἀέρος ἢ τοῦ οὐρανοῦ ἢ τοῦ ἡλίου. Id.

ἐπιβρίσειαν] ἐπιβαρήσειαν τοὺς καρπούς. Ambr. Q. Ἀντὶ τοῦ, ἐπιβαρίσειαν (scr. ἐπιβαρήσειαν) τοὺς καρποὺς ὡς ἤδη πεπληρωμένους καὶ οὕτω βάρος ἔχοντας. Eust.

σήματ᾽ ἀναγνόντος, τά οἱ ἔμπεδα πέφραδ᾽ Ὀδυσσεύς.
ἀμφὶ δὲ παιδὶ φίλῳ βάλε πήχεε· τὸν δὲ ποτὶ οἷ
εἷλεν ἀποψύχοντα πολύτλας δῖος Ὀδυσσεύς.
αὐτὰρ ἐπεί ῥ᾽ ἄμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
ἐξαῦτις μύθοισιν ἀμειβόμενος προσέειπεν·
Ζεῦ πάτερ, ἦ ῥα ἔτ᾽ ἔστε θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
εἰ ἐτεὸν μνηστῆρες ἀτάσθαλον ὕβριν ἔτισαν.
νῦν δ᾽ αἰνῶς δείδοικα κατὰ φρένα, μὴ τάχα πάντες
ἐνθάδ᾽ ἐπέλθωσιν Ἰθακήσιοι, ἀγγελίας δὲ
πάντῃ ἐποτρύνωσι Κεφαλλήνων πολίεσσιν.
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
ἀλλ᾽ ἴομεν προτὶ οἶκον, ὃς ὀρχάτου ἐγγύθι κεῖται·

V. 346. *ἀναγνόντος*] ἤγουν ἀναγνωρίσαντος, ἀναμνησθέντος. Id.

V. 348. *ἀποψύχοντα*] Ἀποψύχειν, τὸ ἀπὸ ψυχῆς γίνεσθαι, ἢ καὶ ἄλλως εἰπεῖν, ἀποπνέειν, οὗ τὸ ἀνάπαλιν ἄμπνυσθαι καὶ ἀναπνέειν, ἤγουν ἐνπανέρχεσθαι εἰς πνοήν. Ἡσίοδος μέντοι ἐπὶ τίνος τὸ ἐναποψύχειν σεμνῶς τίθησι (εργ. v. 757.), δῆλόν ἐστιν. Id.

V. 349. *ἄμπνυτο*] ἤγουν ἐς φρένας θυμὸς ἀγέρθη, ὃ δὴ θυμηγερέειν ἀλλαχοῦ πέφρασται (v. η, 203.). — Ἐν δὲ τῷ, ἐν φρένας θυμὸς ἀγέρθη, ὡς οἷά τινα τόπον καὶ ἑστίαν ψυχῆς καὶ τὰς φρένας εἶναι δοξάζει. Id.

V. 357. *μελόντων*] ἤγουν μελέτωσαν. Id.

V. 358. *ὃς ὀρχάτου*] Harl. text. ἵν᾽ ὀρχάτου. Γρ. ὃς ὀρχάτου.

ἔνθα δὲ Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην
προὔπεμψ᾽, ὡς ἂν δεῖπνον ἐφοπλίσσωσι τάχιστα·
Ὣς ἄρα φωνήσαντε, βάτην πρὸς δώματα καλά.
οἱ δ᾽ ὅτε δή ῥ᾽ ἵκοντο δόμους εὐναιετάοντας,
εὗρον Τηλέμαχον καὶ βουκόλον ἠδὲ συβώτην,
ταμνομένους κρέα πολλὰ, κερῶντάς τ᾽ αἴθοπα οἶνον.
Τόφρα δὲ Λαέρτην μεγαλήτορα ᾧ ἐνὶ οἴκῳ
ἀμφίπολος Σικελὴ λοῦσεν, καὶ χρῖσεν ἐλαίῳ·
ἀμφὶ δ᾽ ἄρα χλαῖναν καλὴν βάλεν· αὐτὰρ Ἀθήνη
ἄγχι παρισταμένη μέλε᾽ ἤλδανε ποιμένι λαῶν,
μείζονα δ᾽, ἠὲ πάρος, καὶ πάσσονα θῆκεν ἰδέσθαι.
ἐκ δ᾽ ἀσαμίνθου βῆ᾽ θαύμαζε δέ μιν φίλος υἱός,
ὡς ἴδεν ἀθανάτοισι θεοῖς ἐναλίγκιον ἄντην·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ὦ πάτερ, ἦ μάλα τίς σε θεῶν αἰειγενετάων
εἶδός τε μέγεθός τε ἀμείνονα θῆκεν ἰδέσθαι.
Τὸν δ᾽ αὖ Λαέρτης πεπνυμένος ἀντίον ηὔδα·
αἲ γὰρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
οἷος Νήρικον εἷλον, ἐϋκτίμενον πτολίεθρον,

V. 364. κερῶντας] τουτέστιν ἐμβάλλοντας εἰς κρατῆρας. οὔπω γὰρ ἄλλως ἦν οὐδεὶς ὁ πίνων, ὡς νοηθῆναι νῦν κερᾶν τὸ διδόναι πιεῖν. Eust.

V. 377. Νήρικον] τὴν νῦν Λευκάδα καλουμένην. Ambr. Q. Νήρικόν φασί τινες λέγεσθαι παρὰ τῷ ποιητῇ τὴν ὕστερον Λευκάδα, ἣν καὶ ὁ γεωγράφος (Strabo l. I. p. 59. et l. 10. p. 451. 452.) ἀκτὴν ἠπείρου λέγει, τῶν Καρνάνων (scr. Ἀκαρνάνων) οὖσαν, ὡς καὶ τὸ Ἀμφιλοχικὸν Ἄργος, καὶ χεῤῥόννησόν φησι ποτὲ εἶναι, ἧς μέρος ἦν καὶ ἡ Νήρικος. διορυγέντος δὲ ὕστερον τοῦ κατὰ τὴν χεῤῥόννησον ταύτην ἰσθμοῦ, Κορινθίων διακοψάν-

ἀκτὴν ἠπείροιο, Κεφαλλήνεσσιν ἀνάσσων,
τοῖος ἐών τοι χθιζὸς ἐν ἡμετέροισι δόμοισιν,
τεύχε᾽ ἔχων ὤμοισιν, ἐφεστάμεναι, καὶ ἀμύνειν
ἄνδρας μνηστῆρας· τῷ κε σφέων γούνατ᾽ ἔλυσα
πολλῶν ἐν μεγάροισι, σὺ δὲ φρένας ἔνδον ἰάνθης.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον. —
οἱ δ᾽ ἐπεὶ οὖν παύσαντο πόνου, τετύκοντό τε δαῖτα,
ἑξείης ἕζοντο κατὰ κλισμούς τε θρόνους τε·
ἔνθ᾽ οἱ μὲν δείπνῳ ἐπεχείρεον· ἀγχίμολον δὲ
ἦλθ᾽ ὁ γέρων Δολίος, σὺν δ᾽ υἱεῖς τοῖο γέροντος,
ἐξ ἔργων μογέοντες· ἐπεὶ προμολοῦσα κάλεσσεν
μήτηρ, γρηῦς Σικελή, ἥ σφεας τρέφε, καί ῥα γέροντα
ἐνδυκέως κομέεσκεν, ἐπεὶ κατὰ γῆρας ἔμαρψεν.

των, ἐγένετό φησι νῆσος ἡ Λευκάς, ἀπὸ Λευκαδίου κληθεῖσα υἱοῦ Ἰκαρίου, πατρὸς Πηνελόπης. Eust.

V. 378. ἠπείροιο] Ὅτι ἤπειρος ἐλέγετο ἡ περαία τῆς Ἰθάκης καὶ τῆς ὑπὸ τῷ Ὀδυσσεῖ Κεφαλληνίας, ὡμολόγηται. Id.

V. 380. ἐφεστάμεναι καὶ ἀμύνειν] Κεῖται καὶ εὐχὴ συνήθης Ὁμήρῳ κατὰ ἀπόδοσιν ἀπαρεμφάτου τό, αἲ γὰρ θεὲ (scr. θεοί) τοῖος ἐὼν ἐφεστάναι καὶ ἀμύνειν. λείπει δὲ πάντως ῥῆμα καὶ νῦν, τὸ εἶχον, ἤ τι τοιοῦτον, ἵνα λέγῃ, εἴθε εἶχον χθὲς ἀμύνειν, ἢ εἴθε ἐξεχωρήθην ἀμύνειν. αἰτιατικῇ δὲ νῦν συντάσσεται τὸ ἀμύνειν, οἷα ληφθὲν ἀντὶ τοῦ ἀποσοβεῖν. ἀμύνειν γὰρ ἔφη ἄνδρας μνηστῆρας. Id.

V. 386. ἐπεχείρεον] Ὅτι τὸ ἄρξασθαι δειπνεῖν δείπνῳ ἐπιχειρεῖν λέγει περιφραστικῶς εἰπών. — καὶ ἔστιν ἐνταῦθα ἐπιχειρεῖν τὸ χεῖρας ἐπιβάλλειν, κατὰ τό, ἐπὶ χεῖρας ἴηλαν. Id.

V. 390. κομέεσκεν] Ὅτι τό, κομέεσκεν ἐπεὶ κατὰ γῆρας ἔμαρπτεν, ἤγουν ἐπιμελείας ἠξίου τὸν Δόλιον ἢ τὸν Λαέρτην ἡ Σικελὴ γραῦς ἐπεὶ ἐγήρασε, τὴν ὕστερον γηρωκομίαν συνέθετο.

οἱ δ' ὡς οὖν Ὀδυσῆα ἴδον, φράσσαντό τε θυμῷ,
ἔσταν ἐνὶ μεγάροισι τεθηπότες· αὐτὰρ Ὀδυσσεὺς
μειλιχίοις ἐπέεσσι καθαπτόμενος προσέειπεν·
Ὦ γέρον, ἷζ' ἐπὶ δεῖπνον· ἀπεκλελάθεσθε δὲ θάμβευς·
δηρὸν γὰρ σίτῳ ἐπιχειρήσειν μεμαῶτες
μίμνομεν ἐν μεγάροις, ὑμέας ποτιδέγμενοι αἰεί.
Ὣς ἄρ' ἔφη· Δολίος δ' ἰθὺς κίε, χεῖρε πετάσσας
ἀμφοτέρας· Ὀδυσεῦς δὲ λαβὼν κύσε χεῖρ' ἐπὶ καρπῷ,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ὦ φίλ', ἐπεὶ νόστησας ἐελδομένοισι μάλ' ἡμῖν,
οὐδέ τ' οἰομένοισι, θεοὶ δέ σ' ἀνήγαγον αὐτοί,

δῆλον γὰρ ὡς γηρωκομεῖν ἔτι τὸ κομεέσκειν κατὰ γῆρας, ἤγουν κομεῖν τοὺς γηρῶντας. Id.

V. 397. πετάσσας] ἤγουν ἐξαπλώσας. — Ἰστέον δὲ ὅτι τό, χεῖρε πετάσσας, ἐκ μεταφορᾶς εἴρηται τῆς τῶν ζωϊκῶν πτερύγων ἐκπετάσεως. Eust.

V. 398. Ὀδυσεῦς δὲ λαβών] Τό, Ὀδυσεῦς δὲ λαβὼν κύσε χεῖρα, οὐ μακράν ἐστιν αἰνίγματος κατὰ τό, Ὀδυσσεῦς. δόξοι μὲν γὰρ ἂν τῷ ἀπεριέργως ἀκούοντι, ὅτι ὁ Ὀδυσσεὺς ἔκυσε τὴν τοῦ δούλου χεῖρα. ἔστι δὲ οὐχ οὕτως ἔχον, ἀλλὰ ἐν γενικῇ Αἰολικῇ ἢ Δωρικῇ εἴρηται κατὰ κράσιν μετὰ περισπωμένου τόνου τὸ Ὀδυσσεῦς, καὶ δηλοῖ, ὅτι ὁ Δόλιος τὴν τοῦ Ὀδυσσέως λαβὼν ἐφίλησε χεῖρα. ὡς γὰρ πρὸ ὀλίγων (v. 394.) τό, ἐκλελάθεσθε θάμβεος, θάμβευς εἶπεν, οὕτω καὶ ἐνταῦθα τὸ Ὀδυσσέος Ἰωνικὸν συνεῖλεν εἰς τὸ Ὀδυσσεῦς. οὕτω γὰρ τὸ ἔο ἀντὶ τοῦ αὐτοῦ εὖ ἐν τῇ Ἰλιάδι (υ, 464. ω, 293.) κεῖται. πολλὰ δὲ καὶ ἄλλα δείγματα τῆς τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον κράσεως. Id.

ἐπὶ καρπῷ] ἐπὶ τῷ μέρει τῶν χειρῶν. Ms. Barn.

οὖλέ τε, καὶ μάλα χαῖρε, θεοὶ δέ τοι ὄλβια δοῖεν.
καί μοι τοῦτ' ἀγόρευσον ἐτήτυμον, ὄφρ' εὖ εἰδῶ,
ἢ ἤδη σάφα οἶδε περίφρων Πηνελόπεια
νοστήσαντά σε δεῦρ', ἢ ἄγγελον ὀτρύνωμεν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
ὦ γέρον, ἤδη οἶδε· τί σε χρὴ ταῦτα πένεσθαι;
Ὣς φάθ'· ὁ δ' αὖτις ἄρ' ἕζετ' ἐϋξέστου ἐπὶ δίφρου.
ὣς δ' αὔτως παῖδες Δολίου κλυτὸν ἀμφ' Ὀδυσῆα
δεικανόωντ' ἐπέεσσι, καὶ ἐν χείρεσσι φύοντο·
ἑξείης δ' ἕζοντο παραὶ Δολίον, πατέρα σφόν.
ὣς οἱ μὲν περὶ δεῖπνον ἐνὶ μεγάροισι πένοντο.
Ὄσσα δ' ἄρ' ἄγγελος ὦκα κατὰ πτόλιν ᾤχετο πάντη,
μνηστήρων στυγερὸν θάνατον καὶ Κῆρ' ἐνέπουσα.
οἱ δ' ἄρ' ὁμῶς ἀΐοντες ἐφοίτων ἄλλοθεν ἄλλος,

V. 402. οὖλε] Τὸ οὖλε καὶ νῦν ἀντὶ τοῦ ὑγίαινε, τουτέστιν, ὅλος καὶ ὑγιὴς ἔσο. ἐκ δὲ τοῦ τοιούτου ῥήματος καὶ ἡ τοῦ τραύματος οὐλή, ὁλότης οὖσα καὶ αὐτὴ σώματος. ἅπαξ δὲ εἴρηται καὶ τὸ οὖλε. Eust. Οὖλε. ὑγίαινε. ὅθεν καὶ οὐλή, τὸ ὑγιασμένον τραῦμα. Apollon.

V. 410. δεικανόωντ'] προσεκύνουν. Ambr. Q. δεικανόωντο] προσηύδων, προσησπάζοντο καὶ ἐφιλανθρωπεύοντο. Ms. Barn., ubi tamen δεικανόωντα, προσαυδῶντα, et sic porro, quae participia ad n. l. mutavit Barnes.

V. 413. ὄσσα] φήμη. Ms. Barn. θεία κληδών. Ambr. Q. Ἰστέον ὅτι καὶ ἐν τοῖς νῦν ῥηθεῖσι θεῖόν τι τὴν ὄσσαν ὑπεμφαίνει ὁ ποιητής. Eust.

V. 414. ἐνέπουσα] ἤγουν φημίζουσα. ἔνθα πάλιν φυσικῶς τὸ ἐνέπειν δι' ἑνὸς ἐκφέρεται ν, καὶ οὐ διπλάζει αὐτό, ὡς ἐν τῷ, ἔννεπε Μοῦσα. Eust.

μυχμῷ τε στοναχῇ τε, δόμων προπάροιθ' Ὀδυσῆος·
ἐκ δὲ νέκυς οἴκων φόρεον, καὶ θάπτον ἕκαστοι·
τοὺς δ' ἐξ ἀλλάων πολίων οἶκόνδε ἕκαστον
πέμπον ἄγειν ἁλιεῦσι, θοῇς ἐπὶ νηυσὶ τιθέντες·
αὐτοὶ δ' εἰς ἀγορὴν κίον ἀθρόοι, ἀχνύμενοι κῆρ.
αὐτὰρ ἐπεί ῥ' ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο,
τοῖσιν δ' Εὐπείθης ἀνά θ' ἵστατο, καὶ μετέειπεν·
παιδὸς γάρ οἱ ἄλαστον ἐνὶ φρεσὶ πένθος ἔκειτο,
Ἀντινόου, τὸν πρῶτον ἐνήρατο δῖος Ὀδυσσεύς·
τοῦ ὅγε δακρυχέων, ἀγορήσατο καὶ μετέειπεν·
Ὦ φίλοι, ἦ μέγα ἔργον ἀνὴρ ὅδ' ἐμήσατ' Ἀχαιούς·
τοὺς μὲν σὺν νήεσσιν ἄγων πολέας τε καὶ ἐσθλούς,
ὤλεσε μὲν νῆας γλαφυράς, ἀπὸ δ' ὤλεσε λαούς·
τοὺς δ' ἐλθὼν ἔκτεινε Κεφαλλήνων ὄχ' ἀρίστους.
ἀλλ' ἄγετε, πρὶν τοῦτον ἢ ἐς Πύλον ὦκα ἱκέσθαι,
ἢ καὶ ἐς Ἤλιδα δῖαν, ὅθι κρατέουσιν Ἐπειοί,

V. 416. *μυχμῷ*] *Μυχμὸν λέγει τὸ διὰ τῶν μυκτήρων ἆσθμα καὶ τὸν ἐντεῦθεν ἦχον, παρὰ τὸ μύζειν, ἐξ οὗ καὶ ὁ μυκτήρ, καὶ τὸ μυχθίζειν παρὰ Αἰσχύλῳ.* Id.

V. 419. *ἁλιεῦσι*] *Ἁλιεῖς τοὺς πορθμέας δοκεῖ λέγειν, ὧν μάλιστα χρεία ἦν εἰς τὸ νεκραγωγεῖν, ὅπερ ἐστὶ νεκροὺς ἄγειν ἐκφορηθέντας δηλαδή. λέγονται δὲ καὶ ἄλλως ἁλιεῖς, οἱ ἁπλῶς περὶ ἅλα πονούμενοι, οὐ μὴν ἐξ ἀνάγκης οἱ ἰχθυβόλοι.* Id. *Ἁλιεῖς καλεῖν εἰώθασιν ὁτὲ μὲν τοὺς ἰχθυοβόλους· οὓς καὶ ἁλιῆες κοῖλον ἐς αἰγιαλὸν πολιῆς ἔκτοσθε θαλάσσης δικτύῳ ἐξείρυσσαν* (Od. *χ*, 384.). *ὁτὲ δὲ τοὺς πλοϊζομένους· ἐς δ' ἐρέτας ἁλιῆας ἀγείρομεν* (Od. *π*, 349.). *νῦν δὲ καθ' ἑκάτερον ἐγχωρεῖ.* Ambr. Q.

V. 427. *σὺν νήεσσιν*] Eust. in comment. *νήεσσιν ἄγων.*

V. 429. *Κεφ. ὄχ' ἀρίστους*] Vind. 5. et 56. *Κεφαλλήνων ἐνὶ δήμῳ.*

ἴομεν· ἦ καὶ ἔπειτα κατηφέες ἐσσόμεθ' αἰεί·
λώβη γὰρ τάδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι.
εἰ δὴ μὴ παίδων τε κασιγνήτων τε φονῆας
τισόμεθ', οὐκ ἂν ἔμοιγε μετὰ φρεσὶν ἡδὺ γένοιτο
ζωέμεν; ἀλλὰ τάχιστα θανὼν φθιμένοισι μετείην.
ἀλλ' ἴομεν, μὴ φθέωσι περαιωθέντες ἐκεῖνοι.
Ὣς φάτο δακρυχέων· οἶκτος δ' ἕλε πάντας Ἀχαιούς.
ἀγχίμολον δέ σφ' ἦλθε Μέδων καὶ θεῖος ἀοιδὸς
ἐκ μεγάρων Ὀδυσῆος, ἐπεί σφεας ὕπνος ἀνῆκεν·
ἔσταν δ' ἐν μέσσοισι· τάφος δ' ἕλεν ἄνδρα ἕκαστον.
τοῖσι δὲ καὶ μετέειπε Μέδων, πεπνυμένα εἰδώς·
Κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι· οὐ γὰρ Ὀδυσσεὺς
ἀθανάτων ἀέκητι θεῶν τάδ' ἐμήσατο ἔργα·
αὐτὸς ἐγὼν εἶδον θεὸν ἄμβροτον, ὅς ῥ' Ὀδυσῆϊ
ἐγγύθεν ἑστήκει, καὶ Μέντορι πάντα ἐῴκει.
ἀθάνατος δὲ θεὸς τοτὲ μὲν προπάροιθ' Ὀδυσῆος
φαίνετο θαρσύνων, τοτὲ δὲ μνηστῆρας ὀρίνων
θῦνε κατὰ μέγαρον· τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον.
Ὣς φάτο· τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος ᾕρει.
τοῖσι δὲ καὶ μετέειπε γέρων ἥρως Ἁλιθέρσης

V. 432. ἴομεν] Ἐν τῷ, ἴομέν, καί, ἀλλ' ἴομεν (v. 437.), καί, μὴ ἴομεν (v. 462.), ἀδιαφορία διχρόνων συνήθης φαίνεται· τὸ μὲν γὰρ ἴομεν ἐκτείνει τὴν ἄρχουσαν, τὰ δὲ λοιπὰ συστέλλει αὐτήν. Eust.

V. 437. περαιωθέντες] εἰς Πύλον δηλαδὴ ἢ καὶ ἐς Ἦλιδα. Id.

Μαστορίδης· ὁ γὰρ οἶος ὅρα πρόσσω καὶ ὀπίσσω·
ὅ σφιν ἐΰφρονέων ἀγορήσατο καὶ μετέειπεν·
Κέκλυτε δὴ νῦν μευ, Ἰθακήσιοι, ὅ,ττι κεν εἴπω·
ὑμετέρῃ κακότητι, φίλοι, τάδε ἔργα γένοντο·
οὐ γὰρ ἐμοὶ πείθεσθ', οὐ Μέντορι ποιμένι λαῶν,
ὑμετέρους παῖδας καταπαυέμεν ἀφροσυνάων·
οἳ μέγα ἔργον ἔρεξαν ἀτασθαλίῃσι κακῇσιν,
κτήματα κείροντες, καὶ ἀτιμάζοντες ἄκοιτιν
ἀνδρὸς ἀριστῆος· τὸν δ' οὐκέτι φάντο νέεσθαι.
καὶ νῦν ὧδε γένοιτο· πίθεσθέ μοι, ὡς ἀγορεύω·
μὴ ἴομεν, μή πού τις ἐπίσπαστον κακὸν εὕρῃ.
Ὣς ἔφαθ'· οἱ δ' ἄρ' ἀνήϊξαν μεγάλῳ ἀλαλητῷ
ἡμίσεων πλείους· τοὶ δ' ἀθρόοι αὐτόθι μίμνον.
οὐ γάρ σφιν ἅδε μῦθος ἐνὶ φρεσίν, ἀλλ' Εὐπείθει
πείθοντ'· αἶψα δ' ἔπειτ' ἐπὶ τεύχεα ἐσσεύοντο.

V. 452. πρόσσω καὶ ὀπίσσω] Ἐν τῷ, πρόσσω καὶ ὀπίσσω, ἤγουν τὰ παρεληλυθότα καὶ τὰ μέλλοντα, σιωπήσας ὁ ποιητὴς τὸν ἐνεστῶτα, δίδωσιν ἀφορμήν, μὴ δοξάζειν ἐνεστῶτα χρόνον. ἄλλως μέντοι ἑτέρωθι καὶ τῶν τριῶν μέμνηται, ὡς καὶ ἐν τῷ, τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα. Id.

V. 462. ἐπίσπαστον] τουτέστι αὐθαίρετον. Id. (v. σ, 72.) Καταχρηστικῶς σημαίνει τὸ ἑκούσιον, ὅ ἐστιν ὃ ἑαυτῷ τις ἐπισπᾶται. Ms. Barn.

V. 464. ἡμίσεων] Ἡμίσεων οἱ πλείους. μάλιστα μὲν οὖν ἡμισέων. οὐ γὰρ Ἀττικῶς ὁ ἥμισυς κλίνεται, ἵνα καὶ προπαροξύνωνται αἱ μετὰ τὴν εὐθεῖαν πλάγιοι κατὰ τὸ πῆχυς πήχεως πήχεων, καὶ πέλεκυς πελέκεως πελέκεων. Eust.

V. 465. ἅδε] ἥνδανε. Ms. Barn.

Εὐπείθει] Δῆλον ὅτι βαρύνεται ὁ Εὐπείθης πρὸς δια-

αὐτὰρ ἐπεί ῥ' ἕσσαντο περὶ χροῒ νώροπα χαλκόν,
ἀθρόοι ἠγερέθοντο πρὸ ἄστεος εὐρυχόροιο.
τοῖσιν δ' Εὐπείθης ἡγήσατο νηπιέῃσιν·
φῆ δ' ὅγε τίσεσθαι παιδὸς φόνον· οὐδ' ἄρ' ἔμελλεν
ἂψ ἀπονοστήσειν, ἀλλ' αὐτοῦ πότμον ἐφέψειν.
αὐτὰρ Ἀθηναίη Ζῆνα Κρονίωνα προσηύδα·
Ὦ πάτερ ἡμέτερε, Κρονίδη, ὕπατε κρειόντων,
εἰπέ μοι εἰρομένῃ· τί νύ τοι νόος ἔνδοθι κεύθει;
ἢ προτέρω πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν
τεύξεις, ἦ φιλότητα μετ' ἀμφοτέροισι τίθησθα;
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
τέκνον ἐμόν, τί με ταῦτα διείρεαι ἠδὲ μεταλλᾷς;
οὐ γὰρ δὴ τοῦτον μὲν ἐβούλευσας νόον αὐτή,
ὡς ἤτοι κείνους Ὀδυσεὺς ἀποτίσεται ἐλθών;
ἔρξον, ὅπως ἐθέλεις· ἐρέω δέ τοι, ὡς ἐπέοικεν,
ἐπειδὴ μνηστῆρας ἐτίσατο δῖος Ὀδυσσεύς,

στολὴν ἐπιθέτου τοῦ εὐπειθής, ὥςπερ καὶ πολυφειδής μὲν ἐπιθετικῶς ὁ πολλὰ φειδόμενος, Πολυφείδης δὲ κύριον. Eust.

V. 469. νηπιέῃσιν] Ὅτι νηπιέας καὶ ἐνταῦθα τὰς ἀφροσύνας λέγει ἐλλειπτικῶς. φησὶ γάρ, Εὐπείθης ἡγήσατο νηπιέῃσιν, ἤτοι νηπιείαις φρεσίν. Eust. cf. Il. ο, 363. υ, 411.

V. 470. τίσεσθαι π. φόνον] ἤγουν ἐκδικήσειν τὸν τοῦ παιδὸς Ἀντινόου θάνατον. Eust.

V. 471. ἐφέψειν] ὅ ἐστι καταλαβεῖν, ἀπὸ τοῦ ἕπω ἕψω. τὸ δὲ ἐφέψειν καὶ σπέσθαι λέγεται καὶ σπεῖν, ὅθεν τό, πότμον ἐπισπεῖν. Id. v. β, 250. γ, 134. ε, 308. λ, 196. μ, 342.

V. 475. ἢ προτέρω] εἰς τοὔμπροσθεν τοῦ χρόνου, ὡς ἂν τις εἴποι, ἐπὶ πλέον. Ambr. Q. προτέρω]ποῤῥωτέρω. φύλοπιν] μάχην. Ms. Barn.

ὅρκια πιστὰ ταμόντες, ὁ μὲν βασιλευέτω αἰεί·
ἡμεῖς δ' αὖ παίδων τε κασιγνήτων τε φόνοιο
ἔκλησιν θέωμεν· τοὶ δ' ἀλλήλους φιλεόντων,
ὡς τὸ πάρος· πλοῦτος δὲ καὶ εἰρήνη ἅλις ἔστω.
Ὣς εἰπὼν, ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.
Οἱ δ' ἐπεὶ οὖν σίτοιο μελίφρονος ἐξ ἔρον ἕντο,
τοῖς δ' ἄρα μύθων ἦρχε πολύτλας δῖος Ὀδυσσεύς·
Ἐξελθών τις ἴδοι, μὴ δὴ σχεδὸν ὦσι κιόντες.
Ὣς ἔφατ'· ἐκ δ' υἱὸς Δολίου κίεν, ὡς ἐκέλευεν·
στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰὼν, τοὺς δὲ σχεδὸν εἴσιδε πάντας·

V. 483. ταμόντες] τουτέστι, διὰ θυσιῶν ποιήσαντες. Eust. Καινὸν δέ τι σχῆμα τό, ὅρκια πιστὰ ταμόντες, ὁ μὲν βασιλευέτω αἰεί, ἡμεῖς δὲ ποιήσομεν τόδε κ. ἑ. καὶ ἔστι πως ὅμοιον καὶ αὐτὸ τῷ, οἱ δὲ δύο σκόπελοι, ὁ μὲν τοιόςδε, ὁ δὲ τοιόςδε (μ, 73.). καὶ ἔστι μὲν τοιαῦτα πολλὰ παρὰ τῷ ποιητῇ, τοῦτο δὲ τῶν ἄλλων εἶναι δοκεῖ καινότερον. Mox: Καινοτάτη γοῦν ἡ ἀπόδοσις τοῦ, ὁ μέν, καὶ τοῦ, ἡμεῖς. ὤφειλε γὰρ εἰπεῖν οὕτω πως, ὅρκια πιστὰ ταμόντες, ὁ μὲν Ὀδυσσεὺς βασιλευέτω, οἱ δὲ Ἰθακήσιοι βασιλευέσθωσαν εὐπειθῶς. ἔστιν οὖν εἰπεῖν, ὅτι κἀνταῦθα οὕτω γίνεται, πλὴν οὐ κατ' ὀρθὴν φράσιν, ἀλλ' ἐν ὑπερβατῷ σχήματι. φησὶ γὰρ οὕτως, ὁ μὲν βασιλευέτω αἰεί, οἱ δ' ἀλλήλους φιλείτωσαν. μέσον δὲ γε τῶν δύο τούτων ἐννοιῶν κεῖται περιττῶς κατὰ σχῆμα περιβλητικὸν τό, ἡμεῖς δὲ παίδων τε κασιγνήτων τε φόνοιο ἔκλησιν θήσομεν. Id.

V. 485. ἔκλησιν] τουτέστι, λήθην. Id. Ἔκλησις ἡ ἄγαν λήθη κατ' ἐπίτασιν προθέσεως, καθὰ καὶ ἐκσίγησις Πυθαγορικῶς, ἡ ἄκρα σιγή. Τὸ δὲ θέωμεν ἀντὶ τοῦ θῶμεν πλεονασμῷ τοῦ ε, ὡς καὶ πρὸ ὀλίγων ὅμοιος πλεονασμὸς ἦν ἐν τῷ, μὴ φθέωσιν ἤτοι φθῶσι περαιωθέντες (v. 437.). δύναται δὲ καὶ ἐνεργητικὸς ἐνεστὼς διὰ τοῦ ο μικροῦ εἶναι τὸ θέομεν, ἐξ οὗ τὸ θείομεν. Id.

φιλεόντων] ἤτοι φιλείτωσαν. Id.

αἶψα δ' Ὀδυσσῆα ἔπεα πτερόεντα προσηύδα·
Οἵδε δὴ ἐγγὺς ἔασ'· ἀλλ' ὁπλιζώμεθα θᾶσσον.
Ὣς ἔφαθ'· οἱ δ' ὤρνυντο, καὶ ἐν τεύχεσσι δύοντο,
τέσσαρες ἀμφ' Ὀδυσῆ', ἓξ δ' υἱεῖς οἱ Δολίοιο·
ἐν δ' ἄρα Λαέρτης Δολίος τ' ἐς τεύχε' ἔδυνον,
καὶ πολιοί περ ἐόντες, ἀναγκαῖοι πολεμισταί.
αὐτὰρ ἐπεί ῥ' ἕσσαντο περὶ χροῒ νώροπα χαλκόν,
ὤϊξάν ῥα θύρας, ἐκ δ' ἤϊον, ἦρχε δ' Ὀδυσσεύς.
Τοῖσι δ' ἐπ' ἀγχίμολον θυγάτηρ Διὸς ἦλθεν Ἀθήνη,
Μέντορι εἰδομένη ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν.
τὴν μὲν ἰδὼν γήθησε πολύτλας δῖος Ὀδυσσεύς·
αἶψα δὲ Τηλέμαχον προσεφώνεεν ὃν φίλον υἱόν·
Τηλέμαχ', ἤδη μὲν τόδε γ' εἴσεαι αὐτὸς ἐπελθών,
ἀνδρῶν μαρναμένων, ἵνα τε κρίνονται ἄριστοι,
μήτι καταισχύνειν πατέρων γένος, οἳ τὸ πάρος περ

V. 495. ὁπλιζώμεθα] Ὅρα ὅτι ἐπὶ πολεμικῆς εἶπε σκευῆς τὸ ὁπλίζεσθαι. Id.

V. 496. δύοντο] Γρ. ἔδυνον. Vind. 56.

V. 499. ἀναγκαῖοι πλεμ.] τουτέστιν, ὡς καὶ προεδηλώθη (v. ad v. 210.), κατ' ἀνάγκην μαχηταί, οὗ ἑρμηνευτικὸν τό, καὶ πολιοί περ ἐόντες. οἱ τοιοῦτοι γὰρ πάντως πολεμισταὶ εἶεν ἄν ποτε ἀναγκαῖοι, τουτέστι βιαστοί. Eust.

V. 500. νώροπα] τουτέστι, λαμπρὸν χαλκόν. Id. Τὸ δέ, περὶ χροΐ, δῆλον ὅτι ἀντὶ τοῦ, ἐπὶ χροΐ, εἴληπται καὶ νῦν. Id.

V. 506. τόδε γ' εἴσεαι] τουτέστιν, αὐτὶς γνώσῃ καὶ νοήσεις. Eust. δείξεις, γνωστὸν ποιήσεις. Ambr. Q. Vind. 56. τόδε ἐνίσσεαι. γνωστὸν ποιήσεις.

V. 507. κρίνονται] διακρίνονται. Eust.

ἀλκῇ τ' ἠνορέῃ τε κεκάσμεθα πᾶσαν ἐπ' αἶαν.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα·
ὄψεαι, αἴ κ' ἐθέλησθα, πάτερ φίλε, τῷδ' ἐπὶ θυμῷ.
οὔτι καταισχύνοντα τεὸν γένος, ὡς ἀγορεύεις.
Ὣς φάτο· Λαέρτης δ' ἐχάρη, καὶ μῦθον ἔειπεν·
τίς νύ μοι ἡμέρη ἥδε, θεοὶ φίλοι; ἦ μάλα χαίρω·
υἱός θ' υἱωνός τ' ἀρετῆς πέρι δῆριν ἔχουσιν.
Τὸν δὲ παρισταμένη προσέφη γλαυκῶπις Ἀθήνη·
ὦ Ἀρκεισιάδη, πάντων πολὺ φίλταθ' ἑταίρων,
εὐξάμενος κούρῃ γλαυκώπιδι καὶ Διῒ πατρί,
αἶψα μάλ' ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος.
Ὣς φάτο, καί ῥ' ἔμπνευσε μένος μέγα Παλλὰς Ἀθήνη.

V. 509. κεκάσμεθα] παρευδοκιμοῦμεν. Ambr. Q.

V. 512. ὡς ἀγορεύεις] Eust. οἶ' ἀγορεύεις, ἤγουν εἰς ἃ λέγεις, ἢ μᾶλλον λυπηρῶς κατὰ θυμικὸν ἀποστατικὸν σχῆμα, οἷα δὴ λαλεῖς, τουτέστι, πῶς ποτε τοιαῦτα λέγεις; ὃ καὶ μᾶλλον κρεῖττον, ὡς Ὁμηρικόν.

V. 519. ἀμπεπαλών] Ἀμπεπαλὼν καὶ νῦν, ὡς καὶ ἐν Ἰλιάδι (γ, 355. ε, 280.), ἀντὶ τοῦ, ἀνακινήσας. οὔτε γὰρ κάτω που ἐχρῆν ἔχειν τὴν χεῖρα, δόρυ πέμποντα, οὔτε μὴ διατινάξαι. οὐ γὰρ ἂν οὕτω γενναία καὶ δραστικὴ γένοιτο βολή. γίνεται δὲ ἡ λέξις ἀπὸ τοῦ ἔπαλον δευτέρου ἀορίστου, οὗ μετοχὴ παλών, καὶ Ἰωνικῷ διπλασμῷ πεπαλών, καὶ μετὰ προθέσεως κατὰ συγκοπήν, ἀμπεπαλών. Eust.

V. 520. ἔμπνευσε] ἐνέβαλεν. Vulg. Ὅτι παραδόξου ἴσχυος δηλωτικὸν τό, ἔμπνευσε μένος μέγα θεός, παρῳδηθὲν ἐκ τοῦ, ἔμπνευσε μένος μέγα Παλλὰς Ἀθήνη (v. Il. κ, 482. coll. o, 262.). Eust.

εὐξάμενος δ' ἄρ' ἔπειτα Διὸς κούρῃ μεγάλοιο,
αἶψα μάλ' ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλεν Εὐπείθεα κόρυθος διὰ χαλκοπαρῄου·
ἡ δ' οὐκ ἔγχος ἔρυτο, διὰ πρὸ δὲ εἴσατο χαλκός·
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
ἐν δ' ἔπεσον προμάχοις Ὀδυσεὺς καὶ φαίδιμος υἱός·
τύπτον δὲ ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν.
καί νύ κε δὴ πάντας τ' ὄλεσαν καὶ ἔθηκαν ἀνόστους,
εἰ μὴ Ἀθηναίη κούρη Διὸς αἰγιόχοιο,
ἤϋσεν φωνῇ, κατὰ δ' ἔσχεθε λαὸν ἅπαντα·
Ἴσχεσθε πτολέμου, Ἰθακήσιοι, ἀργαλέοιο,
ὥς κεν ἀναιμωτί γε διακρινθεῖτε τάχιστα.

V. 522. προΐει] Τὸ προΐει νῦν μὲν χρόνου ἐστὶ παρατατικοῦ, πρὸ δὲ ὀλίγων (v. 519.) ποστακτικῶς εἶχε, τῆς Ἀθηνᾶς ἐπιταττούσης τῷ Λαέρτῃ, ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος, ἀντὶ τοῦ, πρόπεμπε. Eust.

V. 523. χαλκοπαρῄου] χαλκῷ τὰς παρειὰς ἡρμοσμένης. Vulg. Παρειὰν κἀνταῦθα ἐπὶ κόρυθος λέγει τὸ περὶ τὰς παρειὰς κείμενον μέρος αὐτῆς. Eust.

V. 524. ἔρυτο] ἐπέσχεν. Vulg. ἐκώλυσεν. Eust.

εἴσατο] Ἀντὶ τοῦ, ἐπορεύθη, ἀπὸ τοῦ πολλαχοῦ δηλωθέντος εἴω ῥήματος. Eust.

V. 526. ἐν δ' ἔπεσον] Ἰστέον ὅτι τό, ἐν δ' ἔπεσον, ταυτόν ἐστι τῷ ἐπέπεσον, ὡς οἷα μετά τινος βάρους, ὅθεν καὶ ζαχρηεῖς πολεμισταί, οἱ ἄγαν βαρεῖς ἐπιπίπτοντες. Id.

V. 528. ἀνόστους] ἐπανόδου μὴ τυχάνοντας. Vulg.

V. 530. φωνῇ] κραυγῇ. Id.

Ὣς φάτ' Ἀθηναίη· τοὺς δὲ χλωρὸν δέος εἷλεν·
τῶν δ' ἄρα δεισάντων ἐκ χειρῶν ἔπτατο τεύχεα·
πάντα δ' ἐπὶ χθονὶ πίπτε, θεᾶς ὄπα φωνησάσης:
πρὸς δὲ πόλιν τρωπῶντο λιλαιόμενοι βιότοιο.
σμερδαλέον δ' ἐβόησε πολύτλας δῖος Ὀδυσσεύς,
οἴμησεν δὲ ἀλείς, ὥςτ' αἰετὸς ὑψιπετήεις.
καὶ τότε δὴ Κρονίδης ἀφίει ψολόεντα κεραυνόν,
κὰδ δ' ἔπεσε πρόσθε Γλαυκώπιδος ὀβριμοπάτρης.
δὴ τότ' Ὀδυσσῆα προςέφη γλαυκῶπις Ἀθήνη·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἴσχεο, παῦε δὲ νεῖκος ὁμοιΐου πολέμοιο,
μήπως τοι Κρονίδης κεχολώσεται εὐρύοπα Ζεύς.
Ὣς φάτ' Ἀθηναίη· ὁ δ' ἐπείθετο, χαῖρε δὲ θυμῷ.
ὅρκια δ' αὖ κατόπισθε μετ' ἀμφοτέροισιν ἔθηκεν

V. 536. τρωπῶντο] ἐτρέποντο, ἐστράφησαν. Id.

V. 538. οἴμησεν] ὥρμησεν. καὶ οἰμήματα, ὁρμήματα. Apollon. v. Il. χ, 140. 308.

ἀλείς] ὅ ἐστι συστραφείς. Eust. Ἀλέντες. συστραφέντες, συγκλεισθέντες (Il. φ, 534.). καὶ ἀλείς, ἀντὶ τοῦ συστραφείς. Apollon. cf. Il. χ, 308.

V. 539. ἀφίει] ἔπεμπεν, ἔῤῥιπτεν. ψολόεντα] καυστικόν, ἀσβόλην ποιοῦντα. ψολὸν γὰρ τὴν ἀσβόλην λέγει. τοιοῦτον δὲ ἀφίησιν ὁ Ζεὺς πῦρ ἐκ τοῦ οὐρανοῦ. Vulg. Τῶν δὲ κεραυνῶν οἱ μὲν καταιβάται, οἱ δὲ ψολόεντες, οἱ δὲ ἀργῆτες καλοῦνται, ὡς Ὅμηρος ὠνόμασεν. Schol. ad Aristoph. Equ. v. 693. v. supra ad ψ, 330.

V. 543. ὁμοιΐου] ἤγουν χαλεποῦ. Eust. v. ad γ, 236.

V. 546. κατόπισθε] ἤγουν εἰς τὸ μέλλον. Eust.

Παλλὰς Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
Μέντορι εἰδομένη, ἠμὲν δέμας, ἠδὲ καὶ αὐδήν.

V. 548. *Μέντορι εἰδομένη*] Ἔοικε γὰρ ὁ Ἰθακήσιος Μέντωρ παρὼν μεσολαβῆσαι τοῖς ὅρκοις, καὶ σπεῦσαι τὰ εἰρηνικά. Id.

PLEASE DO NOT REMOVE
CARDS OR SLIPS FROM THIS POCKET

UNIVERSITY OF TORONTO LIBRARY

PA 4021 A2 1822 v.3

Homerus
[Odyssey. Greek. 1822]
Odyssea

CROWN BOOKBINDING TORONTO ONT.

UTL AT DOWNSVIEW
D RANGE BAY SHLF POS ITEM C
39 14 19 03 10 015 1